








ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

I.

Ὅρκος. — Νόμος. — Περὶ τέχνης. — Περὶ ἀρχαίης ἰητρικῆς.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 226).

1864.

ΙΠΠΟΚΡΑΤΗΣ.

> «... Τῶν δὲ εἰς τὸν περὶ τέχνης τεινόντων λόγον· Ὅρκος, Νόμος, Περὶ τέχνης, Περὶ ἀρχαίης ἰητρικῆς.»
>
> Ἐρωτ. σ. 21.

Ὅρκος.

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν καὶ Ἀσκληπιὸν καὶ Ὑγίειαν καὶ Πανάκειαν καὶ θεοὺς πάντας τε καὶ πάσας ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε· ἡγήσεσθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην ἴσον γενέτῃσιν ἐμοῖσι καὶ βίου κοινώσεσθαι καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσεσθαι καὶ γένος τὸ ἐξ αὐτοῦ ἀδελφεοῖσιν ἴσον ἐπικρινέειν ἄῤῥεσι καὶ διδάξειν τὴν τέχνην ταύτην, ἣν χρηΐζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς· παραγγελίης τε καὶ ἀκροήσιος καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσεσθαι υἱοῖσί τε ἐμοῖσι καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος καὶ μαθητῇσι ξυγγεγραμμένοισί τε καὶ ὡρκισμένοισι νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. Διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξομαι. Οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς θανάσιμον, οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε· ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν

φθόριον δώσω. Ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν.

Οὐ τεμέω δὲ οὐδὲ μὴ ἐν ἡλικίῃ ἐόντας· ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε.

Ἐς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης καὶ φθορίης τῆς τε ἄλλης καὶ ἀφροδισίων ἔργων ἐπί τε γυναικηΐων σωμάτων καὶ ἀνδρηΐων, ἐλευθέρων τε καὶ δούλων. Ἃ δ' ἂν ἐν θεραπηΐῃ ἢ ἴδω, ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπηΐης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα.

Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι καὶ μὴ ξυγχέοντι εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποισιν ἐς τὸν αἰεὶ χρόνον· παραβαίνοντι δὲ καὶ ἐπιορκέοντι, τἀναντία τούτων.

Νόμος.

1. Ἰητρικὴ τεχνέων μὲν πασέων ἐστὶν ἐπιφανεστάτη, διὰ δὲ ἀμαθίην τῶν τε χρεωμένων αὐτῇ καὶ τῶν εἰκῇ τοὺς τοιούσδε κρινόντων, πουλύ τι πασέων ἤδη τῶν τεχνέων ἀπολείπεται. Ἡ δὲ τῶνδε ἁμαρτὰς τὰ μάλιστά μοι δοκέει ἔχειν αἰτίην τοιήνδε· πρόστιμον γὰρ ἰητρικῆς μούνης ἐν τῇσι πόλισιν οὐδὲν ὥρισται, πλὴν ἀδοξίης· αὕτη δὲ οὐ τιτρώσκει τοὺς ἐξ αὐτῆς ξυγκειμένους. Ὁμοιότατοι γάρ εἰσιν οἱ τοιοίδε τοῖσι παρεισαγομένοισι προσώποισιν ἐν τῇσι τραγῳδίῃσιν· ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν καὶ στολὴν καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσιν, οὐκ εἰσὶ δὲ ὑποκριταί, οὕτω καὶ ἰητροί, φήμη μὲν πολλοί, ἔργῳ δὲ πάγχυ βαιοί.

2. Χρὴ γάρ, ὅστις μέλλει ἰητρικῆς ξύνεσιν ἀτρεκέως ἁρμόζεσθαι, τῶνδέ μιν ἐπήβολον γενέσθαι· φύσιος· διδασκαλίης· τόπου εὐφυέος· παιδομαθίης· φιλοπονίης· χρόνου. Πρῶτον μὲν ὦν πάντων δεῖ φύσιος· φύσιος γὰρ ἀντιπρησσούσης, κενεὰ πάντα· φύσιος δὲ ἐς τὸ ἄριστον ὁδηγεούσης, διδασκαλίη τέχνης γίγνεται· ἣν μετὰ φρονήσιος δεῖ περιποιήσασθαι παιδομαθέα γενόμενον ἐν τόπῳ ὁκοῖος εὐφυὴς πρὸς μάθησιν ἔσται· ἔτι δὲ φιλοπονίην προσενέγκασθαι ἐς χρόνον πουλύν, ὅκως ἡ μάθησις ἐμφυσιωθεῖσα δεξιῶς τε καὶ εὐαλδέως τοὺς καρποὺς ἐξενέγκηται.

3. Ὁκοίη γὰρ τῶν ἐν γῇ φυομένων, θεωρίη τοιήδε καὶ τῆς ἰητρικῆς μαθήσιος. Ἡ μὲν γὰρ φύσις ἡμέων, ὁκοῖον ἡ χώρη· τὰ δὲ διδάγματα τῶν διδασκόντων, ὁκοῖον τὰ σπέρματα· ἡ δὲ παιδομαθίη, τὸ καθ' ὥρην αὐτὰ πεσεῖν ἐς τὴν ἄρουραν· ὁ δὲ τόπος ἐν ᾧ ἡ μάθησις, ὁκοῖον ἡ ἐκ τοῦ περιέχοντος ἠέρος τροφὴ γιγνομένη τοῖσι φυομένοισιν· ἡ δὲ φιλοπονίη, ἐργασίη· ὁ δὲ χρόνος ταῦτα ἐνισχύει πάντα, ὡς ἐκτραφῆναι τελέως.

4. Ταῦτα ὦν χρὴ ἐς τὴν ἰητρικὴν τέχνην ἐσενεγκαμένους καὶ ἀτρεκέως αὐτῆς γνῶσιν λαβόντας, οὕτως ἀνὰ τὰς πόλιας φοιτέοντας, μὴ λόγῳ μοῦνον, ἀλλὰ καὶ ἔργῳ ἰητροὺς νομίζεσθαι. Ἡ δὲ ἀπειρίη κακὸς θησαυρὸς καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτήν, καὶ ὄναρ καὶ ὕπαρ, εὐθυμίης τε καὶ εὐφροσύνης ἄμοιρος, δειλίης τε καὶ θρασύτητος τιθήνη. Δειλίη μὲν γὰρ ἀδυναμίην σημαίνει, θρασύτης δὲ ἀτεχνίην.

5. Τὰ δὲ ἱερὰ ἐόντα πρήγματα ἱεροῖσιν ἀνθρώποισι δείκνυται· βεβήλοισι δὲ οὐ θέμις, πρὶν ἢ τελεσθῶσιν ὀργίοισιν ἐπιστήμης.

Περὶ τέχνης.

1. Εἰσί τινες οἳ τέχνην πεποίηνται τὸ τὰς τέχνας αἰσχροεπέειν· ὡς μὲν οἴονται, οὐ τοῦτο διαπρησσόμενοι ὃ ἐγὼ λέγω, ἀλλ' ἱστορίης οἰκείης ἐπίδειξιν ποιεύμενοι. Ἐμοὶ δὲ τὸ μέν τι τῶν μὴ εὑρημένων ἐξευρίσκειν, ὅ,τι καὶ εὑρεθὲν κρέσσον ἢ ἀνεξεύρετον, ξυνέσιος δοκέει ἐπιθύμημά τε καὶ ἔργον εἶναι, καὶ τὸ τὰ ἡμίεργα ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως· τὸ δὲ λόγων οὐ καλῶν τέχνῃ τὰ τοῖσιν ἄλλοισιν εὑρημένα αἰσχύνειν προθυμέεσθαι, ἐπανορθοῦντα μὲν μηδὲν, διαβάλλοντα δὲ τὰ τῶν εἰδότων πρὸς τοὺς μὴ εἰδότας ἐξευρήματα, οὐκέτι δοκέει ξυνέσιος ἐπιθύμημά τε καὶ ἔργον εἶναι, ἀλλὰ κακαγγελίη μᾶλλον, φιλοτιμεομένων μὲν, οὐχ ἅμα δὲ δυναμένων κακίη φύσιος· ἢ ἀτεχνίη· μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν ἡ ἐργασίη αὕτη ἁρμόζει, ὑπουργέειν ἐς τὸ τὰ τῶν πέλας ἔργα ἢ ὀρθὰ ἐόντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ μωμέεσθαι. Τοὺς μὲν οὖν ἐς τὰς ἄλλας τέχνας τούτῳ τῷ τρόπῳ ἐμπίπτοντας, οἷσι μέλει τε καὶ ὧν, οἱ δυνάμενοι κωλυόντων· ὁ δὲ παρεὼν λόγος τοῖσιν ἐς ἰητρικὴν οὕτως ἐμπορευομένοισιν ἐναντιώσεται, θρασυνόμενος μὲν διὰ τούτους οὓς ψέγει, εὐπορέων δὲ διὰ τὴν τέχνην ᾗ βοηθέει, δυνάμενος δὲ διὰ τὴν σοφίην ᾗ πεπαίδευται.

2. Δοκέει δέ μοι τὸ μὲν ξύμπαν τέχνη εἶναι οὐδεμία οὐκ ἐοῦσα· καὶ γὰρ ἄλογον τῶν ἐόντων τι ἡγέεσθαι μὴ ἐόν· ἐπεὶ τῶν γε μὴ ἐόντων τίνα ἄν τις οὐσίην θεησάμενος ἀπαγγείλειεν, ὡς ἔστιν; Εἰ γὰρ δὴ ἔστι γ' ἰδεῖν τὰ μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅκως ἄν τις αὐτὰ νομίσειε μὴ ἐόντα, ἅ γε εἴη καὶ ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνώμῃ νοῆσαι, ὡς ἔστιν,

Ἀλλ' ὅκως μὴ οὐκ ᾖ τοῦτο τοιοῦτον· ἀλλὰ τὰ μὲν ἐόντα αἰεὶ ὁρᾶταί τε καὶ γιγνώσκεται, τὰ δὲ μὴ ἐόντα οὔτε ὁρᾶται οὔτε γιγνώσκεται. Γιγνώσκεται τοίνυν δεδιδαγμένων ἡ δύναμις τῶν τεχνέων καὶ οὐδεμία ἐστὶν ἥ γε ἔκ τινος εἴδεος οὐχ ὁρᾶται. Οἶμαι δ' ἔγωγε καὶ τὰ ὀνόματα αὐτὰς διὰ τὰ εἴδεα λαβεῖν· ἄλογον γὰρ ἀπὸ τῶν ὀνομάτων ἡγέεσθαι τὰ εἴδεα βλαστάνειν, καὶ ἀδύνατον· τὰ μὲν γὰρ ὀνόματα φύσιος νομοθετήματά ἐστι, τὰ δὲ εἴδεα οὐ νομοθετήματα, ἀλλὰ βλαστήματα.

3. Περὶ μὲν οὖν τούτων εἴ γέ τις μὴ ἱκανῶς ἐκ τῶν εἰρημένων ξυνίησιν, ἐν ἄλλοισιν ἂν λόγοισι σαφέστερον διδαχθείη· περὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος, ταύτης οὖν τὴν ἀπόδειξιν ποιήσομαι. Καὶ πρῶτόν γε διοριεῦμαι ὃ νομίζω ἰητρικὴν εἶναι· τὸ δὴ πάμπαν ἀπαλλάσσειν τῶν νοσεύντων τοὺς καμάτους καὶ τῶν νοσημάτων τὰς σφοδρότητας ἀμβλύνειν, καὶ τὸ μὴ ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, εἰδότας ὅτι ταῦτα οὐ δύναται ἰητρική. Ὡς οὖν ποιέει τε ταῦτα καὶ οἵη τέ ἐστι διὰ παντὸς ποιέειν, περὶ τούτου μοι ἤδη ὁ λοιπὸς ἔσται λόγος· ἐν δὲ τῇ τῆς τέχνης ἀποδείξι ἅμα καὶ τοὺς λόγους τῶν αἰσχύνειν αὐτὴν οἰομένων ἀναιρήσω, ᾗ ἂν ἕκαστος αὐτῶν πρήσσειν τι οἰόμενος τυγχάνει.

4. Ἔστι μὲν οὖν μοι ἀρχὴ τοῦ λόγου, ἣ καὶ ὁμολογηθήσεται παρὰ πᾶσιν· ὅτι μὲν γὰρ ἔνιοι ἐξυγιαίνονται τῶν θεραπευομένων ὑπὸ ἰητρικῆς ὁμολογέεται· ὅτι δὲ οὐ πάντες, ἐν τούτῳ ἤδη ψέγεται ἡ τέχνη, καί φασιν οἱ τὰ χείρω λέγοντες, διὰ τοὺς ἁλισκομένους ὑπὸ τῶν νοσημάτων, καὶ τοὺς ἀποφεύγοντας αὐτὰ τύχῃ ἀποφεύγειν καὶ οὐ διὰ τὴν τέχνην.

Ἐγὼ δὲ οὐκ ἀποστερέω μὲν οὐδ᾽ αὐτὸς τὴν τύχην ἔργου οὐδενὸς, ἡγεῦμαι δὲ, τοῖσι μὲν κακῶς θεραπευομένοισι νοσήμασι τὰ πολλὰ τὴν ἀτυχίην ἕπεσθαι, τοῖσι δὲ εὖ τὴν εὐτυχίην. Ἔπειτα δὲ καὶ πῶς οἷόν τέ ἐστι τοῖσιν ὑγιασθεῖσιν ἄλλο τι αἰτιήσασθαι ἢ τὴν τέχνην, εἴπερ χρεόμενοι αὐτῇ καὶ ὑπουργέοντες ὑγιάσθησαν; τὸ μὲν γὰρ τῆς τύχης εἶδος ψιλὸν οὐκ ἐβουλήθησαν θεήσασθαι, ἐν ᾧ τῇ τέχνῃ ἐπέτρεψαν σφᾶς αὐτοὺς, ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς ἀπηλλαγμένοι εἰσὶ, τῆς μέντοι ἐς τὴν τέχνην οὐκ ἀπηλλαγμένοι· ἐν ᾧ γὰρ ἐπέτρεψαν αὐτῇ σφᾶς αὐτοὺς καὶ ἐπίστευσαν, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο καὶ τὴν δύναμιν, περανθέντος τοῦ ἔργου, ἔγνωσαν.

5. Ἐρεῖ δὴ ἐνταῦθα ὁ τἀναντία λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰατρῷ νοσέοντες ὑγιάσθησαν, καὶ ἐγὼ τῷ λόγῳ οὐκ ἀπιστέω· δοκέει γάρ μοι οἷόν τε εἶναι καὶ ἰητρῷ μὴ χρωμένους ἰητρικῇ περιτυχεῖν· οὐ μὴν ὥστε εἰδέναι ὅ,τι ὀρθὸν ἐν αὐτῇ ἐνεστὶ καὶ ὅ,τι μὴ ὀρθόν· ἀλλ᾽ ὡς τε εἰ ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς, ὁκοῖά περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρέοντο. Καὶ τοῦτό γέ πως τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι ἐοῦσά τέ ἐστι καὶ μεγάλη, ὅκου γε φαίνονται καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι σωζόμενοι δι᾽ αὐτήν· πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρωμένους ἰητροῖσι, νοσήσαντας δὲ καὶ ὑγιασθέντας, εἰδέναι, ὅτι ἢ δρῶντές τι ἢ μὴ δρῶντες ὑγιάσθησαν· ἢ γὰρ ἀσιτίῃ ἢ πολυφαγίῃ, ἢ ποτῷ πλείονι ἢ δίψῃ, ἢ λουτροῖσιν ἢ ἀλουσίῃ, ἢ τῇ ἁπάντων τούτων ταραχῇ χρεόμενοι ὑγιάσθησαν· καὶ τῷ ὠφελῆσθαι πολλὴ ἀνάγκη αὐτούς ἐστιν ἐγνωκέναι, ὅ,τι ἦν τὸ ὠφελῆσαν, καὶ ὅτε ἐβλάβησαν, τῷ βλαβῆναι, ὅ,τι ἦν τὸ βλάψαν — τὰ

γὰρ τῷ ὠφελῆσθαι καὶ τὰ τῷ βεβλάφθαι ὡρισμένα οὐ πᾶς ἱκανὸς γνῶναι; Εἰ τοίνυν ἐπιστήσεται ἢ ἐπαινέειν ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι οἷσιν ὑγιάσθη, πάντα ταῦτα τῆς ἰητρικῆς ἐόντα εὑρήσει· καὶ ἔστιν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ ἐς τὸ εἶναι· τὰ μὲν γὰρ ὠφελήσαντα τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησε, τὰ δὲ βλάψαντα τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι ἔβλαψεν. Καί τοι ὅκου τό τε ὀρθὸν καὶ τὸ μὴ ὀρθὸν ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅκου μήτε ὀρθὸν ἔνι μηδὲν, μήτε οὐκ ὀρθόν· ὅκου δὲ τούτων ἔνεστιν ἑκάτερον, οὐκ ἔτι ἂν τοῦτο ἔργον ἀτεχνίης εἴη.

6. Ἔτι τοίνυν εἰ μὲν ἀπὸ φαρμάκων, τῶν τε καθαιρόντων καὶ τῶν ἱστάντων, ἡ ἴησις τῇ τε ἰητρικῇ καὶ τοῖσιν ἰητροῖσι μοῦνον ἐγίγνετο, ἀσθενὴς ἂν ἦν ὁ ἐμὸς λόγος· νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι καὶ διαιτήμασιν ἰώμενοι καὶ ἄλλοισί τοι εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρὸς, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. Ὅκου οὖν οὐδὲν οὔτε ἐν τοῖσιν ἀγαθοῖσι τῶν ἰητρῶν οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν, ἀλλ' ἐν τοῖσι πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων, οὐκ ἔστιν ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων τὸ αὐτόματον αἰτιήσασθαι ὀρθῷ λόγῳ· τὸ μὲν γὰρ αὐτόματον οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον· πᾶν γὰρ τὸ γιγνόμενον διά τι εὑρίσκοιτ' ἂν γιγνόμενον, καὶ ἐν τῷ διά τι τὸ αὐτόματον οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίαν, ἀλλ' ἢ οὔνομα μοῦνον· ἡ δὲ ἰητρικὴ καὶ ἐν τοῖσι διά τι καὶ ἐν τοῖσι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται αἰεὶ οὐσίην ἔχουσα.

7. Τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγίειαν προστιθεῖσι, τὴν δὲ τέχνην ἀφαιρέουσι, τοιαῦτ᾽ ἄν τις λέγοι· τοὺς δ᾽ ἐν τῇσι τῶν ἀποθνησκόντων ξυμφορῇσι τὴν τέχνην ἀφανίζοντας θαυμάζω, ὅτεῳ ἐπαιρόμενοι ἀξιοχρέῳ λόγῳ τὴν μὲν τῶν ἀποθνησκόντων ἀκρισίην οὐκ αἰτίην καθιστᾶσι, τὴν δὲ τῶν ἰητρικὴν μελετησάντων ξύνεσιν αἰτίην· ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι τὰ μὴ δέοντα ἐπιτάξαι, τοῖσι δὲ νοσέουσιν οὐκ ἔνεστι τὰ προσταχθέντα παραβῆναι. Καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσιν ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν· οἱ μὲν γὰρ ὑγιαινούσῃ τῇ γνώμῃ μεθ᾽ ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παραιχομένων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσιν, ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν ὡς ἀπήλλαξαν· οἱ δὲ οὔτε ἃ κάμνουσιν, οὔτε δι᾽ ἃ κάμνουσιν, οὔθ᾽ ὅ,τι ἐκ τῶν παρεόντων ἔσται, οὔθ᾽ ὅ,τι ἐκ τῶν τούτοισιν ὁμοίων γίγνεται εἰδότες, ἐπιτάσσονται ἀλγέοντες μὲν ἐν τῷ παρεόντι, φοβεύμενοι δὲ τὸ μέλλον, καὶ πλήρεες μὲν τῆς νούσου, κενεοὶ δὲ σιτίων, ἐθέλοντες τὰ πρὸς τὴν νοῦσον ἡδέα μᾶλλον ἢ τὰ πρὸς τὴν ὑγίειαν προσδέχεσθαι, οὐκ ἀπαθανεῖν ἐρῶντες, ἀλλὰ καρτερέειν ἀδυνατέοντες. Οὕτω δὲ διακειμένους πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα μὴ ποιέειν ἢ ἄλλα ποιέειν ἃ οὐκ ἐπετάχθησαν, ἢ τοὺς ἰητρούς, τοὺς ἐκείνως διακειμένους ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσεν, ἐπιτάσσειν τὰ μὴ δέοντα; ἆρ᾽ οὐ πολὺ μᾶλλον, τοὺς μὲν δεόντως ἐπιτάσσειν, τοὺς δὲ εἰκότως ἀδυνατέειν πείθεσθαι, μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισιν, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι τὰς αἰτίας τοῖσιν οὐδὲν αἰτίοισιν ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες.

8. Εἰσὶ δέ τινες οἳ καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων μέμφονται τὴν ἰητρικὴν, λέγοντες, ὡς ταῦτα μὲν καὶ αὐτὰ ἀφ' ἑωυτῶν ἂν ἐξυγιάζοιτο ἃ ἐγχειρέουσιν ἰῆσθαι, ὧν δ' ἐπικουρίης δεῖται οὐχ ἅπτονται· δεῖν δὲ, εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰῆσθαι. Οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖσιν ἰητροῖσιν ὅτι αὐτῶν τοιαῦτα λεγόντων οὐκ ἐπιμελέονται ὡς παραφρονεύντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον ἢ ἐκεῖνα μεμφόμενοι· εἰ γάρ τις ἢ τέχνην ἐς ἃ μὴ τέχνη, ἢ φύσιν ἐς ἃ μὴ φύσις πέφυκεν, ἀξιώσειε δύνασθαι, ἀγνοέει ἄγνοιαν ἁρμόζουσαν μανίῃ μᾶλλον ἢ ἀμαθίῃ. Ὧν γάρ ἐστιν ἡμῖν τοῖσί τε τῶν φυσίων τοῖσί τε τῶν τεχνέων ὀργάνοισιν ἐπικρατέειν, τούτων ἔστιν ἡμῖν δημιουργοῖσιν εἶναι, ἄλλων δὲ οὐκ ἔστιν. Ὅταν οὖν τι πάθῃ ὥνθρωπος κακὸν ὃ κρέσσον ἐστὶ τῶν ἐν ἰητρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαι τοῦτό που δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν· αὐτίκα γὰρ τῶν ἐν ἰητρικῇ καιόντων τὸ πῦρ ἐσχάτως καίει, τούτου δὲ ἧσσον καὶ ἄλλα πολλά· τῶν μὲν οὖν ἡσσόνων τὰ κρέσσω οὔπω δῆλον ὅτι ἀνίητα· τῶν δὲ κρατίστων τὰ κρέσσω πῶς οὐ δῆλον ὅτι ἀνίητα; ἃ γὰρ πῦρ δημιουργέει, πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα δῆλον ὅτι ἄλλης δεῖται τέχνης, καὶ οὐ ταύτης, ἐν ᾗ τὸ πῦρ ὄργανον; ωὑτὸς δέ μοι λόγος καὶ ὑπὲρ τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργέει, ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου κατατυχόντα τὸν ἰητρὸν τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. Οἱ μὲν οὖν μεμφόμενοι τοὺς τοῖσι κεκρατημένοισι μὴ ἐγχειρέοντας παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι οὐδὲν ἧσσον ἢ ὧν προσήκει· παρακελευόμενοι δὲ ταῦτα ὑπὸ μὲν τῶν ὀνόματι ἰητρῶν θαυμάζονται, ὑπὸ δὲ τῶν καὶ τέχνῃ

καταγελῶνται. Οὐ μὴν οὕτως ἀφρόνων οἱ ταύτης τῆς δημιουργίης ἔμπειροι οὔτε μωμητῶν οὔτ' ἐπαινετῶν δέονται, ἀλλὰ λελογισμένων πρὸς ὅ,τι ἂν αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι πλήρεες εἰσὶ καὶ ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς, ἔτι τε τῶν ἐνδειῶν ἅς τε τοῖσι δημιουργέουσιν ἀναθετέον ἅς τε τοῖσι δημιουργεομένοισιν.

9. Τὰ μὲν οὖν κατὰ τὰς ἄλλας τέχνας ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει, τὰ δὲ κατὰ τὴν ἰητρικὴν, οἷά τε ἐστιν, ὥς τε κριτέα, τὰ μὲν ὁ παροιχόμενος, τὰ δὲ ὁ παρεὼν διδάξει λόγος. Ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι τὰ μὲν τῶν νοσημάτων οὐκ ἐν δυσόπτῳ κείμενα καὶ οὐ πολλὰ, τὰ δὲ οὐκ ἐν εὐδήλῳ καὶ πολλά ἐστι· τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ, τὰ δ' ἐξανθεῦντα ἐς τὴν χροιὴν ἢ οἰδέοντα ἐν εὐδήλῳ· παρέχει γὰρ ἑωυτῶν τῇ τε ὄψει τῇ τε ψαῦσαι τῆς στερεότητος καὶ τῆς ὑγρότητος αἰσθάνεσθαι, καὶ ἅ τε αὐτῶν θερμὰ ἅ τε ψυχρὰ, ὧν τε ἑκάστου ἡ παρουσίη ἢ ἀπουσίη τοιαῦτά ἐστιν. Τῶν μὲν οὖν τοιούτων πάντων ἐν πᾶσι τὰς ἀκέσιας ἀναμαρτήτους δεῖ εἶναι, οὐχ ὡς ῥηϊδίας, ἀλλ' ὅτι ἐξεύρηνται· ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι· δύνανται δὲ οἷσι τά τε τῆς φύσιος μὴ ἐμποδὼν, τά τε τῆς παιδείης μὴ ἀταλαίπωρα.

10. Πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων οὕτω δεῖ εὐπορέειν τὴν τέχνην· δεῖ γε μὴν αὐτὴν μηδὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπορέειν· ἔστι δὲ ταῦτα ἃ πρός τε τὰ ὀστέα τέτραπται καὶ τὴν νηδύν· ἔχει δὲ τὸ σῶμα οὐ μίαν, ἀλλὰ πλείους· δύο μὲν γὰρ αἱ τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι, ἄλλαι δὲ τουτέων πλείους, ἃς ἴσασιν οἷσι τούτων ἐμέλησεν· ὁκόσα

γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. Πᾶν γὰρ τὸ ἀξύμφυτον, ἤν τε δέρματι ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστιν· πληροῦταί τε ὑγιαῖνον μὲν πνεύματος, ἀσθενῆσαν δὲ ἰχῶρος. Ἔχουσι μὲν τοίνυν οἱ βραχίονες σάρκα τοιαύτην, ἔχουσι δ' οἱ μηροί, ἔχουσι δ' αἱ κνῆμαι. Ἔτι δὲ καὶ ἐν τοῖσιν ἀσάρκοισι τοιαύτη ἔνεστιν, οἵη καὶ ἐν τοῖσιν εὐσάρκοισιν ἐνεῖναι δέδεικται· ὅ τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται, ὅ τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος, τό τε νῶτον, πρὸς ᾧ ὁ πλεύμων, τούτων οὐδὲν ὅ,τι οὐ καὶ αὐτὸ κενεόν ἐστι, καὶ πολλῶν διαφυσίων μεστόν· οἷσιν οὐδὲν ἀπέχει πολλῶν ἀγγεῖα εἶναι, τῶν μέν τι βλαπτόντων τὸν κεκτημένον, τῶν δὲ καὶ ὠφελεύντων. Ἔτι δὲ καὶ πρὸς τούτοισι φλέβες πολλαὶ καὶ νεῦρα οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖσιν ὀστέοισι προστεταμένα, σύνδεσμός ἐστι τῶν ἄρθρων καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ ξυμβολαὶ τῶν κινευμένων ὀστέων ἐγκυκλέονται, καὶ τούτων οὐδέν, ὅ,τι οὐχ ὑπόφρυ ἐστὶ καὶ ἔχον περὶ ἑωυτῷ θαλάμας, ἃς καταγγέλλει ἰχώρ, ὃς ἐκ διοιγομένων αὐτέων πολύς τε καὶ λιπόεις ἐξέρχεται.

11. Οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων οὐδενὶ οὐδὲν ἔστιν εἰδέναι· διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται καὶ τῇ τέχνῃ κέκριται εἶναι· οὐ μήν, ὅτι ἄδηλα, κεκράτηκεν, ἀλλ' ᾗ δυνατὸν κεκράτηται· δυνατὸν δὲ ὅσον αἵ τε τῶν νοσεύντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσιν, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασιν. Μετὰ πλείονος μὲν γὰρ πόνου καὶ οὐ μετ' ἐλάσσονος χρόνου, ἢ εἰ τοῖσιν ὀφθαλμοῖσιν ἑωρᾶτο, γιγνώσκεται· ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται·

καὶ ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος· ὁ μὲν γὰρ, ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετ ᾔει. Καὶ γὰρ δὴ καὶ ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσιν, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν· εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖσιν· τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, ἧσπερ τὸ εἰδέναι τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι πάσῃσι τῇσι θεραπείῃσιν, αἳ κωλύουσι τὰ νοσήματα μεγαλύνεσθαι. Ὅτε οὖν οὐδὲ ἐκ τῶν ἀπαγγελλομένων ἐστὶ τὴν ἀναμάρτητον σαφήνειαν ἀκοῦσαι, προσοπτέον τι καὶ ἄλλο τῷ θεραπεύοντι· ταύτης οὖν τῆς βραδυτῆτος οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις αἰτίη ἡ τῶν σωμάτων· ἡ μὲν γὰρ αἰσθανομένη ἀξιοῖ θεραπεύειν καὶ σκοπέουσα ὅκως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ, καὶ ῥαστώνῃ μᾶλλον ἢ βίῃ θεραπεύῃ· ἡ δ' ἣν μὲν δὴ ἐξαρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι· ἣν δ' ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ διὰ τὸ βραδέως αὐτὸν ἐπὶ τὸν θεράπεύοντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. Ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ οὐκ ἔστι θᾶσσον, προλαβὸν δὲ θᾶσσον· προλαμβάνει δὲ διά τε τὴν τῶν σωμάτων στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι, διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην, ἣν ἐπιτίθενται· οὐ γὰρ λαμβανόμενοι, ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσημάτων ἐθέλουσι θεραπεύεσθαι. Ἐπεὶ τῆς γε τέχνης τὴν δύναμιν ὁκόταν τινὰ τῶν τὰ ἄδηλα νοσεύντων ἀναστήσῃ θαυμάζειν ἀξιώτερον, ἢ ὑπερορᾷν μὴ ἐγχειρησάσης τοῖσιν ἀδυνάτοισιν· ὅκου ἐν ἄλλῃ γε δημιουργίῃ τῶν ἤδη

εὑρημένων οὐδεμιῇ ἔνεστιν οὐδὲν τοιοῦτον, ἀλλ' αὐτέων ὁκόσαι πυρὶ δημιουργεῦνται, τούτου μὴ παρεόντος, ἀεργοί εἰσι, μετὰ δὲ τοῦ τοῦτο ἀφθῆναι ἐνεργοί· καὶ ὁκόσαι, καίτοι ἐν εὐεπανορθώτοισι σώμασι δημιουργεῦνται αἱ μὲν μετὰ ξύλων, αἱ δὲ μετὰ σκυτέων, αἱ δὲ γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ καὶ τοῖσι τούτων ὁμοιοσχήμοσιν αἱ πλεῖσται· ὧν τά τε ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα εὐεπανόρθωτα· ὅμως οὐ τῷ τάχεϊ μᾶλλον, ἢ τῷ ὡς δεῖ δημιουργέεται· οὐδ' ὑπερβατῶς, ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων, ἐλινύει· καίτοι κἀκείνῃσι τὸ βραδὺ πρὸς τὸ λυσιτελέειν ἀξύμφορον· ἀλλ' ὅμως προτιμᾶται.

12. Ἰητρικὴ δὲ, τοῦτο μὲν τῶν ἐμπύων, τοῦτο δὲ τῶν τὸ ἧπαρ ἢ τοὺς νεφροὺς, τοῦτο δὲ τῶν ξύμπαν τὸ ἐν τῇ νηδύϊ νοσεύντων ἀπεστερημένη τι ἰδεῖν ὄψι, ᾗ τὰ πάντα πάντες ἱκανωτάτως ὁρῶσιν, ὅμως ἄλλας εὐπορίας. ξυνεργοὺς ἐφεῦρε· φωνῆς τε γὰρ λαμπρότητι καὶ τραχύτητι, καὶ πνεύματος ταχυτῆτι καὶ βραδυτῆτι, καὶ ῥευμάτων, ἃ διαῤῥέειν εἴωθεν ἑκάστοισι δι' ὧν ἔξοδοι δέδονται, τὰ μὲν ὀδμῇσι, τὰ δὲ χροιῇσι, τὰ δὲ λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. Ὅταν δὲ ταῦτα μηνύοντα μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀνάγκας εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησιν· μεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ τῆς τέχνης εἰδόσιν, ἃ ποιητέα. Βιάζεται δὲ τοῦτο μὲν πῦρ τὸ ξύντροφον φλέγμα διαχέειν σιτίων δριμύτητι καὶ πομάτων, ὅκως τεκμαρεῖ τι τὸ ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτῇ ἐν ἀμηχάνῳ τὸ ὀφθῆναι ἦν· τοῦτο δ' αὖ, πνεῦμα ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι καὶ δρόμοισιν ἐκβιᾶται κατηγορέειν· ἱδρῶτάς τε

τούτοισι τοῖσι προειρημένοισιν ἄγουσα ὑδάτων θερμῶν ἀποστύσιρσι περὶ πυρὸς αὖ τεκμαίρεται. Ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. Ἐξεύρηκεν οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γιγνόμενα τήκει τε ἐκεῖνα καὶ διαῤῥέειν ποιέει, ἃ οὐκ ἂν διεῤῥύη μὴ τοῦτο παθόντα. Ἕτερα μὲν οὖν πρὸς ἑτέρων καὶ ἄλλα δι' ἄλλων ἐστὶ τά τε διϊόντα τά τε ἐξαγγέλλοντα, ὥστε οὐ θαυμάσιον αὐτῶν τάς τε ἀπιστίας χρονιωτέρας γίγνεσθαι τάς τε ἐγχειρήσιας βραδυτέρας, οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν ξύνεσιν ἑρμηνευομένων.

13. Ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους ἐς τὰς ἐπικουρίας ἔχει ἰητρικὴ καὶ οὐκ εὐδιορθώτοισι δικαίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισιν, ἢ ἐγχειρευμένας ἀναμαρτήτους ἂν παρέχοι οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν, οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθεϊ ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν ἂν ἀκούσωσιν.

Περὶ ἀρχαίης ἰητρικῆς.

1. Ὁκόσοι μὲν ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν ἢ γράφειν, ὑπόθεσιν σφίσιν αὐτοῖσιν ὑποθέμενοι τῷ λόγῳ θερμὸν ἢ ψυχρὸν ἢ ὑγρὸν ἢ ξηρὸν ἢ ἄλλο, ὅ,τι ἂν ἐθέλωσιν, ἐς βραχὺ ἄγοντες τὴν ἀρχὴν τῆς αἰτίης τοῖσιν ἀνθρώποισι νούσων τε καὶ θανάτου καὶ πᾶσι τὴν αὐτὴν, ἓν ἢ δύο ὑποθέμενοι, ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶν ἁμαρτά-

νοντες· μάλιστα δὲ ἄξιον μέμψασθαι, ὅτι ἀμφὶ τέχνης ἐούσης, ᾗ χρέονταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας καὶ δημιουργούς. Εἰσὶ δὲ δημιουργοὶ, οἱ μὲν φλαῦροι, οἱ δὲ πολλὸν διαφέροντες· ὅπερ, εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο μηδὲν, οὐκ ἂν ἦν, ἀλλὰ πάντες ὁμοίως ἂν αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν, τύχῃ δ' ἂν πάντα τὰ τῶν καμνόντων διοικέετο. Νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ γνώμην, οὕτω δὴ καὶ ἐπὶ ἰητρικῆς. Διὸ οὐκ ἠξίουν αὐτὴν ἔγωγε κενῆς ὑποθέσιος δεῖσθαι, ὥσπερ τὰ ἀφανέα καὶ τὰ ἀπορεόμενα· περὶ ὧν ἀνάγκη, ἤν τις ἐπιχειρέῃ τι λέγειν, ὑποθέσει χρῆσθαι· οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν· ἃ εἴ τις λέγοι καὶ γιγνώσκειν ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι οὔτε τοῖσιν ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν εἴτε μή· οὐ γὰρ ἔστι πρὸς ὅτι χρὴ ἐπανενέγκαντα εἰδέναι τὸ σαφές.

2. Ἰητρικῇ δὲ πάλαι πάντα ὑπάρχει καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται ἐν πολλῷ χρόνῳ καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ἐὼν καὶ τὰ εὑρημένα εἰδὼς ἐκ τούτων ὁρμώμενος ζητέῃ. Ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα ἑτέρῃ ὁδῷ καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν καὶ φησί τι εὑρηκέναι, ἐξηπάτηται καὶ ἐξαπατᾶται· ἀδύνατον γάρ· δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειρήσομαι ἐπιδεῖξαι, λέγων καὶ δεικνὺς τὴν τέχνην ὅ,τι ἐστίν. Ἐκ τούτου δὲ καταφανὲς ἔσται ἀδύνατον ἐὸν τὸ ἄλλως πως τὸ ἐτεὸν εὑρίσκεσθαι· μάλιστα δέ μοι δοκέει περὶ ταύτης δεῖν λέγοντα τῆς

τέχνης γνωστὰ λέγειν τοῖσι δημότησιν. Οὐ γὰρ περὶ ἄλλων τινῶν οὔτε ζητέειν προσήκει οὔτε λέγειν ἢ περὶ τῶν παθημάτων ὧν αὐτοὶ οὗτοι νοσέουσί τε καὶ πονέουσιν· αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν, ὥς τε γίγνεται καὶ παύεται καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, δημότας ἐόντας, οὐ ῥηΐδιον· ὑπ' ἄλλου δὲ εὑρημένα καὶ λεγόμενα εὐπετές· οὐδὲν γὰρ ἕτερον ἢ ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν ἑωυτῷ ξυμβαινόντων. Εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται καὶ μὴ διαθήσει οἱ τοὺς ἀκούοντας, οὗτος τοῦ ἐόντος ἀποτεύξεται. Καὶ διὰ ταῦτα οὖν ταύτῃ οὐδὲν δεῖ ὑποθέσιος.

3. Τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη ἡ τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη, οὐδὲν γὰρ αὐτῆς ἔδει, εἰ τοῖσι κάμνουσι τῶν ἀνθρώπων, τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες ἐσθίουσί τε καὶ πίνουσι καὶ τ' ἄλλ' ἃ διαιτέονται, ξυνέφερεν καὶ μὴ ἦν ἕτερα τούτων βελτίω. Νῦν δ' αὕτη ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητηθῆναί τε καὶ εὑρεθῆναι ἀνθρώποισιν, ὅτι τοῖσι κάμνουσι τ'αὐτὰ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερεν, ὡς οὐδὲ νῦν ξυμφέρει. Ἔτι δ' ἄνωθεν ἔγωγε ἀξιῶ οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν, ᾗ νῦν χρέονται, εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ τ'αὐτὰ ἐσθίοντι καὶ πίνοντι βοΐ τε καὶ ἵππῳ καὶ πᾶσιν ἐκτὸς ἀνθρώπου, οἷον τὰ ἐκ τῆς γῆς φυόμενα, καρπούς τε καὶ ὕλην καὶ χόρτον· ἀπὸ τούτων γὰρ τρέφονταί τε καὶ αὔξονται καὶ ἄπονοι διάγουσιν, οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. Καί τοι τήν γε ἀρχὴν ἔγωγε δοκέω καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι, τὰ δὲ νῦν διαιτήματα εὑρημένα καὶ τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαι. Δοκέει

γάρ μοι, ὡς ἔπασχον πολλά τε καὶ δεινὰ ὑπ' ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης, ὠμά τε καὶ ἄκρητα καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷά περ ἂν καὶ νῦν ὑπ' αὐτῶν πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες καὶ διὰ τάχεος θανάτοισιν. Ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν διὰ τὴν συνήθειαν, ὑπ' ἰσχυρῶν δὲ καὶ τότε· καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας ἀπόλλυσθαι εἰκός, τοὺς δὲ τούτων ὑπερέχοντας πλείω χρόνον ἀντέχειν· ὥσπερ καὶ νῦν ἀπὸ τῶν ἰσχυρῶν βρωμάτων οἱ μὲν ῥηϊδίως ἀπαλλάσσονται, οἱ δὲ μετὰ πολλῶν πόνων τε καὶ κακῶν. Διὰ δὴ ταύτην τὴν αἰτίην καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσι καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρώμεθα· ἐκ μὲν οὖν τῶν πυρῶν, βρέξαντές τε καὶ πτίσαντες καὶ καταλέσαντές τε καὶ διασήσαντες καὶ φορύξαντες καὶ ὀπτήσαντες ἀπετέλεσαν ἡμῖν ἄρτον, ἐκ δὲ τῶν κριθέων μᾶζαν· ἄλλα τε συχνὰ περὶ ταύτην πρηγματευσάμενοι ἥψησάν τε καὶ ὤπτησαν, καὶ ἔμιξαν καὶ ἐκέρασαν τὰ ἰσχυρά τε καὶ ἄκρητα τοῖσιν ἀσθενεστέροισι, πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν, ἡγεύμενοι, ὡς ἢν μὲν ᾖ ἰσχυρά, οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἢν ἐμφέρηται· ἀπὸ τούτων τε αὐτῶν πόνους τε καὶ νούσους καὶ θανάτους ἔσεσθαι· ὁκόσων δ' ἂν δύνηται ἐπικρατέειν, ἀπὸ τούτων τροφήν τε καὶ αὔξησιν καὶ ὑγίειαν. Τῷ δ' εὑρήματι τούτῳ καὶ ζητήματι τί οὖν οὔνομα δικαιότερον ἄν τις θείη ἢ ἰητρικήν; ὅτι γε εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ καὶ σωτηρίῃ, ἄλλαγμα ἐκείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ αἱ νοῦσοι καὶ οἱ θάνατοι γίγνονται.

4. Εἰ δὲ μὴ τέχνη αὕτη νομίζεται εἶναι, οὐκ ἀπεικός·

ἧς γὰρ μηδεὶς ἔσται ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες ἔς τι διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι, ἐπεὶ τό γε εὕρημα μέγα τε καὶ πολλῆς σκέψιός τε καὶ τέχνης. Ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀσκησίων ἐπιμελεόμενοι αἰεί τι προσεξευρίσκουσι, κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες ὅ,τι ἔδων τε καὶ πίνων ἐπικρατήσει τε αὐτοῦ μάλιστα καὶ ἰσχυρότερος αὐτὸς ἑωυτοῦ ἔσται.

5. Σκεψώμεθα δέ νυν καὶ τὴν ὁμολογουμένως ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, ἣ καὶ οὔνομα καὶ τεχνίτας ἔχει, ἱερή τε εἶναι αὐτὴ αὐτῶν ἐθέλει, πόθεν ποτὲ ἦρκται. Ἐμοὶ μὲν γὰρ, ὅπερ ἐν ἀρχῇ εἶπον, οὐδ' ἂν ζητῆσαι δοκέει ἰητρικὴν οὐδεὶς, εἰ τ'αὐτὰ διαιτήματα τοῖσί τε κάμνουσι καὶ τοῖσιν ὑγιαίνουσιν ἥρμοζεν. Ἔτι γοῦν καὶ νῦν ὁκόσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι καὶ τῶν Ἑλλήνων οἱ ὁμόνομοι, τὸν αὐτὸν τρόπον, ὅν περ ὑγιαίνοντες, διαιτέονται πρὸς ἡδονὴν, καὶ οὔτ' ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσιν, οὔθ' ὑποστείλαιντο ἄν. Οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν ἐκείνοισι διάνοιαν ἔχοντες περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μὲν, οἶμαι, ὕφειλον τοῦ πλήθεος τῶν σιτίων αὐτῶν τούτων καὶ ἀντὶ πλεόνων ὀλιγοστὰ ἐποίησαν· ἐπεὶ δὲ αὐτοῖσι τοῦτο ἔστι μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μέντοι πᾶσί γε, ἀλλ' ἦσάν τινες οὕτως ἔχοντες, ὡς μηδ' ὀλίγων σιτίων δύνασθαι ἐπικρατέειν, ἀσθενεστέρου δὲ δή τινος οἱ τοιοίδε ἐδόκεον δεῖσθαι, εὗρον τὰ ῥυφήματα, μίξαντες ὀλίγα τῶν ἰσχυρῶν πολλῷ τῷ ὕδατι καὶ ἀφαιρεόμενοι τὸ ἰσχυρὸν τῇ κρήσι τε καὶ ἑψήσι. Ὁκόσοι δὲ μηδὲ τῶν ῥυφημάτων ἐδύναντο ἐπικρατέειν, ἀφεῖλον καὶ

ταῦτα καὶ ἀφίκοντο ἐς πόματα καὶ αὐτὰ τῇσί τε κρήσισι καὶ τῷ πλήθεϊ διαφυλάσσοντες ὡς μετρίως ἔχοι, μήτε πλείω τῶν δεόντων μήτε ἀκρητότερα προσφερόμενοι, μήτ' ἐνδεέστερα.

6. Εὖ δὲ χρὴ τοῦτο εἰδέναι, ὅτι εἰσὶν οἷσι τὰ ῥυφήματα ἐν τῇσι νούσοισιν οὐ ξυμφέρει, ἀλλ' ἄντικρυς, ὅταν ταῦτα προσαίρωνται, παροξύνονταί σφισιν οἵ τε πυρετοὶ καὶ τὰ ἀλγήματα· καὶ δῆλον τὸ προσενεχθὲν τῇ μὲν νούσῳ τροφή τε καὶ αὔξησις γενόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀῤῥωστίη. Ὁκόσοι δ' ἂν τῶν ἀνθρώπων ἐν ταύτῃ τῇ διαθέσι ἐόντες προσενέγκωνται ξηρὸν σιτίον, ἢ μᾶζαν, ἢ ἄρτον, καὶ πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν ἢ ῥυφέοντες, δι' οὐδὲν ἄλλο ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν καὶ ὅτι γε ῥυφέειν ξυμφέρει, ἐσθίειν δ' οὔ· εἰ γὰρ πλείω φάγοι, ἔτι ἂν μᾶλλον κακωθείη· εἰ, καὶ εἰ ὀλίγα, πονήσει. Πάντα δὴ τὰ αἴτια τοῦ πόνου ἐς τὸ αὐτὸ ἀνάγεται, τὸ τὰ ἰσχυρότατα μάλιστά τε καὶ ἐπιφανέστατα λυμαίνεσθαι τὸν ἄνθρωπον, καὶ τὸν ὑγιέα ἐόντα καὶ τὸν νοσέοντα.

7. Τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς ὁ καλεύμενος ἰητρὸς καὶ ὁμολογουμένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας δίαιτάν τε καὶ τροφὴν, ἢ ἐκεῖνος ὁ ἀπ' ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισι τροφὴν ᾗ νῦν χρεόμεθα ἐξ ἐκείνης τῆς ἀγρίης τε καὶ θηριώδεος διαίτης εὑρών τε καὶ παρασκευάσας; ἐμοὶ μὲν γὰρ φαίνεται ωὑτὸς τρόπος καὶ ἕν τε καὶ ὅμοιον τὸ εὕρημα. Ὁ μὲν, ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ὑγιαίνουσα ἐπικρατέειν ἐμπιπτόντων διὰ θηριότητά τε καὶ ἀκρησίην, ὁ δὲ, ὅσων ἡ διάθεσις ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος μὴ ἂν δύνηται ἐπικρατέειν, ταῦτα ἐζήτησεν ἀφ-

ἑλεῖν. Τί δὴ τοῦτο ἐκείνου διαφέρει ἀλλ' ἢ τό τε εἶδος καὶ ὅτι ποικιλώτερον καὶ πλέονος πραγματείης; ἀρχὴ δὲ ἐκείνη ἡ πρότερον γενομένη.

8. Εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν οὐ βλαβερωτέρην, ἤπερ εἰ τὴν τῶν ὑγιαινόντων πρὸς τὴν τῶν τε θηρίων καὶ τῶν ἄλλων ζώων. Ἀνὴρ γὰρ κάμνων νοσήματι μήτε τῶν χαλεπῶν τε καὶ ἀπόρων, μήτ' αὖ τῶν παντάπασιν εὐηθέων, ἀλλ' οἷον αὐτῷ ἐξαμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ ἐθέλοι καταφαγεῖν ἄρτον καὶ κρέας ἢ ἄλλο τι ὧν οἱ ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολλὸν, ἀλλὰ πολλῷ ἔλασσον ἢ ὑγιαίνων ἂν ἠδύνατο· ἄλλος τε τῶν ὑγιαινόντων φύσιν ἔχων μήτε παντάπασιν ἀσθενέα, μήτ' αὖ ἰσχυρὴν, εἰ φάγοι τι ὧν βοῦς ἢ ἵππος φαγὼν ὠφελοῖτό τε καὶ ἰσχύοι, οἷον ὀρόβους ἢ κριθὰς ἢ ἄλλο τι τῶν τοιούτων μὴ πολλὸν, ἀλλὰ πολλῷ μεῖον ἢ δύναιτο· οὐκ ἂν ἧσσον ὁ ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειεν ἐκείνου τοῦ νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μᾶζαν ἀκαίρως προσηνέγκατο. Ταῦτα δὴ πάντα τεκμήρια, ὅτι αὕτη ἡ τέχνη πᾶσα ἡ ἰητρικὴ τῇ αὐτῇ ὁδῷ ζητεομένη εὑρίσκοιτο ἄν.

9. Καὶ εἰ μὲν οὖν ἁπλῶς, ὥσπερ ὑφήγηται, ὅσα μὲν ἰσχυρότερα, ἔβλαπτεν, ὅσα δ' αὖ ἀσθενέστερα, ὠφέλει τε καὶ ἔτρεφε, καὶ τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ πρῆγμα· πολλὸν γὰρ τοῦ ἀσφαλέος ἀνέδην περιλαμβάνοντας ἄγειν ἐπὶ τὸ ἀσθενέστερον. Νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα, οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον, ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται· τὸ γὰρ τοῦ λιμοῦ μένος ἰσχυρῶς δύναται ἐν τῇ φύσει τοῦ ἀνθρώπου καὶ γυι-

ὦσαι καὶ ἀποκτεῖναι. Πολλὰ δὲ καὶ ἄλλα κακὰ, ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ, οἶμαι, δεινὰ, ἀπὸ κενώσιος· δι' ἃ πολλὸν ποικιλωτέρη τε καὶ διὰ πλέονος ἀκριβείης ἐστίν. Δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι· μέτρον δὲ, οὔτε ἀριθμὸν οὔτε σταθμὸν, ἄλλο, πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐδ' ἂν εὕροις ἀλλ' ἢ τοῦ σώματος τὴν αἴσθησιν. Διὸ ἔργον οὕτω καταμαθεῖν ἀκριβέως, ὥστε σμικρὰ ἁμαρτάνειν ἔνθα ἢ ἔνθα· καὶ ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέω μοι τὸν σμικρὰ ἁμαρτάνοντα· τὸ δὲ ἀτρεκὲς ὀλιγάκις ἔστι κατιδεῖν· ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν τ'αὐτά μοι δοκέουσι τοῖσι κακοῖσι κυβερνήτῃσι πάσχειν· καὶ γὰρ ἐκεῖνοι ὅταν ἐν γαλήνῃ κυβερνῶντες ἁμαρτάνωσιν, οὐ καταφανέες εἰσίν· ὅταν δὲ αὐτοὺς κατάσχῃ χειμών τε μέγας καὶ ἄνεμος ἐξώστης, φανερῶς πᾶσιν ἤδη ἀνθρώποισι δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσιν ἀπολέσαντες τὴν ναῦν. Οὕτω δὴ καὶ οἱ κακοί τε καὶ πλεῖστοι ἰητροὶ, ὅταν μὲν θεραπεύωσιν ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ἐς οὓς ἄν τις καὶ τὰ μέγιστα ἁμαρτάνων οὐδὲν δεινὸν ἐργάσαιτο, πολλὰ δὲ τοιαῦτα νοσήματα καὶ πολλόν τι πλείω τῶν δεινῶν ἀνθρώποισι ξυμβαίνει, ἐν μὲν τοῖσι τοιούτοισιν ἁμαρτάνοντες οὐ καταφανέες εἰσὶ τοῖσιν ἰδιώτῃσιν· ὁκόταν δ' ἐντύχωσι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλεῖ νοσήματι, τότε σφέων τά τε ἁμαρτήματα καὶ ἡ ἀτεχνίη πᾶσι καταφανής ἐστιν· οὐ γὰρ αὐτῶν ἑκὰς αἱ τιμωρίαι, ἀλλὰ διὰ τάχεος πάρεισιν.

10. Ὅτι δὲ οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίγνονται τῷ ἀνθρώπῳ ἢ ἀπὸ πληρώσιος, καταμανθάνειν καλῶς ἔχει ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. Ἔστι γὰρ οἷσιν αὐτῶν ξυμφέρει μονοσιτέειν, καὶ τοῦτο, διὰ τὸ

ξυμφέρειν οὕτως αὐτοῖσιν, ἐτάξαντο· ἄλλοισι δὲ ἀριστᾶν, δι
τὴν αὐτὴν ἀνάγκην· οὕτω γὰρ αὐτοῖσι ξυμφέρει. Καὶ μὴν τοῦ
εἰσὶν οἳ ἢ δι' ἡδονὴν ἢ δι' ἄλλην τινὰ ξυγκυρίην ἐπετήδει
σαν ὁκότερον αὐτῶν. Τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώ
πων οὐδὲν διαφέρει, ὁκότερον ἂν ἐπιτηδεύσωσιν, εἴτε μονο
σιτέειν, εἴτε ἀριστᾷν, τούτῳ τῷ ἔθεϊ χρέεσθαι· εἰσὶ δέ τινε
οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ ξυμφέροντος ποιέοντες ῥηϊδίω
ἀπαλλάσσειν, ἀλλὰ ξυμβαίνει αὐτῶν ἑκατέροισι παρ' ἡμέρη
μίαν καὶ ταύτην οὐχ ὅλην μεταβάλλουσιν ὑπερφυὴς κακοπο
θεια. Οἱ μὲν γὰρ, ἢν ἀριστήσωσι μὴ ξυμφέροντος αὐτοῖσι
εὐθὺς βαρέες καὶ νωθροὶ, καὶ τὸ σῶμα καὶ τὴν γνώμην, χα
σμῆς τε καὶ νυσταγμοῦ καὶ δίψης πλήρεες· ἢν δὲ καὶ ἐπι
δειπνήσωσι, καὶ φῦσα καὶ στρόφος, καὶ ἡ κοιλίη καταῤῥήγνυ
ται· καὶ πολλοῖσιν ἀρχὴ νούσου αὕτη μεγάλης ἐγένετο, ἢ
τὰ αὐτὰ σιτία, ἃ μεμαθήκεσαν ἅπαξ ἀναλίσκειν, ταῦτα δ
προσενέγκωνται, καὶ μηδ' ἐνὶ πλείω. Τοῦτο δὲ, ἢν ἀριστᾶ
μεμαθηκώς τις, καὶ οὕτως αὐτῷ ξυμφέρον ἦν, μὴ ἀριστήση
ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, εὐθὺς ἀδυναμίη δεινὴ, τρόμο
ἀψυχίη· ἐπὶ τούτοισιν ὀφθαλμοὶ κοῖλοι, οὖρον χλωρότερο
καὶ παχύτερον, καὶ στόμα πικρὸν, καὶ τὰ σπλάγχνα δοκέ
οἱ κρέμασθαι, σκοτοδινίη, δυσοργίη. Ταῦτα δὲ πάντα κα
ὅταν δειπνέειν ἐπιχειρήσῃ· ἀηδέστερος μὲν ὁ σῖτος, ἀναλι
σκειν δὲ οὐ δύναται ὅσα ἀναλίσκειν δυνατὸς ἦν, ὅτε, ἀριστι
ζόμενος πρότερον, ἐδείπνει· τὰ αὐτὰ δὲ ταῦτα μετὰ στρό
φου τε καὶ ψόφου καταβαίνοντα ξυγκαίει τὴν κοιλίην· δυσ
κοιτέουσί τε καὶ ἐνυπνιάζουσι τεταραγμένα τε καὶ θορυβώ
δεα· πολλοῖσι δὲ καὶ τούτων αὕτη ἀρχὴ νούσου ἐγένετο.

11. Σκέψασθαι δὲ χρὴ διὰ τίνα αἰτίην αὐτοῖσι ταῦτ

ξυνέβη· τῷ μὲν, οἶμαι, μεμαθηκότι μονοσιτέειν, ὅτι οὐκ ἀνέμεινε τὸν χρόνον τὸν ἱκανὸν μέχρις αὐτοῦ ἡ κοιλίη τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων ἀπολαύσῃ τελέως καὶ ἐπικρατήσῃ, καὶ λαπαχθῇ τε καὶ ἡσυχάσῃ, ἀλλ' ἐπὶ ζέουσάν τε καὶ ἐζυμωμένην καινὰ ἐπεσηνέγκατο· αἱ δὲ τοιαῦται κοιλίαι πολλῷ τε βραδύτερον πέσσουσι καὶ πλέονος δέονται ἀναπαύσιος τε καὶ ἡσυχίης· ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, ὅτι, ἐπειδὴ τάχιστα ἐδεήθη τὸ σῶμα τροφῆς καὶ τὰ πρότερα κατανάλωτο καὶ οὐκ εἶχεν οὐδεμίαν ἀπόλαυσιν, οὐκ εὐθέως αὐτῷ προσπαρεγένετο καινὴ τροφὴ, φθίνει τε καὶ ξυντήκεται ὑπὸ λιμοῦ· πάντα γὰρ ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον λιμῷ ἀνατίθημι. Φημὶ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας οἵτινες ἂν ὑγιαίνοντες ἄσιτοι δύο ἡμέρας ἢ τρεῖς γένωνται, τ'αὐτὰ πείσεσθαι οἷά περ ἐπὶ τῶν ἀναρίστων γενομένων εἴρηκα.

12 Τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι, τὰς ταχέως τε καὶ ἰσχυρῶς τῶν ἁμαρτημάτων ἀπολαυούσας, ἀσθενεστέρας εἶναι τῶν ἑτέρων· ἐγγύτατα δὲ τοῦ ἀσθενέοντός ἐστιν ὁ ἀσθενής· ἐστὶ δὲ ἀσθενέστερος ὁ ἀσθενέων καὶ μᾶλλον αὐτῷ προσήκει ὅ,τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ πονέειν· χαλεπὸν μὴν, τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. Πολλὰ οὖν εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκρίβειαν ἥκει, περὶ ὧν εἰρήσεται· οὔ φημι δὲ δεῖν διὰ τοῦτο τὴν τέχνην ὡς οὐκ ἐοῦσαν οὐδὲ καλῶς ζητεομένην τὴν ἀρχαίην ἀποβάλλεσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκρίβειαν, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ὁμοῦ τοῦ ἀτρεκεστάτου δύνασθαι ἥκειν λογισμῷ προσίεσθαι· καὶ πολλῆς ἀγνωσίης, μὴ θαυμάζειν τὰ ἐξευρημένα ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται καὶ οὐκ ἀπὸ τύχης.

13. Ἐπὶ δὲ τὸν τῶν καινὸν τρόπον τὴν τέχνην ζητεόντων λόγον ἐπανελθεῖν βούλομαι. Εἰ γάρ τί ἐστι θερμὸν ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρὸν τὸ λυμαινόμενον τὸν ἄνθρωπον, καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθέειν τῷ μὲν θερμῷ ἐπὶ τὸ ψυχρὸν, τῷ δὲ ψυχρῷ ἐπὶ τὸ θερμὸν, τῷ δὲ ξηρῷ ἐπὶ τὸ ὑγρὸν, τῷ δὲ ὑγρῷ ἐπὶ τὸ ξηρόν· ἔστω μοι ἄνθρωπος μὴ τῶν ἰσχυρῶν φύσι, ἀλλὰ τῶν ἀσθενεστέρων· οὗτος δὲ πυροὺς ἐσθιέτω οὓς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ ἀργοὺς καὶ κρέα ὠμὰ, καὶ πινέτω ὕδωρ. Ταύτῃ δὴ χρεόμενος τῇ διαίτῃ εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά· καὶ γὰρ πόνους πονήσει καὶ τὸ σῶμα ἀσθενὲς ἔσται καὶ ἡ κοιλίη φθαρήσεται καὶ ζῆν πουλὺν χρόνον οὐ δυνήσεται. Τί δὴ χρὴ οὖν βοήθημα παρεσκευάσθαι ὧδε ἔχοντι; θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν; δῆλον γὰρ ὅτι τούτων τι. Εἰ γὰρ τὸ λυμαινόμενον αὐτῶν γ' ἐστὶ τούτων τὸ ἕτερον, τῷ ὑπεναντίῳ προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει· Τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον, ἀφελόντα τὰ διαιτήματα οἷσιν ἐχρῆτο, ἀντὶ μὲν τῶν πυρῶν ἄρτον διδόναι, ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν ἑφθὰ, πιεῖν τε ἐπὶ τούτοισιν οἴνου· ταῦτα μεταβαλόντα οὐχ οἷόν τε μὴ ὑγιέα γενέσθαι, ἤν γε μὴ παντάπασιν ᾖ διεφθαρμένος ὑπὸ χρονιωτέρης τῆς διαίτης. Τί δὴ φήσομεν; πότερον αὐτῷ ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, ἢ τἀναντία; οἶμαι γὰρ ἔγωγε πολλὴν ἂν ἀπορίην τῷ ἐρωτηθέντι παρασχεῖν· ὁ γὰρ τὸν ἄρτον σκευάζων τῶν πυρῶν τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφείλετο; ὃς πυρὶ δέδοται καὶ ὕδατι δέδευται καὶ εἴδεσι πολλοῖσιν εἴργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει, καὶ τὰ μένεα τῶν ὑπαρχόντων ἀποβέβληκε καὶ ἄλλοισι κέκρηταί τε καὶ μέμικται;

14. Οἶδα μὲν γὰρ καὶ τάδε δήπου, ὅτι διαφέρει ἐς τὸ σῶμα τοῦ ἀνθρώπου καθαρὸς ἄρτος ἢ ξυγκόμιστος, ἢ ἀπτίστων πυρῶν ἢ ἐπτισμένων, ἢ πολλῷ ὕδατι πεφυρημένος ἢ ὀλίγῳ, ἰσχυρῶς πεφυρημένος ἢ ἀφύρητος, ἢ ἔξοπτος ἢ ἔνωμος, ἄλλα τε πρὸς τούτοισι μυρία· ὡς δ' αὔτως καὶ περὶ μάζης· καὶ αἱ δυνάμιες μεγάλαι τε ἑκάστου καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. Ὅστις δὲ ταῦτα μὴ ᾖ σκεπτόμενος, οὐκ οἶδα, πῶς ἄν τι οὗτος δύναιτο τῶν κατὰ τὸν ἄνθρωπον παθημάτων εἰδέναι; ὑπὸ γὰρ ἑνὸς ἑκάστου τούτων πάσχει τε καὶ ἑτεροιοῦται ὁ ἄνθρωπος ἢ τοῖον ἢ τοῖον, καὶ διὰ τούτων πᾶς ὁ βίος καὶ ὑγιαίνοντι, καὶ ἐκ νούσου ἀνατρεφομένῳ, καὶ κάμνοντι. Οὐκ ἂν οὖν ἕτερα τούτων χρησιμώτερα, οὐδ' ἀναγκαιότερα εἴη εἰδέναι δήπου· ὡς δὲ καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ οἱ πρῶτοι εὑρόντες, ᾠήθησαν ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι· ὥσπερ καὶ νομίζεται. Οὐ γὰρ τὸ ξηρὸν, οὐδὲ τὸ ὑγρὸν, οὐδὲ τὸ θερμὸν, οὐδὲ τὸ ψυχρὸν, οὐδὲ ἄλλο τούτων ἡγησάμενοι οὐδὲν οὔτε λυμαίνεσθαι οὔτε προσδεῖσθαι τούτων οὐδενὸς τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἰσχυρὸν ἑκάστου καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπίνης, οὗ οὐκ ἠδύνατο κρατέειν, τοῦτο βλάπτειν ἡγήσαντο καὶ τοῦτο ἐζήτησαν ἀφαιρεῖν. Ἰσχυρότατον δέ ἐστι τοῦ μὲν γλυκέος τὸ γλυκύτατον, τοῦ δὲ πικροῦ τὸ πικρότατον, τοῦ δὲ ὀξέος τὸ ὀξύτατον, ἑκάστου δὲ πάντων τῶν ἐνεόντων ἡ ἀκμή· ταῦτα γὰρ ἑώρων καὶ ἐν τῷ ἀνθρώπῳ ἐνεόντα καὶ λυμαινόμενα τὸν ἄνθρωπον. Ἔνι γὰρ ἐν ἀνθρώπῳ καὶ πικρὸν καὶ ἁλμυρὸν καὶ γλυκὺ καὶ ὀξὺ καὶ στρυφνὸν καὶ πλαδαρὸν καὶ ἄλλα μυρία παντοίας δυνάμιας ἔχοντα πλῆθός τε καὶ ἰσχύν· ἃ, αὐτὰ μὲν μεμιγμένα καὶ κεκρημένα

ἀλλήλοισιν, οὔτε φανερά ἐστιν οὔτε λυπέει τὸν ἄνθρωπον· ὅταν δέ τι τούτων ἀποκριθῇ καὶ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τότε καὶ φανερόν ἐστι καὶ λυπέει τὸν ἄνθρωπον. Τοῦτο δὲ, καὶ τῶν βρωμάτων ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστι καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τούτων ἓν ἕκαστον ἢ πικρόν ἐστι ἢ ἁλμυρὸν ἢ ὀξὺ ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρὸν, καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτῶν, ὥσπερ καὶ ὑπὸ τῶν ἐν τῷ σώματι ἀποκρινομένων. Πάντα δὲ ὅσα ἄνθρωπος ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τοιούτου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος δῆλά ἐστιν μετέχοντα, οἷον ἄρτος τε καὶ μᾶζα καὶ τὰ ἑπόμενα τούτοισιν, οἷσιν εἴθισται ὥνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρέεσθαι, ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ ἐσκευασμένων· καὶ ἀπὸ τούτων πλείστων ἐσιόντων ἐς τὸν ἄνθρωπον τάραχος καὶ ἀπόκρισις τῶν ἀμφὶ τὸ σῶμα δυναμίων ἥκιστα γίγνεται, ἰσχὺς δὲ καὶ αὔξησις καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον, ἢ ὅτι εὖ τε ξυγκέκρηται καὶ οὐδὲν ἔχει οὔτε ἄκρητον οὔτε ἰσχυρὸν, ἀλλ' ὅλον ἕν τε γέγονε καὶ ἁπλόον.

15. Ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες καὶ ἀπάγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ τὴν ὑπόθεσιν τὴν τέχνην, τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους ὥσπερ ὑποτίθενται. Οὐ γάρ ἐστιν αὐτοῖσιν, οἶμαι, ἐξευρημένον αὐτό τι ἐφ' ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν, μηδενὶ ἄλλῳ εἴδεϊ κοινωνέον, ἀλλ' οἶμαι ἔγωγε ταὐτὰ βρώματα καὶ πόματα αὐτοῖσιν ὑπάρχειν οἷσι πάντες χρεόμεθα· προστιθέασι δὲ τῷ μὲν εἶναι θερμῷ, τῷ δὲ ψυχρῷ, τῷ δὲ ξηρῷ, τῷ δὲ ὑγρῷ· ἐπεὶ ἐκεῖνό γε ἄπορον προστάξαι τῷ κάμνοντι θερμόν τι προσενέγκασθαι· εὐθὺς γὰρ ἐρωτήσει, τί; ὥστε ληρέειν

ἀνάγκη, ἢ ἐς τούτων τι τῶν γιγνωσκομένων καταφεύγειν. Εἰ δὲ δὴ τυγχάνει τι μὲν θερμὸν ἐὸν στρυφνὸν, ἄλλο δὲ θερμὸν ἐὸν πλαδαρὸν, ἄλλο δὲ θερμὸν ἄραδον ἔχον· ἔστι γὰρ καὶ ἄλλα πολλὰ θερμὰ καὶ ἄλλας πολλὰς δυνάμιας ἔχοντα ἑωυτῇσιν ὑπεναντίας· εἰ δεήσει τι αὐτέων προσενεγκεῖν, ἢ τὸ θερμὸν τὸ στρυφνὸν, ἢ τὸ θερμὸν τὸ πλαδαρὸν, ἢ ἅμα τὸ ψυχρὸν καὶ τὸ στρυφνὸν, ἢ, ἔστι γὰρ καὶ τοιοῦτόν τι, τὸ ψυχρόν τε καὶ πλαδαρὸν ὅσον περ ἔγωγε οἶδα, πᾶν τοὐναντίον ἀφ' ἑκατέρου αὐτῶν ἀποβαίνει οὐ μόνον ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ἐν σκύτεϊ καὶ ἐν ξύλῳ καὶ ἐν ἄλλοισι πολλοῖσιν ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα· οὐ γὰρ τὸ θερμόν ἐστι τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν καὶ τὸ πλαδαρὸν καὶ τἄλλα ὅσα μοι εἴρηται καὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἔξω τοῦ ἀνθρώπου καὶ ἐσθιόμενα καὶ πινόμενα καὶ ἔξωθεν ἐπιχριόμενά τε καὶ προσπλασσόμενα.

16. Ψυχρότητα δὲ ἔγωγε καὶ θερμότητα πασέων ἥκιστα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι διὰ τάσδε τὰς αἰτίας· ὃν μὲν ἂν δήπου χρόνον μεμιγμένα ταῦτα ἑωυτοῖσιν ἅμα τό τε θερμὸν καὶ τὸ ψυχρὸν ᾖ, οὐ λυπέει· κρῆσις γὰρ καὶ μετριότης τῷ μὲν θερμῷ γίγνεται ἀπὸ τοῦ ψυχροῦ, τῷ δὲ ψυχρῷ ἀπὸ τοῦ θερμοῦ· καὶ τἄλλα κατὰ λόγον· ὅταν δὲ ἀποκριθῇ χωρὶς ἑκάτερον, τότε λυπέει· ἐν δὲ δὴ τούτῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐγγένηται καί τι λυπήσῃ τὸν ἄνθρωπον, διὰ τάχεος προσθέον δι' αὐτὸ τοῦτο πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου, οὐδεμιῆς βοηθείης οὐδὲ παρασκευῆς δεόμενον· καὶ ταῦτα καὶ ἐν ὑγιαίνουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται, καὶ ἐν κάμνουσιν. Τοῦτο μὲν, εἴ τις θέλοι ὑγιαίνων χειμῶνος διαψύξαι τὸ σῶμα ἢ λουσάμενος ψυχρῷ, ἢ

ἄλλῳ τῳ τρόπῳ, ὅσῳ ἂν ἐπὶ πλέον αὐτὸ ποιήσῃ καὶ ἤν γε μὴ παντάπασι παγῇ τὸ σῶμα, ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς τὴν σκέπην, ἔτι μᾶλλον καὶ ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα. Τοῦτο δὲ, εἰ θέλοι ἐκθερμανθῆναι στερεῶς ἢ λουτρῷ θερμῷ ἢ πολλῷ πυρὶ, ἐκ δὲ τούτου τωὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτῷ χωρίῳ τὴν διατριβὴν ποιέεσθαι, ὥσπερ ὅτε διεψυγμένος, πολὺ φαίνεται καὶ ψυχρότερος καὶ ἄλλως φρικαλεώτερος· ἢ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ παρασκευαζόμενος ψῦχος ἐκ τοιούτου αὖ τρόπου, διεπαύσατο· τῷ τοῦτο ποιέοντι δεκαπλάσιον πάρεστι τὸ καῦμα καὶ τὸ πνῖγος ἢ τῷ μηδὲν τοιοῦτον ποιέοντι. Τὰ δὲ δὴ καὶ πολλῷ μείζω, ὅσοι ἂν διὰ χιόνος ἢ ἄλλου ψύχεος βαδίσαντες ῥιγώσωσι διαφερόντως πόδας ἢ χεῖρας ἢ κεφαλὴν, οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται, ὑπὸ καύματος καὶ κνησμοῦ· καὶ ἔστιν οἷσι φλύκταιναι ἀνίστανται· ὥσπερ ἀπὸ πυρὸς κατακεκαυμένοισι· καὶ οὐ πρότερον τοῦτο πάσχουσι πρὶν ἢ θερμανθῶσιν. Οὕτως ἑτοίμως ἑκάτερον αὐτῶν ἐπὶ τὸ ἕτερον παραγίγνεται. Μυρία δ' ἂν καὶ ἄλλα ἔχοιμι εἰπεῖν. Τὰ δὲ κατὰ τοὺς νοσέοντας· οὐχ οἷσιν ἂν ῥῖγος γένηται, τούτοισιν ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει; καὶ οὐχ ὅκως ἰσχυρὸς, ἀλλὰ καὶ παυόμενος δι' ὀλίγου καὶ ἄλλως τὰ πολλὰ ἀσινής; καὶ ὅσον ἂν χρόνον παρῇ διάθερμος καὶ διεξιὼν διὰ παντὸς τελευτᾷ ἐς τοὺς πόδας· οὗπερ μάλιστα τὸ ῥῖγος καὶ ἡ ψῦξις νεανικωτάτη καὶ ἐπὶ πλέον ἐνεχρόνισεν· πάλιν τε ὅταν ἱδρώσῃ τε καὶ ἀπαλλαγῇ ὁ πυρετὸς, πολὺ μᾶλλον διέψυξεν ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν. Ὧ οὖν διὰ τάχεος οὕτω παραγίγνεται τὸ ἐναντιώτατόν τε καὶ ἀφαιρεόμενον τὴν δύναμιν ἀπὸ ταὐτομάτου, τί ἂν ἀπὸ

τούτου μέγα δεινὸν γένοιτο, ἢ τί δεῖ πολλῆς ἐπὶ τούτῳ βοηθείης;

17. Εἴποι μὲν ἄν τις· ἀλλ' οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε καὶ περιπνευμονίῃσι καὶ ἄλλοισιν ἰσχυροῖσι νοσήμασιν οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται, οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρὸν, ἢ τὸ ψυχρὸν ἐπὶ τὸ θερμόν. Ἐγὼ δέ μοι τοῦτο μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτο εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον, ἀλλ' ἔστι καὶ πικρὸν καὶ θερμὸν τὸ αὐτὸ, καὶ ὀξὺ καὶ θερμὸν, καὶ ἁλμυρὸν καὶ θερμὸν, καὶ ἄλλα μυρία, καὶ πάλιν γε ψυχρὸν μετὰ δυναμίων ἑτέρων. Τὰ μὲν οὖν λυμαινόμενα ταῦτά ἐστι· ξυμπάρεστι δὲ καὶ τὸ θερμὸν, ῥώμης μὲν ἔχον ὅσον τὸ ἡγεύμενον, καὶ παροξυνόμενον καὶ αὐξανόμενον ἅμα ἐκείνῳ, δύναμιν δὲ οὐδεμίαν πλείω.

18. Ταῦτα δ' ὧδε ἔχειν ἐπὶ τῶνδε τῶν νοσημάτων ὁρέομεν ὧν πάντες ἔμπειροι πολλάκις ἐγενόμεθά τε καὶ γιγνόμεθα. Τοῦτο μὲν γὰρ, ὅσοισιν ἂν ἡμέων κόρυζα ἐγγένηται καὶ ῥεῦμα κινηθῇ διὰ τῶν ῥινῶν, τοῦτο, ὥστε πολὺ δριμύτερον τοῦ πρότερον γιγνομένου τε καὶ ἰόντος ἐκ τῶν ῥινῶν καθ' ἑκάστην ἡμέρην, οἰδέειν μὲν ποιέει τὴν ῥῖνα καὶ ξυγκαίει θερμήν τε καὶ διάπυρον ἐσχάτως, ἢν δὲ τὴν χεῖρα προσφέρῃς καὶ πλείω χρόνον παρῇ, καὶ ἐξελκοῦται τὸ χωρίον ἄσαρκόν τε καὶ σκληρὸν ἐόν· παύεται δέ πως τό γε καῦμα ἐκ τῆς ῥινὸς, οὐχ ὅταν τὸ ῥεῦμα γίγνηται καὶ ἡ φλεγμονὴ ᾖ, ἀλλ' ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ ῥέῃ πέπον τε καὶ μεμιγμένον μᾶλλον τοῦ πρότερον γιγνομένου, τότ' ἤδη καὶ τὸ καῦμα πέπαυται· ἄλλοισι δὲ ὑπὸ ψύχεος φανερῶς αὐτοῦ μούνου

γίγνεται, μηδενὸς ἄλλου ξυμπαραγενομένου, πᾶσί τε ἡ αὐτὴ ἀπαλλαγὴ, ἐκ μὲν τῆς ψύξιος διαθερμανθῆναι, ἐκ δὲ τοῦ καύματος διαψυχθῆναι· καὶ ταῦτα ταχέως παραγίγνεται καὶ πέψιος οὐδεμιῆς προσδεῖται· τὰ δ' ἄλλα πάντα ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίγνεσθαι, τὸν αὐτὸν τρόπον καὶ ἀποκαθίσταται, πεφθέντα καὶ κρηθέντα.

19. Ὅσα τ' αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων ἰσχυρὰ καὶ παντοίας δριμύτητας ἔχοντα, ἑλκοῖ μὲν βλέφαρα κατεσθίει τ' ἐνίων γνάθους τε καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἐφ' ὅ,τι ἂν ἐπιῤῥυῇ, ῥήγνυσι δὲ καὶ διεσθίει τὸν ἀμφὶ τὴν ὄψιν χιτῶνα. Ὀδύναι δὲ καὶ καῦμα καὶ φλογμὸς ἔσχατος κατέχει, μέχρις ἂν τὰ ῥεύματα πεφθῇ καὶ γένηται παχύτερα καὶ λήμην ἄπεφθον ᾖ· τὸ δὲ πεφθῆναι γίγνεται ἐκ τοῦ μιχθῆναι καὶ κρηθῆναι ἀλλήλοισι καὶ ξυνεψηθῆναι. Τοῦτο δὲ, ὅσα ἐς τὴν φάρυγγα ἀφ' ὧν βράγχοι γίγνονται καὶ ξυνάγχαι, ἐρυσιπέλατά τε καὶ περιπνευμονίαι, πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ καὶ δριμέα ἀφίει· καὶ ἐν τοῖσι τοιούτοισιν ἔῤῥωται τὰ νοσήματα· ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γένηται καὶ πάσης δριμύτητος ἀπηλλαγμένα, τότ' ἤδη καὶ οἱ πυρετοὶ λύονται καὶ τ' ἄλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. Δεῖ δὲ δήπου ταῦτα αἴτια ἑκάστου ἡγέεσθαι, ὧν παρεόντων μὲν τοιοῦτον τρόπον ἀνάγκη γίγνεσθαι, μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν παύεσθαι· ὁκόσα δὲ ἀπ' αὐτῆς τῆς θέρμης εἰλικρινέως ἢ ψύξιος γίγνεται καὶ μὴ μετέχει ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω παύοιτο ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμὸν καὶ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρόν· μεταβάλλει δὲ ὅν περ προείρηταί μοι τρόπον.— Ἴσθι τοίνυν τ' ἄλλα ὅσα κακοπαθέει ὤνθρωπος, ὡς πάντα

ἀπὸ δυναμίων γίγνεται. Τοῦτο μὲν γὰρ, ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν καλέομεν, οἷαι ἆσαι καὶ καύματα καὶ ἀδυναμίαι κατέχουσιν!· ἀπαλλασσόμενοί τε τούτου, ἢ αὐτόματοι, ἢ καὶ ὑπὸ φαρμάκου ἐνίοτε καθαιρόμενοι, ἢν ἐν καιρῷ τι αὐτῶν γένηται, φανερῶς καὶ τῶν πόνων καὶ τῆς θέρμης ἀπαλλάσσονται· ὅσον δ' ἂν χρόνον ταῦτα μετέωρα ᾖ καὶ ἄπεπτα καὶ ἄκρητα, μηχανὴ οὐδεμία οὔτε τῶν πόνων παύσασθαι οὔτε τῶν πυρετῶν. Καὶ οἷσι μὲν ὀξύτητες προσίζανται δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι καὶ δήξιες σπλάγχνων καὶ θώρηκος καὶ ἀπορίη!· οὐ παύεταίτέ τι τούτων πρότερον πρὶν ἢ ἀποκαθαρθῇ τε καὶ καταστορεσθῇ καὶ μιχθῇ τοῖσιν ἄλλοισιν· πέσσεσθαι δὲ καὶ μεταβάλλειν καὶ λεπτύνεσθαί τε καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος δι' ἄλλων εἰδέων καὶ παντοίων, (διὸ καὶ κρίσιες καὶ ἀριθμοὶ τῶν χρόνων ἐν τούτοισι μέγα δύνανται)·, πάντων δὴ τούτων ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν· οὔτε γὰρ ἂν τοῦτό γε σαπείη, οὔτε παχυνθείη· τίνας γὰρ ἂν αὐτῷ φαίημεν εἶναι κρήσιας τοιαύτας ἄλλην πρὸς ἄλλο λαχούσας δύναμιν, ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύσεται τῆς θέρμης ἢ τῷ ψυχρῷ, οὐδέ γε πάλιν ψύχεος τὸ ψυχρὸν ἢ τῷ θερμῷ; τὰ δὲ ἄλλα πάντα τὰ περὶ τὸν ἄνθρωπον, ὅσῳ ἂν πλέοσι μίσγηται, τοσούτῳ ἠπιώτερά τε καὶ βελτίονα· πάντων δὲ ἄριστα διάκειται ὤνθρωπος πρὸς ὅ,τι ἂν πέσσηταί τε καὶ ἐν ἡσυχίῃ ᾖ, μηδεμίαν δύναμιν ἰδίην ἀποδεικνύμενον. Περὶ μὲν οὖν τούτων ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι.

20. Λέγουσι δέ τινες καὶ ἰητροὶ καὶ σοφισταὶ, ὡς οὐκ ἔνι ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν ὅ,τί ἐστιν ἄνθρωπος καὶ ὅκως ἐγένετο πρῶτον καὶ ὁκόθεν ξυνεπάγη ἐξ ἀρχῆς· ἀλλὰ τοῦτο

δεῖ καταμαθεῖν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν τοὺς ἀνθρώπους. Τείνει δὲ αὐτοῖσιν ὁ λόγος ἐς φιλοσοφίην, καθάπερ Ἐμπεδοκλέϊ ἢ ἄλλοισιν οἳ περὶ φύσιος γεγράφασιν. Ἐγὼ δὲ, τοῦτο μὲν, ὅσα τινὶ εἴρηται, σοφιστῇ ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν ἢ τῇ γραφικῇ· νομίζω δὲ περὶ φύσιος γνῶναί τι σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς, τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτήν τις τὴν ἰητρικὴν ὀρθῶς πᾶσαν περιλάβῃ. Μέχρι δὲ τούτου πολλοῦ μοι δοκέει δεῖν· λέγω δὲ ταύτην τὴν ἱστορίην, εἰδέναι ἄνθρωπος τί ἐστι καὶ δι' οἵας αἰτίας γίγνεται καὶ τἄλλα ἀκριβέως· ἐπεὶ τοῦτό γέ μοι δοκέει ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ, περὶ φύσιος εἰδέναι καὶ πάνυ σπουδάσαι ὡς εἴσεται, εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν, ὅ,τι τέ ἐστιν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα καὶ ὅ,τι πρὸς τὰ ἄλλα ἐπιτηδεύματα, καὶ ὅ,τι ἀφ' ἑκάστου ἑκάστῳ ξυμβήσεται· καὶ μὴ ἁπλῶς οὕτω δοκέειν ὅτι πονηρὸν βρῶμα τυρός· πόνον γὰρ φέρει τῷ πληρωθέντι αὐτοῦ· ἀλλὰ τίνα τε πόνον, καὶ διὰ τί καὶ τίνι τῶν ἐν τῷ ἀνθρώπῳ ἐνεόντων ἀνεπιτήδειόν ἐστιν· καὶ γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα φύσι πονηρὰ, ἃ διατίθησι τὸν ἄνθρωπον οὐ τὸν αὐτὸν τρόπον. Οὕτως αὖ σημεῖον ἔστω τῷ λόγῳ, οἷον οἶνος ἄκρητος πολλὸς ποθεὶς διατίθησί πως τὸν ἄνθρωπον· καὶ πάντες ἂν οἱ εἰδότες τοῦτο γνοίησαν, ὅτι αὕτη δύναμις οἴνου καὶ αὐτὸς αἴτιος· καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο δύναται, μάλιστα οἴδαμεν. Τοιαύτην δὴ βούλομαι ἀλήθειαν καὶ περὶ τῶν ἄλλων φανῆναι· τυρὸς γὰρ, ἐπειδὴ τούτῳ σημείῳ ἐχρησάμην, οὐ πάντας ἀνθρώπους ὁμοίως λυμαίνεται, ἀλλ' εἰσὶν οἵτινες αὐτοῦ πληρεύμενοι οὐδ' ὁτιοῦν βλάπτονται.

ἀλλὰ καὶ ἰσχὺν, οἷσιν ἂν ξυμφέρῃ, θαυμασίως παρέχεται· εἰσὶ δὲ οἳ χαλεπῶς ἀπαλλάσσουσι· διαφέρουσιν οὖν τούτων αἱ φύσιες· διαφέρουσι δὲ καὶ κατὰ τοῦτο, ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ, καὶ ὑπὸ τούτου ἐγείρεταί τε καὶ κινέεται· οἷσι γὰρ ὁ τοιοῦτος χυμὸς τυγχάνει πλέων ἐνεὼν καὶ μᾶλλον ἐνδυναςεύων ἐν τῷ σώματι, τούτους μᾶλλον καὶ κακοπαθέειν εἰκός· εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσι ἦν κακὸς, πάντας ἂν ἐλυμαίνετο. Ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι αὐτά.

21. Αἱ δ' ἐν τῇσιν ἀνακομιδῇσι τῇσιν ἐκ τῶν νούσων, ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι γίγνονται, πολλαί εἰσι ταράξιες, αἱ μὲν ἀπὸ ταὐτομάτου, αἱ δὲ καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων. Οἶδα δὲ τοὺς πολλοὺς ἰητροὺς, ὥσπερ τοὺς ἰδιώτας, ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ἢ λουσάμενοι ἢ περιπατήσαντες ἢ φαγόντες τι ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω προσενηνεγμένα ἢ μὴ, οὐδὲν ἧσσον τὴν αἰτίην τούτων τινὶ ἀνατιθέντας καὶ τὸ μὲν αἴτιον ἀγνοεῦντας, τὸ δὲ ξυμφορώτατον, ἢν οὕτω τύχῃ, ἀφαιρέοντας. Δεῖ δὲ οὔ· ἀλλ' εἰδέναι τί λουτρὸν ἀκαίρως προσγενόμενον ἐργάσεται, ἢ τί κόπος· οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπάθεια τούτων οὐδετέρου, οὐδέ γε ἀπὸ πληρώσιος, οὐδ' ἀπὸ βρώματος τοίου ἢ τοίου. Ὅστις οὖν ταῦτα μὴ εἴσεται ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γιγνώσκειν τὰ γιγνόμενα ἀπ' αὐτῶν δυνήσεται οὔτε χρέεσθαι ὀρθῶς.

22. Δεῖν δέ μοι δοκέει καὶ ταῦτα εἰδέναι ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων γίγνεται καὶ ὅσα ἀπὸ σχημάτων. Λέγω δὲ τὸ τοιοῦτον· δύναμιν μὲν εἶναι τῶν χυμῶν τὰς ἀκρότητάς τε καὶ ἰσχύν· σχήματα δὲ λέγω ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ· τὰ μὲν γὰρ κοῖλά τε καὶ ἐξ εὐρέος ἐς στενὸν συν-

ηγμένα, τὰ δὲ καὶ ἐκπεπταμένα· τὰ δὲ στερεά τε καὶ στρο γύλα, τὰ δὲ πλατέα τε καὶ ἐπικρεμάμενα, τὰ δὲ διατετ μένα, τὰ δὲ μακρά· τὰ δὲ πυκνά· τὰ δὲ μανά τε καὶ τεθ λότα, τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιά. Τοῦτο μὲν οὖν, ἑλ: σαι ἐφ' ἑωυτὸ καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου ς ματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, ἢ τὰ στε(τε καὶ στρογγύλα, ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρ συνηγμένα δύναιτ' ἂν μάλιστα ; οἶμαι μὲν δὴ, τὰ τοιαῦτα ἐς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος. Καταμανθάν δὲ δεῖ ταῦτα ἔξωθεν ἐκ τῶν φανερῶν· τοῦτο μὲν γὰρ, στόματι κεχηνὼς ὑγρὸν οὐδὲν ἀνασπάσεις, προμυλλήνας καὶ συστείλας, πιέσας τε τὰ χείλεα, ἔτι τε αὐλὸν προσθ μενος, ῥηϊδίως ἀνασπάσαις ἂν ὅ,τι θέλοις· τοῦτο δὲ, αἱ σικύ αἱ προσϐαλλόμεναι, ἐξ εὐρέος ἐς στενώτερον ἐστενωμέναι πι τοῦτο τετεχνέαται, πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς καὶ πισπᾶσθαι· ἄλλα τε πολλὰ τοιουτότροπα. Τῶν δὲ ἔσω φ τοῦ ἀνθρώπου σχῆμα τοιούτων κύστις τε καὶ κεφαλὴ, ι ὑστέρη γυναιξί· καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει καὶ πλ ρεά ἐστιν ἐπάκτου ὑγρότητος αἰεί. Τὰ δὲ κοῖλα καὶ ἐκτ πταμένα ἐπιῤῥυεῖσαν μὲν ὑγρότητα μάλιστ' ἂν δέξαιτο πα των, ἐπισπάσαιτο δ' ἂν οὐχ ὁμοίως. Τὰ δέ γε στερεὰ ι στρογγύλα οὔτ' ἂν ἐπισπάσαιτο οὔτ' ἂν ἐπιῤῥυεῖσαν δέξαι· περιολισθάνει τε γὰρ καὶ οὐκ ἔχει ἕδραν ἐφ' ἧς μένῃ. Τὰ σπογγοειδέα τε καὶ ἀραιὰ, οἷον σπλὴν τε καὶ πνεύμων ι μαζοὶ, προσκαθεζόμενα μάλιστ' ἂν ἀναπίνοι· καὶ σκληρι θείη ἂν καὶ αὐξηθείη, ὑγρότητος προσγενομένης, ταῦτα μ λιστα· οὐ γὰρ ἂν ὥσπερ ἐν κοιλίῃ ἐνῇ τὸ ὑγρὸν, ἔξω τε πε χέοι αὕτη ἡ κοιλίη τὸ ὑγρὸν καὶ ἐξαλίζοιτ' ἂν καθ' ἑκάστ

ἡμέρην· ἀλλ'ὅ,τι ἂν πίῃ καὶ δέξηται αὐτὸ ἐς ἑωυτὸ τὸ ὑγρὸν, τὰ κενεὰ καὶ ἀραιὰ ἐπληρώθη καὶ τὰ σμικρὰ πάντη, καὶ ἀντὶ μαλθακοῦ τε καὶ ἀραιοῦ σκληρόν τε καὶ πυκνὸν ἐγένετο, καὶ οὔτ' ἐκπέσσει οὔτ'ἀφίησι· ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος. Ὅσαι δὲ φῦσαί τε καὶ ἀνειλήματα ἐνεργάθονται ἐν τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ εὐρυχώροισιν, οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον τε καὶ πάταγον ἐμποιέειν· ὅτε γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, ἀλλ' ἔχῃ μεταβολάς τε καὶ κινήσιας, ἀνάγκη ὑπ' αὐτέων ψόφον καὶ καταφανέας κινήσιας γίγνεσθαι. Ὅσα δὲ σαρκώδεά τε καὶ μαλθακὰ, ἐν τοῖσι τοιούτοισι νάρκαι τε καὶ πληρώματα οἷα ἐν τῇσιν ἀποστάσισι γίγνεται· ὅταν δ' ἐγκύρσῃ πλατέϊ τε καὶ ἀντικειμένῳ, καί τι πρὸς αὐτοῦ ἀντιπαίσῃ, καὶ φύσι τοῦτο τύχῃ μήτε ἰσχυρὸν ἐὸν, ὥστε δύνασθαι ἀνέχεσθαι τῆς βίης καὶ μηδὲν κακὸν παθεῖν, μήτε μαλθακόν τε καὶ ἀραιὸν, ὥστ' ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, ἁπαλὸν δὲ καὶ τεθηλὸς καὶ ἔναιμον καὶ πυκνὸν, οἷον ἧπαρ, διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει· φῦσα δ' ἐπισχομένη αὔξεταί τε καὶ ἰσχυροτέρη γίγνεται καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπαῖον· διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα οὐ δύναται ἄνευ πόνων εἶναι, καὶ διὰ ταύτας τὰς προφάσιας ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο τὸ χωρίον γίγνονται, ἐμπυήματά τε καὶ φύματα πλεῖστα· γίγνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς, ἧσσον δὲ πολλόν· διάτασις μὲν γὰρ φρενῶν πλατεῖα καὶ ἀντικειμένη, φύσις δὲ νευροδεστέρη τε καὶ ἰσχυροτέρη· διὸ ἧσσον ἐπώδυνά ἐστιν, γίγνεται δὲ καὶ περὶ ταῦτα πόνοι καὶ φύματα.

23. Πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

ΘΡΚΟΣ. . . . *ἴσον* γενέτῃσιν . . .

. . . Οὐ τεμέω δὲ οὐδὲ *μὴ ἐν ἡλικίῃ ἐόντας*· ἐκχωρήσω δέ. . . . Neque vero ne impuberes quidem secabo, τουτέστιν, εὐνουχιῶ, castrabo. Οὕτω γοῦν ἀπηλλάγμεθα τῆς κατὰ τὴν γραφὴν *οὐδὲ μὴν λιθιῶντας* ἐμπληξίας.

ΝΟΜΟΣ. . . φυομένων, θεωρίη τοιήδε καὶ τῆς ἰητρικῆς μαθήσιος.

Νόθα νομίζω τὰ *Δύο γάρ*. . . . ἀλλὰ καὶ τὸ *Δειλίη μὲν γάρ*. . . . παρέλκειν δοκεῖ μοι.

Π. ΤΕΧΝΗΣ. . . . . ἀλλὰ κακαγγελίη μᾶλλον, φιλοτιμεομένων μέν, *οὐχ ἅμα* δὲ δυναμένων κακίῃ φύσιος· ἢ ἀτεχνίῃ· μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν ἡ ἐργασίᾳ αὕτη ἁρμόζει, ὑπουργέειν ἐς τὸ τά. . .

. . . , *οἷσι* μέλει *τε καὶ ὧν*, οἱ δυνάμενοι. . .

§ 2. . . . Γιγνώσκεται τοίνυν δεδιδαγμένων *ἡ δύναμις* τῶν τεχνέων, καί. . == § 4. . . . καὶ τὴν δύναμιν, . . . , ἔγνωσαν.—· ἔστι δὲ ἡ γραφὴ *ἤδη* == ἡ δή.== ἡ δύ. == ἡ δύ-ναμις.

§ 4. . . . οἱ τὰ χείρω λέγοντες, *οἷα* τοὺς ἀ. ὑπὸ τῶν νοσημάτων, καὶ τοὺς ἀποφεύγοντας. . .

§ 5. . . . Καὶ τοῦτό γέ *πως* τεκμήριον. . .

. . . οὐ πᾶς ἱκανὸς γνῶναι; — ἐρωτηματικῶς.

§ 8. . . . , *ὧν* δ' ἐπικουρίης δεῖται οὐχ ἅπτονται, . . .

εἴδεα σχημάτων, ἃ μέγα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι, οἷον κεφαλαὶ σμικραὶ ἢ μεγάλαι, τράχηλοι λεπτοὶ ἢ παχέες, μακροὶ ἢ βραχέες, κοιλίαι μακραὶ ἢ στρογγύλαι, θώρηκος καὶ πλευρέων πλατύτητες ἢ στενότητες, καὶ ἄλλα μυρία· ἃ δὴ πάντα ᾗ διαφέρει εἰδέναι, ὅκως τὰ αἴτια ἕκαστον εἶδος ὀρθῶς φυλάσσηται· (24)· περὶ δὲ δυναμίων χυμῶν αὐτῶν τε ἕκαστος ὅ,τι δύναται ποιέειν τὸν ἄνθρωπον ἐσκέφθαι, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ τὴν ξυγγένειαν ὡς ἔχουσι πρὸς ἀλλήλους· λέγω δὲ τὸ τοιοῦτον· εἰ γλυκὺς ἐὼν χυμὸς μεταβάλλοι ἐς ἄλλο εἶδος, μὴ ἀπὸ ξυγκρήσιος, ἀλλ'αὐτὸς ἐξιστάμενος, ποῖός τις ἂν πρῶτος γένοιτο, πικρὸς, ἢ ἁλμυρὸς, ἢ στρυφνὸς, ἢ ὀξύς; Οἶμαι μὲν, ὀξύς. Ὁ ἄρα ὀξὺς χυμὸς ἂν ἐπιτήδειος τῶν λοιπῶν μάλιστα εἴη, εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. Οὕτως, εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, δύναιτ' ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιστον· βέλτιστον δέ ἐστι τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχον.

28 Δεκεμ. 1863.

C. H. Th. Reinhold.

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

ΘΡΚΟΣ. . . . *ἴσον* γενέτῃσιν . . .

. . . Οὐ τεμέω δὲ οὐδὲ *μὴ ἐν ἡλικίῃ ἐόντας*· ἐκχωρήσω δέ. . . . Neque vero ne impuberes quidem secabo, τουτέστιν, εὐνουχιῶ, castrabo. Οὕτω γοῦν ἀπηλλάγμεθα τῆς κατὰ τὴν γραφὴν *οὐδὲ μὴν λιθιῶντας* ἐμπληξίας.

ΝΟΜΟΣ. . . φυομένων, θεωρίη τοιήδε καὶ τῆς ἰητρικῆς μαθήσιος.

Νόθα νομίζω τὰ *Δύο γάρ*. . . . · ἀλλὰ καὶ τὸ *Δειλίη μὲν γάρ*. . . . παρέλκειν δοκεῖ μοι.

Π. ΤΕΧΝΗΣ. . . . . ἀλλὰ κακαγγελίη μᾶλλον, φιλοτιμεομένων μὲν, *οὐχ ἅμα* δὲ δυναμένων κακίῃ φύσιος· ἢ ἀτεχνίῃ· μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν ἡ ἐργασία αὕτη ἁρμόζει, ὑπουργέειν ἐς τὸ τά. . .

. . . , *οἷσι* μέλει *τε καὶ ὧν*, οἱ δυνάμενοι. . .

§ 2. . . . Γιγνώσκεται τοίνυν δεδιδαγμένων *ἡ δύναμις* τῶν τεχνέων, καὶ. . . = § 4. . . . καὶ τὴν δύναμιν, . . . , ἔγνωσαν.—· ἔστι δὲ ἡ γραφὴ *ἤδη* = ἡ δή.= ἡ δύ. = ἡ δύ-ναμις.

§ 4. . . . οἱ τὰ χείρω λέγοντες, *οἷα* τοὺς ἀ. ὑπὸ τῶν νοσημάτων, καὶ τοὺς ἀποφεύγοντας. . .

§ 5. . . . Καὶ τοῦτό γέ *πως* τεκμήριον. . .

. . . οὐ πᾶς ἱκανὸς γνῶναι; — ἐρωτηματικῶς.

§ 8. . . . , *ὧν* δ' ἐπικουρίης δεῖται οὐχ ἅπτονται; . . .

ε'.

. . . , ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου *καταιχόντα*. . . = mente assecutum, *καταμαθόντα*.

§ 9. . . . . , τὰ δ' ἐξανθεῦντα *ἐς τὴν χροιὴν*, ἢ *οἰδέοντα*, ἐν εὐδήλῳ· . . .

. . . δύνανται δὲ οἷσι τά τε τῆς φύσιος μὴ *ἐμποδὼν*, τά τε τῆς παιδείης μὴ *ἀταλαίπωρα*.

§ 10. . . . , τό τε νῶτον, πρὸς ᾧ ὁ π. , τούτων οὐδὲν ὅ,τι οὐ καὶ αὐτὸ κενεόν ἐστι καὶ πολλῶν διαφυσίων μεστόν· οἷσιν. . . . ὠφελεύντων. Ἔτι δὲ πρὸς τούτοισι *καὶ* φλέβες πολλαί· καὶ νεῦρα οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖσιν ὀστέοισιν προστεταμένα σύνδεσμός *ἐστι* τῶν ἄρθρων· καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ ξυμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται,καὶ τούτων οὐδὲν ὅ,τι οὐχ *ὑποφρύ(ν)* [1] ἐστι καὶ ἔχον περὶ ἑωυτῷ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ,ὃς ἐκ διοιγομένων αὐτῶν πολύς τε καὶ [2] *λιπόεις* ἐξέρχεται.

1)· κέκρυπται γάρ πως ἡ τοῦ ἄρθρου κοιλότης ὑπὸ ταῖς εἴτε γλήνης, εἴτε κοτύλης *ὀφρύσιν*.

2)· λυπεῖ μὲν ἐξερχόμενος, «*λυπήσας*» δὲ οὐκ ἐξέρχεται.

§ 11. . . διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην, *ἣν* ἐπιτίθενται· οὐ γὰρ λαμβανόμενοι, ἀλλ' εἰλημμένοι ὑπὸ τῶν νοσημάτων ἐθέλουσι θ.

. . . Ἐπεὶ τῆς γε τέχνης τὴν δύναμιν, ὁκόταν. . . ἀναστήσῃ, θαυμάζειν, ἀξιώτερον, ἢ *ὑπερορᾶν μὴ ἐγχειρησάσης ἀδυνάτοισιν*· *ὅκου*. . .

. . . ἐνεργοί· καὶ ὅσαι, *καίτοι* ἐν εὐεπανορθώτοισι σώμασι δημιουργεῦνται, αἱ μέν. . . . *ὁμοιοσχήμοσιν* αἱ πλεῖσται· *ὧν τά τε* ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα, *καίτοι* εὐεπανόρθωτα, ὅμως οὐ τῷ τάχει μᾶλλον ἢ τῷ ὡς δεῖ

δημιουργέεται, οὐδ' ὑπερβατῶς, ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων *ἐλιννύει* καίτοι κἀκείνῃσι τὸ βραδὺ πρὸς τὸ λυσιτε*λέειν ἀξύμ*φορον· ἀλλ' ὅμως προτιμᾶται.

§ 12. . . . , τοῦτο δὲ τῶν *ξύμπαν τὸ* ἐν τῇ νηδύϊ νοσεύντων. . .

. . . ὅταν δὲ ταῦτα *μηνίοντα* μηδ' αὐτὴ ἡ φύσις ἐκοῦσα ἀφίῃ, . . .

. . . μεθίῃσι· *μεθεῖσα* δὲ. . .

. . . ὅκως τεκμα*ρεῖ τι τὸ* ὀρθὲν. . .

. . . ὑδάτων θερμῶν ἀποπνοίῃσι *περὶ πυρὸς αὖ* τεκμαίρεται.

Π. ΑΡΧΑΙΗΣ ΙΗΤΡΙΚΗΣ.

§ 2. . . . . Ἐκ δὲ τούτου κ. ἔσται *ἀδύνατον ἐὸν τὸ* ἄλλως πως *τὸ ἐτεὸν* εὑρίσκεσθαι· μάλιστα δέ μοι. . .

. . . καὶ μὴ διαθήσει *οἱ* τοὺς ἀκούοντας, *οὗτος*. . .

§ 3. . . . . γεγενῆσθαι. Δοκέει *γάρ* μοι, ὡς ἔπασχον. . .

. . . συνήθειαν, *ὑπ' ἰσχυρῶν* δὲ καὶ τότε. . . .

. . . . ἐκ μὲν οὖν τῶν πυρῶν. . . . ἀπετέλεσαν *ἡμῖν* ἄρτον, ἐκ *δὲ τῶν* κριθέων μᾶζαν· ἄλλα τε συχνὰ περὶ ταύτην[1]) . . .— [1]) τὴν τροφὴν ἀμέλει, οὐ τὴν μᾶζαν.

. . . ἡγεύμενοι, *ὡς ἢν μὲν ᾖ ἰσχυρὰ, οὐ δυνήσεται* κρατέειν ἡ φύσις, *ἢν ἐμφέρηται*· ἀπὸ τούτων τε αὐτῶν πόνους. . . ἔσεσθαι· ὁκόσων. . .

§ 4. . . . . , ἀλλὰ π. ἐπιστήμονες *ἔς τι* διὰ τὴν. . .

§ 5. . Σκεψώμεθα *δὲ νυν*. . . . , ἣ καὶ οὔνομα καὶ τεχνίτας ἔχει, *ἱερή τε εἶναι αὐτὴ αὐτῶν* ἐθέλει, *πόθεν* ποτὲ ἦρκται.

δ'.

. . . καὶ τῶν Ἑλλήνων οἱ *ὁμόνυμοι*, . . .

§ 6. . Εὖ δὲ χρὴ τ. εἰδέναι, ὅτι *εἰσὶν οἷσι*. . .

. . . , δι' οὐδὲν ἄλλο ἢ . . . διάθεσιν, καὶ *ὅτι γε* ῥυφέειν ξυμφέρει, ἐσθίειν δ' οὔ· εἰ γὰρ πλείω φάγοι, ἔτι ἂν μᾶλλον κακωθείη· *εἰ*, καὶ εἰ ὀλίγα, πονήσει.

§ 7. . . . καὶ ἕν *τε* καὶ ὁμοῖον. . .

. . . διακείμενος, μὴ *ἂν δύνηται*. . .

. . . *ἀλλ'* ἢ[1]) *τό τε* εἶδος καὶ ὅτι ποικιλώτερον καὶ πλέονος πραγματείης; ἀρχὴ δὲ. . . γενομένη.

1). = πλήν· ἐξ οὗ *πλέον*. -

§ 8. Εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιταν πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν οὐ βλαβερωτέρην, *ἤπερ εἰ* τὴν τῶν ὑγιαινόντων πρὸς τὴν τῶν τε θηρίων καὶ τῶν ἄλλων ζώων.

. . . εὐηθέων, ἀλλ' οἷον αὐτῷ. . . ἔσεσθαι, εἰ ἐθέλοι. . . . ἄλλος τε. . . ἰσχυρὴν, *εἰ φάγοι* τι ὧν βοῦς ἢ ἵππος φαγὼν ὠφελοῖτό τε καὶ ἰσχύοι, *οἷον* ὀρόβους. . .

§ 9. Καὶ, εἰ μὲν οὖν ἁπλῶς, ὥσπερ *ὑφήγηται*, ὅσα μὲν ἰσχυρότερα, ἔβλαπτεν, ὅσα δ' αὖ ἀσθενέστερα, ὠφέλει. . . . , εὐπετὲς ἂν ἦν τὸ πρῆγμα· πολλὸν γὰρ τοῦ ἀσφαλέος *ἀνέδην* περιλαμβάνοντας ἄγειν ἐπὶ τὸ ἀσθενέστερον.

. . . τὸ γὰρ τοῦ λιμοῦ μένος ἰσχυρῶς *δύναται* ἐν τῇ φ. τοῦ ἀνθρώπου, καὶ γυιῶσαι καὶ ἀποκτεῖναι· πολλὰ δὲ καὶ ἄλλα κακὰ, ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ, *οἶμαι*, δεινὰ ἀπὸ κενώσιος· *δι' ἃ* πολλὸν ποικιλωτέρη τε καὶ διὰ πλέονος ἀκριβείης ἐστί. Δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι· μέτρον δὲ, οὔτε ἀριθμὸν οὔτε σταθμὸν, *ἄλλο*, πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐδ' ἂν εὑροίης ἀλλ' ἤ. . .

. . . καὶ ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέω μοι. . .

. . . οὐ γὰρ αὐτῶν *ἑκὰς*[1]) αἱ τιμωρίαι, ἀλλὰ διὰ τάχεος πάρεισιν. — 1). οὖ γλ. τὸ *ἐς μακρόν*.

§ 10. . . . , καὶ τοῦτο, διὰ τὸ ξυμφέρειν οὕτως αὐτοῖσιν, *ἐτάξαντο*.

. . . . οὕτω γὰρ αὐτοῖσι ξυμφέρει. Καὶ *μὴν τοῦτ' εἰσὶν* οἳ ἢ δι' ἡδονὴν ἢ. . . ἐπετήδευσαν, ὁκότερον αὐτῶν. . . .

. . . , *ταῦτα* δὶς προσενέγκωνται καὶ *μηδ' ἐνὶ* πλείω.

. . . καὶ οὕτως αὐτῷ ξυμφέρον *ἦν*, μή. . .

. . . ἐπὶ τούτοισιν ὀφθαλμοὶ κοῖλοι, οὖρον[1]) *χλωρότερον* καὶ *παχύτερον*, καὶ στόμα πικρὸν, καὶ τὰ σπλάγχνα δοκέει *οἱ*. . .

1). Γάλην. x, 947.— ix, 604.

. . . , *δυσοργίη*.— οὖ γλ. τὸ *δυσθυμίη*.

. . . , ἀναλίσκειν δὲ οὐ δύναται *ὅσα δυνατὸς ἦν*, *ὅτε*, ἀριστιζόμενος πρότερον, ἐδείπνει· τὰ αὐτά τε ταῦτα. . .

§ 11. . . . Ὁ δὲ μ. ἀριστίζεσθαι, *ὅτι*, ... , οὐκ εὐθέως αὐτῷ *προσπαρεγένετο* κ. τ. , φθίνει τε καί. . .

§ 12. . . . Χαλεπὸν *μὴν*, τοιαύτης ἀ. ἐούσης περὶ τὴν τέχνην, τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. Πολλὰ οὖν εἴδεα. . . . εἰρήσεται· οὔ φημι *δὲ* δεῖν διὰ τοῦτο. . . *ἀποβάλλεσθαι*, εἰ μὴ ἔχει π. π. ἀκρίβειαν, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ *ὁμοῦ*[1]) τοῦ ἀτρεκεςάτου δύνασθαι ἥκειν λογισμῷ προσίεσθαι· *καὶ*[2]) *πολλῆς ἀγνωσίης*, μὴ θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς. . .

1). οὖ γλ. τὸ *ἐγγύς*.— 2). τὸ *ἐκ*=; τεκ.= τεκμήριον.

§ 13. . . . *ἀνέλῃ ἀργοὺς*, καὶ κρέα ὠμὰ, . . .

. . . ὑπὸ *χρονιωτέρης* τῆς διαίτης.

: : : πολλὴν ἂν ἀπορίην τῷ ἐρωτηθέντι παράσχειν· ἄρ ὁ τὸν ἄρτον σκευάζων . . . . ἀφεῖλετο ; ὅς[1]) πυρὶ *δέδοται* καὶ ὕδατι *δέδευται* καὶ *εἴδεσι* πολλοῖσιν εἴργασται ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει, καὶ τὰ *μέν εα* τῶν ὑπαρχόντων ἀποβέβληκε καὶ ἄλλοισι κέκρηταί τε καὶ μέμικται.

[1]). ἢ, «οὐ γὰρ . . . μέμικται ;

§ 14. Ὅστις δὲ ταῦτα *μὴ* ᾖ σκεπτόμενος, οὐκ οἶδα, πῶς ἄν τι οὗτος . . .

. . . πλῆθός τε καὶ ἰσχύν· ἃ, *αὐτὰ* μὲν . . .

. . . , ἀλλ' ὅλον ἕν τε γέγονε καὶ ἁπλόον. —· παρέλκει γὰρ ἡ γλ. *ἐπεὶ καὶ οὐκ ἰσχυρόν*. cod. S.

§ 15. . . . . Εἰ δὲ τυγχάνει *τὶ* μὲν θερμὸν ἐὸν στρυφνὸν, ἄλλο δὲ θερμὸν ἐὸν πλαδαρὸν, ἄλλο δὲ θερμὸν ἄραδον ἔχον· ἔστι γὰρ . . . ἔχοντα· *εἰ* δεήσει τι αὐτῶν προσενεγκεῖν, ἢ τὸ θερμὸν *τὸ* στρυφνὸν, ἢ τὸ θερμὸν *τὸ* πλαδαρὸν, ἢ ἅμα τὸ ψυχρὸν καὶ τὸ στρυφνὸν, ἢ, ἔστι γὰρ καὶ τοιοῦτόν τι, τὸ ψυχρόν τε καὶ πλαδαρὸν, *ὅσον περ* ἔγωγε οἶδα, πᾶν τοὐναντίον . . .

§ 16. . . . , ὅταν τὸ ψυχρὸν *ἐγγένηται* καί τι λυπήσῃ τὸν ἄνθρωπον, διὰ τάχεος *προσθέον*[1]) δι' αὐτὸ τοῦτο πάρεστι . . .

[1]). ἐξ οὗ *πρόσθεν*, εἶτα *πρῶτον*.

. . . ὥσπερ *ὅτε* διεψυγμένος, . . .

. . . ἐκλάμπει ; καὶ οὐχ *ὅκως* ἰσχυρὸς , . . .

. . . ἢ τί δεῖ πολλῆς ἐπὶ [1]) τοῦτο βοηθείης ;

[1]). ἀμέλει adversus hoc.

§ 17. . . . Εἴποι *μὲν* ἄν τις· . . . . . , οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρὸν, *ἢ τὸ ψυχρὸν ἐπὶ τὸ θερ-*

μόν. adversatur, οὐ succedit· — οὐ γὰρ ἐπὶ τῷ . . φησὶν, ἀλλ' ἐπὶ τὸ . . .

. . . , ῥώμης *μὲν ἔχον ὅσον* τὸ ἡγεύμενον, καὶ π. καὶ ἅ. ἅμα ἐκείνῳ, δύναμιν δὲ οὐδεμίαν πλείω. [1]· ὅ ἐςι· roboris habens quantum τὸ ἡγεύμενον, regens, δηλονότι τὸ regens ἑκάςοτε τὸ θερμὸν πικρὸν ἢ ἁλμυρὸν ἢ ἕτερόν τι ποιόν· ἥκιστα δὲ «robur habens et veluti principatum» Erm.· τοῦτ' αὐτὸ γὰρ διδάσκει ὁ ἡμέτερος, οὐκ ἔχειν τὸν principatum τὸ θερμὸν, ἀλλὰ συμπαρεῖναι ἑτέροις regentibus αὐτό.

1). πρόσγραμμα τὸ «*τῆς προσηκούσης δηλαδή.*»

§ 18. Ταῦτα δ' ὧδε ἔχειν ἐπὶ τῶνδε τῶν *νοσημάτων ὁρέομεν* ὧν πάντες ἔμπειροι πολλάκις *ἐγενόμεθά τε καὶ γιγνόμεθα*[1]· τοῦτο μὲν γὰρ , . . .

1) ἤ, «*ἤδη ἐσμέν τε καὶ ἐσόμεθα.*» — Τὸ δὲ «ἐπεί ἐστε τὰ φανερώτερα», πρόσγραμμα ἂν εἴη.

. . . τοῦτο, *ὥστε* πολὺ . . . .

. . . μεμιγμένον μᾶλλον τοῦ π. *γιγνομένου* , . . .

. . . *ἄλλοισι δὲ* ὑπὸ ψύχεος φανερῶς αὐτοῦ μούνου γίγνεται, πᾶσί *τε* ἡ αὐτὴ ἀπαλλαγὴ, ἐκ μὲν . . . . διαψυχθῆναι· καὶ ταῦτα . . . . προσδεῖται. Τὰ δ' ἄλλα πάντα, ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας *φημὶ ἔγωγε γίγνεσθαι*, τὸν αὐτὸν τρόπον[1]) *καὶ* ἀποκαθίσταται, πεφθέντα καὶ κρηθέντα.

1). ἀντιστοιχεῖ δηλονότι ὁ τρόπος τῆς ἀποκαταστάσεως τῷ τρόπῳ τῆς γενέσεως.

§ 19. . . . . ῥευμάτων, ἰσχυρὰ, καὶ παντοίας . . .

. . . *κατέχει, μέχρις ἂν* . . .—· πλήττει γὰρ οὖς καὶ ὀφθαλμὸν τὸ «μέχρι τινὸς, μέχρις ἂν . . .

. . . καὶ γένηται παχύτερα καὶ *λήμην ἄπεφθον ᾖ* . . .

. . . τρόπον. *Ἴσθι* τοίνυν τ' ἄλλα . . . , *ὡς* πάντα . . .

. . . Καὶ οἷσι μὲν ὀξύτητες *προσίστανται* δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι . . . . καὶ ἀπορίαι ! *οὐ παύεταί* τέ τι . . .

. . . οὔτε παχυνθείη· *τίνας γὰρ ἂν αὐτῷ φαίημεν εἶναι* κρήσιας *τοιαύτας* ἄλλην πρὸς *ἄλλο λαχούσας* δύναμιν, ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύσεται τῆς θέρμης ἢ τῷ ψυχρῷ, οὐδέ γε πάλιν [ψύχεος] τὸ ψυχρὸν ἢ τῷ θερμῷ; . . . . βελτίονα· πάντων δὲ ἄριστα διάκειται ὤνθρωπος *πρὸς* ὅ,τι ἂν πέσσηταί τε καὶ ἐν ἡσυχίῃ ᾖ, μηδεμίαν δύναμιν ἰδίην ἀποδεικνύ*μενον*.

§ 20. . —! — Λέγουσι δέ τινες, καὶ ἰητροὶ καὶ σοφισταί, ὡς οὐκ *ἔνι* ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν ὅ,τι ἐστὶν ἄνθρωπος καὶ ὅκως ἐγένετο πρῶτον καὶ ὁκόθεν ξυνεπάγη [1] *ἐξ ἀρχῆς*· ἀλλὰ τοῦτο δεῖ καταμαθεῖν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν τοὺς ἀνθρώπους. Τείνει δ' αὐτοῖσιν ὁ λόγος ἐς φιλοσοφίην, καθάπερ Ἐμπεδο*κλεῖ* ἢ *ἄλλοισιν* οἳ περὶ φύσιος γεγράφασιν. Ἐγὼ δέ, *τοῦτο μέν*, ὅσα τινὶ . . . φύσιος, ἧσσον νομίζω . . . γραφικῇ· νομίζω *δὲ* περὶ φύσιος γνῶναί τι σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς, τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτήν τις τὴν ἰητρικὴν ὀρθῶς πᾶσαν περιλάβῃ. Μέχρι δὲ . . . . ἀκριβέως· ἐπεὶ *τοῦτό* γέ μοι . . .

1) ὅρα Ermerins Proleg. XXVIII, στ. 1.

. . . ἀνεπιτήδειόν *ἐστι· καὶ γὰρ καὶ* ἄλλα . . . πονηρά, ἃ διατίθησι. . .

. . . Οὕτως *αὖ σημεῖον* ἔστω (τῷ λόγῳ), οἷον οἶνος ἄκρη-

τος πολλὸς ποθεὶς διατίθησί πως τὸν ἄνθρωπον· καὶ πάντες ἂν οἱ εἰδότες τοῦτο γνοίησαν, ὅτι αὕτη δύναμις οἴνου καὶ αὐτὸς αἴτιος· καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο δύναται, μάλιστα οἴδαμεν. = A.

. . . . διαφέρουσι δὲ κατὰ *τοῦτο ὅπερ* ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ *καὶ* ὑπὸ τούτου ἐγείρεταί τε καὶ κινέεται· οἷσι γὰρ ὁ τοιοῦτος χυμὸς τυγχάνει *πλέων* ἐνεὼν καὶ . . . = Erm., not.

. . . πάντας ἂν *ἐλυμαίνετο*. Ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν *πάσχοι αὐτά*. = Τέχν. § 11. . . . οὐκ ἂν περιέπιπτον *αὐτοῖσιν*.

§ 21. *Αἱ* δ' ἐν τῇσιν . . . . . γίγνονται, *πολλαί εἰσι ταράξιες*, αἱ μὲν . . .

§ 22. . . . ἀπὸ δυναμίων *γίγνεται* . . .

. . . Λέγω δὲ *τὸ τοιοῦτον* (= § 40 Erm.) *δύναμιν* μὲν . . . ἀκρότητάς τε καὶ *ἰσχύν*· . . .

. . . Οἶμαι μὲν *δή*, τὰ τοιαῦτα, τὰ . . .

. . . τοῦτο δέ, αἱ σικύαι, *αἱ* προσβαλλόμεναι, ...

. . . *Οὐ* γὰρ ἂν ὥσπερ ἐν κοιλίῃ ἐνῇ τὸ ὑγρόν, ἔξω τε περι*χέοι* αὕτη ἡ κοιλίη τὸ ὑγρὸν καὶ ἐξαλίζοιτ' ἂν κ. ἑ. ἡμέρην· ἀλλ' *ὅ,τι ἂν* πίῃ καὶ δέξηται αὐτὸ ἐς ἑωυτὸ τὸ ὑγρόν, τὰ κ. καὶ ἀ. ἐπληρώθη καὶ τὰ σμικρὰ πάντη, καὶ ἀντὶ *μαλθακοῦ τε καὶ ἀραιοῦ* σκλη*ρόν* τε καὶ πυκνὸ*ν* ἐγένετο, καὶ καὶ . . . =[1]) οὕτω γοῦν πραγμάτων ἀπηλλάγμεθα· ἀτὰρ οὐδ' ἀπεικὸς γραφέα ἐν νῷ σχόντα τὰ ὀνόματα *σπλήν*, *πνεύμων* καὶ *μαζοί*, ὑπαλλάξαι τὸ γένος καὶ παράδειγμα κατασκευάσαι ἀντὶ καθόλου δόγματος.

. . . Ὅσαι δὲ φῦσαί τε καὶ ἀνειλήματα *ἐνε(ι)ργάθονται* ἐν τῷ σώματι, . . .

. . . τε καὶ πληρώματα οἷα ἐν τῆσιν [1]) *ἀποστάσισι* γίγνεται· . . . — [1]) = ἐν ταῖς *ἀποστάσεσι.*

. . . καί τι πρὸς αὐτοῦ [1])ἀντιπαίσῃ καὶ φύσι [2])τοῦτο . . .

[1]) φησὶ γάρ· φῦσα δὲ ἐπισχομένη ὁρμᾷ πρὸς τὸ ἀντιπαῖον. — ἀντιπαίει ἄρα οὐχ ἡ φῦσα, ἀλλὰ τὸ ἐπίσχον τὴν φῦσαν κώλυμα. —

[2]) τὸ δὴ ἀντιπαῖον μέρος τοῦ ὅλου κωλύματος.

§ 23 . . . ἃ δεῖ πάντα ᾗ διαφέρει εἰδέναι, ὅκως τὰ αἴτια *ἕκαστον εἶδος* ὀρθῶς *φυλάσσηται.*

. . . . Ὁ ἄρα ὀξὺς χυμὸς *ἂν ἐπιτήδειος* τῶν λοιπῶν μάλιστα εἴη, εἴπερ ὁ γλυκύς γε *πάντων ἐπιτηδειότατος.* — ἔστι γὰρ, ἔμοιγε, ὁ συλλογισμὸς ὁδί· συγγενέστερος τῶν λοιπῶν ἐστι τῷ γλυκεῖ ὁ ὀξὺς χυμός· οὗτος γὰρ πρῶτος γίνεται ἐκ μεταβάλλοντος αὐτομάτως γλυκέος· — οὐ μὴν ἀλλὰ ἐπιτήδειον ἀεί ἐστι τὸ συγγενὲς μᾶλλον τῶν ἄλλων· ἐπιτήδειος ἄρα τῶν λοιπῶν μάλιστα, μὴ παρόντος γλυκέος, ὁ τούτῳ συγγενέστερος, ὁ ὀξύς.

Ταῦτα μὲν οὖν κατὰ ταῦτα τὰ βιβλία κεκαινοτόμηταί μοι παρὰ τοὺς K.K. Littré, Daremberg καὶ Ermerins·— αὐτῶν δὲ τῇ ἐπικρίσει θαρσέων ἐπιτρέπω τὸν ὀβελισμὸν τουτονί.

Ἐν Μουνυχίᾳ, ἱσταμένου μηνὸς Ποσειδεῶνος τρίτῃ 1868.

Dr. C. H. Th. Reinhold.

! σελ. 36, στ. 5· . . . δεῖ. . . . σελ. 28, στ. 11. μείζω . . . σελ. 25, στ. 15· ᾠήθησαν . . . σελ. 16, στ. 6· ἐόντες . . . σελ. 15, στ. 6· ἦν . . . σελ. ά, στ. 13. ἐργασίῃ.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κωμιδή

CAROLI H. TH. REINHOLD.

2.

Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.
(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 228.)

1864.

« Plus je me familiarise avec l' étude des livres hippocratiques, plus entre dans mon esprit la conviction que les préceptes qu'ils renferment doivent être pesés avec grand soin; car ils ont été dictés, en général, par une connaissance étendue des faits, un jugement éclairé, une attention profonde, et un esprit de précaution infinie. »

Littré ἐν Hipp. III, 169.

*φυσικὸν μέντοι εἶναι χρὴ τὸν ταῦτα κρινοῦντα, καὶ ὁμιλίῃ τετεχνωμένον.

Ἐν Μουνυχίᾳ,
ἱσταμένου μηνὸς Ἀνθεστηριῶνος πρώτῃ, 1864.

Dr. C. H. Th. Reinhold.

τῆς κεφαλῆς, καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ὥνθρωπος, ὅταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς ἤ που ἄλλοθι. Ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γιγνομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ· ὑπὸ λεπτοτάτῳ γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλιγίστῃ σαρκί, καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. Τῶν δὲ ἄλλων τὸ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστιν· ξυμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου· καὶ ἡ ἀκοὴ πλησίον γίγνεται αὐτοῦ, καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.

4. Ἰσχυρότερον δ' ἐστὶ τῆς κεφαλῆς τοῦ ὀστέου πᾶν τὸ ὄπισθεν τῆς κορυφῆς καὶ τῶν οὐάτων ἢ πᾶν τὸ πρόσθεν, καὶ σάρκα πλέονα καὶ βαθυτέρην ἐφ' ἑωυτῷ ἔχει ταύτῃ τὸ ὀστέον. Καὶ δῆλον ὅτι οὕτως ἔχει, ἐκ τῶν τρωσίων· ὑπό τε τῶν βελέων ἴσων ἐόντων καὶ μεζόνων καὶ ὑφ' ὁμοίων τε ἐόντων τῶν τρωμάτων καὶ μεζόνων ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται, καὶ ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον, ἣν μέλλῃ ὥνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλέονι χρόνῳ ἀποθανεῖται· ἐν πλέονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον διὰ τὴν παχύτητα τοῦ ὀστέου, καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι· καὶ πλέονες ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπὶ τὸ πουλὺ ἢ τῶν ἔμπροσθεν. Καὶ ἐν χειμῶνι πλέονα χρόνον ζῇ

ἡ μὲν ἑτέρη ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφήκουσα, ἡ δὲ ἑτέρη κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς.

2. Διπλόον δ' ἐστὶ τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν· σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκε τό τε ἀνώτατον, ᾗ ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ ὑπὸ τῇ σαρκὶ, καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ᾗ ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω· ἀποχωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου καὶ τοῦ κατωτάτου, ἀπὸ τῶν σκληροτάτων καὶ πυκνοτάτων ἐπὶ τὸ μαλθακώτερον καὶ κοιλότερον ἐς τὴν διπλόην αἰεί· ᾗ δὲ διπλόη, κοιλότατον καὶ μαλθακώτατον καὶ μάλιστα σηραγγῶδές ἐστιν. Ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ τοῦ κατωτάτου, σπόγγῳ ὁμοῖον· καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὁκοῖα σαρκία πολλὰ καὶ ὑγρὰ, καὶ εἴ τις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισιν, αἷμα ἂν διαγίγνοιτο ἐξ αὐτῶν. Ἔνι δ' ἐν τῷ ὀστέῳ καὶ φλέβια λεπτότερα καὶ κοιλότερα, αἵματος πλέα. Σκληρότητι μὲν οὖν καὶ μαλθακότητι καὶ πυκνότητι καὶ κοιλότητι οὕτως ἔχει, παχύτητι δὲ καὶ λεπτότητι ὧδε:

3. Ξυμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστι καὶ ἀσθενέστατον τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχει ἐφ' ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον, καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς πλεῖστος ὕπεστιν. Καὶ δῆλον ὅτι οὕτω ταῦτα ἔχει, ἐκ τῶν τρωσίων· τῶν τε βελέων ἴσων τε ἐόντων κατὰ μέγεθος καὶ ἐλασσόνων καὶ ἐξ ἴσων τε ἐόντων τῶν τρωμάτων καὶ ἡσσόνων τὸ ὀστέον ταύτῃ τῆς κεφαλῆς φλᾶταί τε μᾶλλον καὶ ῥήγνυται καὶ ἔσω ἐσφλᾶται, καὶ θανατιμώτερά ἐστι καὶ χαλεπώτερα ἰητρεύεσθαί τε καὶ ἐκφυγγάνειν τὸν θάνατον ταύτῃ ἤ που ἄλλοθι

τῆς κεφαλῆς, καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ὥνθρωπος, ὅταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς ἤ που ἄλλοθι. Ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γιγνομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ· ὑπὸ λεπτοτάτῳ γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλιγίστῃ σαρκὶ, καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. Τῶν δὲ ἄλλων τὸ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστιν· ξυμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου· καὶ ἡ ἀκοὴ πλησίον γίγνεται αὐτοῦ, καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή.

4. Ἰσχυρότερον δ' ἐστὶ τῆς κεφαλῆς τοῦ ὀστέου πᾶν τὸ ὄπισθεν τῆς κορυφῆς καὶ τῶν οὐάτων ἢ πᾶν τὸ πρόσθεν, καὶ σάρκα πλέονα καὶ βαθυτέρην ἐφ' ἑωυτῷ ἔχει ταύτῃ τὸ ὀστέον. Καὶ δῆλον ὅτι οὕτως ἔχει, ἐκ τῶν τρωσίων· ὑπό τε τῶν βελέων ἴσων ἐόντων καὶ μεζόνων καὶ ὑφ' ὁμοίων τε ἐόντων τῶν τρωμάτων καὶ μεζόνων ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται, καὶ ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον, ἢν μέλλῃ ὥνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλέονι χρόνῳ ἀποθανεῖται· ἐν πλέονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον διὰ τὴν παχύτητα τοῦ ὀστέου, καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι· καὶ πλέονες ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπὶ τὸ πουλὺ ἢ τῶν ἔμπροσθεν. Καὶ ἐν χειμῶνι πλέονα χρόνον ζῇ

ἄνθρωπος ἢ ἐν θέρεϊ, ὅστις καὶ ἄλλως μέλλει ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὀχυοῦν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα.

5. Τιτρώσκεται δὲ ὀστέον τὸ ἐν κεφαλῇ τοσούσδε τρόπους· τῶν δὲ τρόπων ἑκάστου πλέονες ἰδέαι γίγνονται τοῦ κατήγματος ἐν τῇ τρώσι. Ὀστέον ῥήγνυται τιτρωσκόμενον, καὶ τῷ περιέχοντι ὀστέῳ τὴν ῥωγμὴν ἀνάγκη φλάσιν προσγίγνεσθαι, ἥνπερ ῥαγῇ· τῶν γὰρ βελέων ὅ,τι περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον ἢ μᾶλλον ἢ ἧσσον, αὐτό τε ἐν ᾧπερ καὶ ῥήγνυσι τὴν ῥωγμὴν καὶ τὰ περιέχοντα ὀστέα τὴν ῥωγμήν· εἷς οὗτος τρόπος. Ἰδέαι δὲ ῥωγμέων παντοῖαι γίγνονται· καὶ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ, ὥστε οὐ καταφανέες γίγνονται ἔστιν αἳ τῶν ῥωγμέων, οὔτε αὐτίκα μετὰ τὴν τρῶσιν, οὔτε ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσιν ἂν καὶ προνοέειν ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ· αἱ δ' αὖ παχύτεραί τε καὶ εὐρύτεραι ῥήγνυνται τῶν ῥωγμέων· ἔνιαι δὲ καὶ πάνυ εὐρέαι. Καὶ αἱ μὲν ἐπὶ μακρότερον ῥήγνυνται, αἱ δὲ ἐπὶ βραχύτερον· καὶ αἱ μὲν ἰθύτεραί τε καὶ ἰθέαι πάνυ, αἱ δὲ καμπυλώτεραί τε καὶ καμπύλαι· καὶ βαθύτεραί τε ἐς τὸ κάτω καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἧσσον βαθέαι ἐς τὸ κάτω καὶ οὐ διὰ παντὸς τοῦ ὀστέου.

6. Φλασθείη δ' ἂν τὸ ὀστέον μένον ἐν τῇ ἑωυτοῦ φύσι, καὶ ῥωγμὴ τῇ φλάσι οὐκ ἂν προσγένοιτο ἐν τῷ ὀστέῳ οὐδεμία· δεύτερος οὗτος τρόπος. Ἰδέαι δὲ τῆς φλάσιος πλείους γίγνονται· καὶ γὰρ μᾶλλόν τε καὶ ἧσσον φλᾶται, καὶ ἐς βαθύτερόν τε καὶ διὰ παντὸς τοῦ ὀστέου καὶ ἧσσον ἐς βαθὺ καὶ οὐ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἐπὶ πλέον τε καὶ ἔλασσον μήκεός τε καὶ πλατύτητος. Ἀλλ' οὐ τουτέων τῶν ἰδεῶν οὐδε-

μίαν ἔστιν ἰδόντα τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁκοίη τίς ἐστι τὴν ἰδέην καὶ ὁκόση τις τὸ μέγεθος· οὐδὲ γὰρ εἰ πέφλασται ἢ μὴ πέφλασται, ἐόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, γίγνεται τοῖσιν ὀφθαλμοῖσι καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν, ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι ἑκὰς ἐοῦσαι.

7. Πεφλασμένου δέ τε καὶ ἐῤῥωγότος τοῦ ὀστέου ἐσφλᾶται τὸ ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω ξὺν ῥωγμῆσιν· ἄλλως γὰρ οὐκ ἂν ἐσφλασθείη· τὸ γὰρ ἐσφλώμενον, ἀποῤῥηγνύμενόν τε καὶ καταγνύμενον, ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσι τῇ ἑωυτοῦ· καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσι· τρίτος οὗτος τρόπος. Ἐσφλᾶται δὲ τὸ ὀστέον πολλὰς ἰδέας· καὶ γὰρ ἐπὶ πλέον τοῦ ὀστέου καὶ ἐπ' ἔλασσον, καὶ μᾶλλόν τε καὶ ἐς βαθύτερον κάτω καὶ ἧσσόν τε καὶ ἐπιπολαιότερον.

8. Καὶ ἕδρη δὲ τοῦ βέλεος γίγνεται ἐν τῷ ὀστέῳ· ἕδρη δὲ καλέεται, ὅταν, μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσι, τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον δῆλον ποιήσῃ ὅκῃ ἐστήριξεν· τέταρτος οὗτος τρόπος. Καὶ ἕδρη μὲν ἂν γένοιτο φλάσιν ἔχουσα τοῦ ὀστέου περὶ ἑωυτὴν, ῥωγμὴ δὲ οὐκ ἂν προσγένοιτο τῇ ἕδρῃ καὶ τῇ φλάσι ὑπὸ τοῦ βέλεος. Καὶ ἕδρης γενομένης ἐν τῷ ὀστέῳ βέλεος, προσγένοιτο ἂν ῥωγμὴ τῇ ἕδρῃ· καὶ φλάσιν προσγενέσθαι ἀναγκαῖόν ἐστιν ἢ μᾶλλον ἢ ἧσσον, ἤνπερ καὶ ῥωγμὴ προσγένηται, ἔνθαπερ ἡ ἕδρη ἐγένετο καὶ ἡ ῥωγμὴ, καὶ ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν τε ἕδρην καὶ τὴν ῥωγμήν. Ἐν δὲ τῶν τρόπων ἑκάστῳ πλέονες ἰδέαι γίγνονται· καὶ περὶ μὲν φλάσιός τε καὶ ῥωγμῆς, ἢν ἄμφω ταῦτα προσγένηται τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη γένηται, ἤδη πέφρασται ὅτι πολλαὶ ἰδέαι γίγνονται καὶ τῆς φλάσιος

καὶ τῆς ῥωγμῆς. Ἡ δὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γίγνεται μακροτέρη καὶ βραχυτέρη ἐοῦσα καὶ καμπυλωτέρη καὶ ἰθυτέρη καὶ κυκλοτερής· καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου, ὁκοῖον ἄν τι καὶ τὸ σχῆμα τοῦ βέλεος ᾖ· καὶ δι' αὐτὸ καὶ βαθύτεραί τε ἐς τὸ κάτω καὶ ἧσσον βαθέαι, καὶ στενώτεραί τε καὶ ἧσσον στεναὶ, καὶ εὐρύτεραί τε καὶ πάνυ εὐρέαι· ἢ διακεκόφαται· διακοπὴ δ', ὁκοσητισοῦν γιγνομένη μήκεός τε καὶ εὐρύτητος ἐν τῷ ὀστέῳ, ἕδρη ἐστὶν, ἢν τὰ ἄλλα ὀστέα τὰ περιέχοντα τὴν διακοπὴν μένῃ ἐν τῇ φύσι τῇ ἑωυτῶν καὶ μὴ ξυνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν· οὕτω δ' ἔσφλασις ἂν εἴη καὶ οὐκ ἔτι ἕδρη. Αἱ δὲ ἕδραι τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων αὐταὶ ἐπὶ σφῶν αὐτέων γιγνόμεναι,· αὗται δὲ γίγνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς καὶ ἐν τῷ ὄπισθεν·, βάπτουσαι ἐν τῷ ὀστέῳ, ἄτερ ῥωγμῆς τε καὶ φλάσιος ἢ ἔσω ἐσφλάσιος, δῆλον ὅτι ἐκ τουτέων θάνατος οὐ γίγνεται κατά γε δίκην, οὐδ' ἢν γένηται.

9. Ῥαφὴ δὲ ἐν ἕλκεϊ φανεῖσα, ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γενομένου, ἀσθενέστατον γίγνεται τῇ τρώσι καὶ τῷ βέλεϊ ἀντέχειν, εἰ τύχοι τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν στηριχθὲν, πάντων δὲ μάλιστα ἢν τύχῃ τὸ ἕλκος ἐν τῷ βρέγματι γενόμενον κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς καὶ αἱ ῥαφαὶ εἰ τύχοιεν ἐοῦσαι περὶ τὸ ἕλκος καὶ τὸ βέλος αὐτέων τύχοι τῶν ῥαφέων.

10. Ὀστέον τιτρώσκεται ἄλλῃ τῆς κεφαλῆς, ἢ ᾗ τὸ ἕλκος ἔχει ὥνθρωπος καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός· πέμπτος οὗτος τρόπος. Καὶ ταύτην τὴν ξυμφορὴν, ὁκόταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν· οὐδὲ γὰρ εἰ πέπονθε τὸ κακὸν

τοῦτο, οὐκ ἔστιν ὅκως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι, εἰ πέπονθε τὸ κακὸν τοῦτο ὥνθρωπος οὐδ' ὄκῃ τῆς κεφαλῆς.

11. Τούτων τῶν τρόπων τῆς κατήξιος ἐς πρίσιν ἀφήκει ἥ τε φλάσις ἡ ἀφανὴς ἰδεῖν καὶ ἢν πως τύχῃ φανερὴ γενομένη, καὶ ἡ ῥωγμὴ ἡ ἀφανὴς ἰδεῖν καὶ ἢν φανερὴ ᾖ. Καὶ ἢν, ἕδρης γενομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, προσγένηται ῥωγμὴ καὶ φλάσις τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. Τὸ δ' ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ, ὀλίγα τῶν πολλῶν πρίσιος προσδεῖται· καὶ τὰ μάλιστα ἐσφλασθέντα καὶ μάλιστα καταῤῥαγέντα, ταῦτα πρίσιος ἥκιστα κέχρηται· οὐδὲ ἕδρη αὐτὴ ἐπὶ ἑωυτῆς γενομένη ἄτερ ῥωγμῆς καὶ φλάσιος, οὐδὲ αὕτη πρίσιος δεῖται· οὐδ' ἡ διακοπὴ, ἢν μεγάλη ᾖ καὶ εὐρέα, οὐδ' αὕτη.

12. Πρῶτον δὲ χρὴ τὸν τρωματίην σκοπέεσθαι, ὅκῃ ἔχει τὸ τρῶμα τῆς κεφαλῆς, εἴτ' ἐν τοῖσιν ἰσχυροτέροισιν εἴτ' ἐν τοῖσιν ἀσθενεστέροισι, καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ διακεκόφαται ὑπὸ τοῦ βέλεος ἢ ἐσωσμέναι εἰσὶν ἐς τὸ τρῶμα· καὶ ἢν τοῦτο ᾖ, φάναι κινδυνεύειν τὸ ὀστέον ψιλὸν εἶναι τῆς σαρκὸς, ἔχειν τε σίνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. Ταῦτα μὲν οὖν χρὴ ἀπόπροσθεν σκεψάμενον λέξαι, μὴ ἁπτόμενον τοῦ ἀνθρώπου· ἁπτόμενον δ' ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἰ ἔστι ψιλὸν τὸ ὀστέον τῆς σαρκὸς ἢ οὔ· καὶ ἢν μὲν καταφανὲς ᾖ τὸ ὀστέον τοῖσιν ὀφθαλμοῖσιν ἐὸν ψιλόν· εἰ δὲ μὴ, τῇ μήλῃ σκέπτεσθαι. Καὶ ἢν μὲν εὕρῃς ψιλὸν ἐὸν τὸ ὀστέον τῆς σαρκὸς καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἔοντος τὴν διάγνωσιν πρῶτα ποιέεσθαι, ὁρέοντα ὁκόσον τέ ἐστι τὸ κακὸν καὶ τίνος

δεῖται ἔργου· χρὴ δὲ καὶ ἐρωτᾶν τὸν τετρωμένον, ὅκως ἔπαθε καὶ τίνα τρόπον. Ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον εἰ ἔχει τι κακὸν ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιέεσθαι, ψιλοῦ ἐόντος τοῦ ὀστέου, τὸ τρῶμα ὅκως ἐγένετο καὶ ὅν τινα τρόπον· τὰς γὰρ φλάσιας καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δὲ, ἐκ τῆς ὑποκρίσιος τοῦ τετρωμένου πρῶτον διαγιγνώσκειν πειρᾶσθαι εἴ τι πέπονθε τούτων τὸ ὀστέον ἢ οὐ πέπονθεν, ἔπειτα δὲ καὶ λόγῳ καὶ ἔργῳ ἐξελέγχοντα, πλὴν μηλώσιος· μήλωσις γὰρ οὐκ ἐξελέγχει εἰ πέπονθέ τι τούτων τῶν κακῶν τὸ ὀςέον καὶ εἴ τι ἔχει ἐν ἑωυτῷ ἢ οὐ πέπονθεν· ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐλέγχει μήλωσις καὶ ἢν ἐσφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον· ἅπερ καὶ τοῖσιν ὀφθαλμοῖσι καταφανέα ἐστὶν ὁρέοντα γιγνώσκειν.

13. Ῥήγνυται δὲ τὸ ὀστέον τάς τε ἀφανέας ῥωγμὰς καὶ τὰς φανερὰς, καὶ φλᾶται τὰς ἀφανέας φλάσιας, καὶ ἐσφλᾶται ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ, μάλιστα, ἢν ἕτερος ὑφ' ἑτέρου τρωθῇ, ὁκόταν ἐξ ὑψηλοτέρου γίγνηται ἡ βολὴ ἢ ἡ πληγὴ, ὁκοτέρη ἂν ᾖ, μᾶλλον ἢ ὁκόταν ἐξ ἰσοπέδου τοῦ χωρίου, καὶ ἢν περικρατέῃ τῇ χειρὶ τὸ βέλος, ἤν τε βάλλῃ ἤν τε τύπτῃ, καὶ ἰσχυρότερος ἐὼν ἀσθενέστερον τιτρώσκῃ ἐπίτηδες τρῶσαι βουλόμενος, μᾶλλον ἢ ὁκόταν ἀέκων. Ὁκόσοι δὲ πίπτοντες τιτρώσκονται πρός τε τὸ ὀστέον καὶ αὐτὸ τὸ ὀστέον, ὁ ἀπὸ ὑψηλοτάτου πίπτων καὶ ἐπὶ σκληρότατον καὶ ἀμβλύτατον, τούτῳ κίνδυνος τὸ ὀστέον ῥαγῆναι καὶ φλασθῆναι καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ· τῷ δ' ἐξ ἰσοπέδου μᾶλλον χωρίου πίπτοντι καὶ ἐπὶ μαλθακώτερον ἧσσον ταῦτα πάσχει τὸ ὀστέον ἢ οὐκ ἂν πάθοι. Ὁκόσα

δὲ ἐσπίπτοντα ἐς τὴν κεφαλὴν βέλεα τιτρώσκει ἔς τε τὸ ὀστέον καὶ αὐτὸ τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐσπεσὸν καὶ ἥκιστα ἐξ ἰσοπέδου καὶ σκληρότατόν τε ἅμα καὶ ἀμβλύτατον καὶ βαρύτατον καὶ ἥκιστα κοῦφόν τε καὶ ὀξὺ καὶ μαλθακὸν, τοῦτο ἂν ῥήξειε τὸ ὀστέον καὶ φλάσειεν. Καὶ μάλιστά γε ταῦτα πάσχειν τὸ ὀστέον κίνδυνος, ὅταν ταῦτά τε γένηται καὶ ἐς ἰθὺ τρωθῇ καὶ κατ' ἀντίον γένηται τὸ ὀστέον τοῦ βέλεος, ἤν τε πληγῇ ἐκ χειρὸς ἤν τε βληθῇ ἤν τέ τι ἐμπέσῃ αὐτῷ καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ, καὶ ὁκωσοῦν τρωθεὶς κατ' ἀντίον γενομένου τοῦ ὀστέου τῷ βέλεϊ. Τὰ δ' ἐς πλάγιον τοῦ ὀστέου παραιφάραντα βέλεα ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον καὶ φλᾷ καὶ ἔσω ἐσφλᾷ, κἢν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός· ἔνια γὰρ τῶν τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός.

12. Τῶν δὲ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον τάς τε φανερὰς ῥωγμὰς καὶ τὰς ἀφανέας, καὶ φλᾷ τε καὶ ἐσφλᾷ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον τὰ στρογγύλα τε καὶ περιφερέα καὶ ἀρτίστομα, ἀμβλέα τε ἐόντα καὶ βαρέα καὶ σκληρά· καὶ τὴν σάρκα ταῦτα φλᾷ τε καὶ πέπειρον ποιέει καὶ κόπτει· καὶ τὰ ἕλκεα, ἃ γίγνεται ὑπὸ τῶν τοιούτων βελέων, ἔς τε πλάγιον καὶ ἐν κύκλῳ ὑπόκοιλα καὶ διάπυά τε μᾶλλον γίγνεται καὶ ὑγρά ἐστι καὶ ἐπὶ πλέονα χρόνον καθαίρεται· ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας πύον γενομένας ἐκτακῆναι. Τὰ δὲ βέλεα τὰ προμήκεα, ἐπιπολὺ λεπτὰ ἐόντα καὶ ὀξέα καὶ κοῦφα, τήν τε σάρκα διατάμνει μᾶλλον ἢ φλᾷ, καὶ τὸ ὀστέον ὡσαύτως· καὶ ἕδρην μὲν ἐμποιέει αὐτῷ καὶ διακοπήν· διακοπὴ γὰρ καὶ ἕδρη τωὐτό ἐστι· φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαῦτα

βέλεα· οὐδὲ ῥήγνυσιν. οὐδ' ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω ἐσφλᾶ.

15. Ἀλλὰ χρὴ, πρὸς τῇ ὄψι ὅ,τι ἄν σοι φαίνηται ἐν τῷ ὀστέῳ, καὶ ἐρώτησιν ποιέεσθαι πάντων τούτων· τοῦ γὰρ μᾶλλόν τε καὶ ἧσσον τρωθέντος ταῦτ' ἐστὶ σημήϊα καὶ ἢν ὁ τρωθεὶς καρωθῇ καὶ σκότος περιχυθῇ καὶ ἢν δῖνος ἔχῃ καὶ πέσῃ.

16. Ὅταν δὲ τύχῃ ψιλωθὲν τὸ ὀστέον τῆς σαρκὸς ὑπὸ τοῦ βέλεος καὶ τύχῃ κατ' αὐτὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος, χαλεπὸν γίγνεται καὶ τὴν ἕδρην τοῦ βέλεος φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φανερὴν γιγνομένην, εἴτ' ἔνεστιν ἐν τῷ ὀστέῳ εἴ τε μὴ ἔνεστιν, ἤν τε τύχῃ γενομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥαφῇσι· ξυγκλέπτει τε γὰρ αὐτὴν ἡ ῥαφὴ τρηχυτέρη ἐοῦσα τοῦ ἄλλου ὀστέου καὶ οὐ διάδηλον ὅ,τι τε αὐτοῦ ῥαφή ἐστι καὶ ὅ,τι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα μεγάλη γένηται ἡ ἕδρη. Προσγίγνεται δὲ καὶ ῥῆξις τῇ ἕδρῃ, ὡς ἐπὶ τὸ πουλὺ αὐτὴ ἐν τῇσι ῥαφῇσι γιγνομένη, καὶ γίγνεται καὶ αὐτὴ ἡ ῥῆξις χαλεπωτέρη φράσασθαι, ἐῤῥωγότος τοῦ ὀστέου, διὰ τοῦτο ὅτι κατ' αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆξις γίγνεται, ἢν ῥηγνύηται, ὡς ἐπὶ τὸ πουλύ· ἑτοῖμον γὰρ ταύτῃ ῥήγνυσθαι τὸ ὀστέον καὶ διαχαλᾶν διὰ τὴν ἀσθένειαν τῆς φύσιος τοῦ ὀστέου ταύτῃ καὶ διὰ τὴν ἀραιότητα καὶ δὴ ἅτε τῆς ῥαφῆς ἑτοίμης ἐούσης ῥήγνυσθαι καὶ διαχαλᾶν· τὰ δ' ἄλλα ὀστέα τὰ περιέχοντα τὴν ῥαφὴν μένει ἀῤῥαγέα, ὅτι ἰσχυρότερά ἐστι τῆς ῥαφῆς. Ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν γιγνομένη καὶ διαχάλασίς ἐστι τῆς ῥαφῆς καὶ φράσασθαι οὐκ εὐμαρὴς, οὔτε ἢν ὑπὸ ἕδρης τοῦ βέλεος γενομένης ἐν τῇ ῥαφῇ ἐπειδὰν ῥαγῇ, καὶ διαχαλάσῃ, οὔτε ἢν φλασθέντος τοῦ ὀστέου κατὰ τὰς ῥαφὰς ῥαγῇ καὶ διαχαλάσῃ· ἀλλ' ἔτι χα-

λεπώτερον φράσασθαι τὴν ἀπὸ τῆς φλάσιος ῥωγμήν· ξυγκλέπτουσι γὰρ τὴν γνώμην καὶ τὴν ὄψιν τοῦ ἰητροῦ αὐταὶ αἱ ῥαφαὶ ῥωγμοειδέες φαινόμεναι καὶ τρηχύτεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου, ὅ,τι μὴ ἰσχυρῶς διεκόπη καὶ διεχάλασεν. Ἀλλὰ χρὴ, εἰ κατὰ τὰς ῥαφὰς τὸ τρῶμα γένοιτο καὶ πρός τε τὸ ὀστέον καὶ ἐς τὸ ὀστέον στηρίξειε τὸ βέλος, προσέχοντα τὸν νόον ἀνευρίσκειν ὅ,τι πέπονθε τὸ ὀστέον· ἀπὸ γὰρ ἴσων τε βελέων τὸ μέγεθος καὶ πολλὸν ἐλασσόνων καὶ ὁμοίως τε τρωθεὶς καὶ πουλὺ ἧσσον πολλῷ μέζον ἐκτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ ὁ ἐς τὰς ῥαφὰς δεξάμενος τὸ βέλος ἢ ὁ μὴ ἐς τὰς ῥαφὰς δεξάμενος. Καὶ τούτων τὰ πολλὰ πρίεσθαι δεῖ· ἀλλ' οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ' ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιέεσθαι, ἢν πρίῃς.

17. Περὶ δὲ ἰήσιος τρωσίων τῶν ἐν τῇ κεφαλῇ καὶ ὅκως χρὴ ἐξελέγχειν τὰς πάθας τὰς ἐν τῷ ὀστέῳ γενομένας τὰς μὴ φανερὰς, ὧδέ μοι δοκέει. Ἕλκος ἐν κεφαλῇ οὐ χρὴ τέγγειν οὐδενὶ, πλὴν οἴνῳ, ἀλλ' ὡς ἥκιστα· οὐδὲ καταπλάσσειν, οὐδὲ μοτῷ τὴν ἴησιν ποιέεσθαι, οὐδ' ἐπιδεῖν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος ἐν τῷ ψιλῷ τῶν τριχῶν ἢ περὶ τὴν ὀφρὺν καὶ τὸν ὀφθαλμόν· χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ' ἐπειδὰν παύσηται φλεγμαίνοντα καὶ τὸ οἴδημα καταστῇ παύσασθαι καταπλάσσοντα καὶ ἐπιδέοντα. Ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρὴ οὔτε καταπλάσσειν οὔτ' ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς δέοιτο.

18. Τάμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν κεφαλῇ γενομένων καὶ ἐν μετώπῳ, ὅκου ἂν τὸ μὲν ὀστέον ψιλὸν ᾖ τῆς σαρκὸς καὶ δοκέῃ τι σίνος ἔχειν ὑπὸ τοῦ βέλεος, τὰ δὲ ἕλκεα

μὴ ᾖ ἱκανὰ τὸ μέγεθος τοῦ μήκεος καὶ τῆς εὐρύτητος ἐς τὴν σκέψιν τοῦ ὀστέου, εἴ τι πέπονθεν ὑπὸ τοῦ βέλεος κακὸν καὶ ὁκοῖόν τι πέπονθε καὶ ὁκόσον μὲν ἡ σὰρξ πέφλασται καὶ τὸ ὀστέον ἔχει τὸ σίνος, καὶ δ' αὖτε εἰ ἀσινές τί ἐστι τὸ ὀστέον ὑπὸ τοῦ βέλεος καὶ μηδὲν πέπονθε κακὸν, καὶ ἐς τὴν ἴησιν ὁκοίης τινὸς δεῖται τό τε ἕλκος ἥ τε σὰρξ καὶ ἡ πάθη τοῦ ὀστέου. Τὰ δὴ τοιαῦτα τῶν ἑλκέων τομῆς δεῖται· καὶ ἢν μὲν τὸ ὀστέον ψιλωθῇ τῆς σαρκὸς, ὑπόκοιλα δὲ ᾖ ἐς πλάγιον ἐπὶ πουλὺ, ἐπανατάμνειν τὸ κοῖλον, ὅκου μὴ εὐμαρὲς τῷ φαρμάκῳ ἀφικέσθαι, ὁκοίῳ ἄν τινι χρῇ· καὶ τὰ κυκλοτερέα τῶν ἑλκέων καὶ ὑπόκοιλα ἐπὶ πουλὺ, καὶ τὰ τοιαῦτα, ἐπανατάμνων τὸν κύκλον διχῇ κατὰ μῆκος, ὡς πέφυκεν ὥνθρωπος, μακρὸν ποιέειν τὸ ἕλκος.

19. Τάμνοντι δὲ κεφαλὴν τὰ μὲν ἄλλα τῆς κεφαλῆς ἀσφάλειαν ἔχει ταμνόμενα· ὁ δὲ κρόταφος καὶ ἄνωθεν ἔτι τοῦ κροτάφου κατὰ τὴν φλέβα τὴν διὰ τοῦ κροτάφου φερομένην, τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν· σπασμὸς γὰρ ἐπιλαμβάνει τὸν τμηθέντα· καὶ ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τμηθῇ κροτάφῳ, τὰ ἐπὶ δεξιὰ ὁ σπασμὸς ἐπιλαμβάνει· ἢν δ' ἐν τῷ ἐπὶ δεξιὰ τμηθῇ κροτάφῳ, τὰ ἐπ' ἀριστερὰ ὁ σπασμὸς ἐπιλαμβάνει.

20. Ὅταν οὖν τάμνῃς ἕλκος ἐν κεφαλῇ ὀστέων εἵνεκα τῆς σαρκὸς ἐψιλωμένων, θέλων εἰδέναι εἴ τι ἔχει τὸ ὀστέον κακὸν ὑπὸ τοῦ βέλεος ἢ καὶ οὐκ ἔχει, τάμνειν χρὴ τὸ μέγεθος τὴν ὠτειλὴν, ὁκόση ἂν δοκέῃ ἀποχρῆναι. Τάμνοντα δὲ χρὴ ἀναστεῖλαι τὴν σάρκα ἀπὸ τοῦ ὀστέου, ἣ προσκειμένη πρὸς τῷ ὀστέῳ πέφυκεν· ἔπειτα διαμοτῶσαι τὸ ἕλκος πᾶν μοτῷ, ὅστις εὐρύτατον τὸ ἕλκος παρέξει ἐς τὴν ὑστεραίην

ξὺν ἐλαχίστῳ πόνῳ· μοτώσαντα δὲ χρὴ καταπλάσματι χρῆσθαι, ὁκόσον ἄν περ χρόνον καὶ τῷ μοτῷ, μάζῃ ἐκ λεπτῶν ἀλφίτων· ἐν ὄξεϊ δὲ μάσσειν ἢ ἕψειν καὶ γλίσχρην ποιέειν ὡς μάλιστα.

21. Τῇ δ' ὑστεραίῃ ἡμέρῃ, ἐπειδὰν ἐξέλῃς τὸν μοτὸν, κατιδὼν τὸ ὀστέον ὅ,τι πέπονθεν, ἢν μή σοι καταφανὴς ᾖ ἡ τρῶσις ὁκοίη τίς ἐστιν ἐν τῷ ὀστέῳ μηδὲ διαγιγνώσκῃς εἴτε τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ ἢ καὶ οὐκ ἔχει, τὸ δὲ βέλος δοκέῃ ἀφικέσθαι ἐς τὸ ὀστέον καὶ σίνασθαί τι, ἐπιξύειν χρὴ τῷ ξυστῆρι κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀνθρώπου, ὡς πέφυκε, καὶ αὖθις ἐπικάρσιον τὸ ὀστέον, τῶν ῥηξίων εἵνεκα τῶν ἀφανέων ἰδεῖν καὶ τῆς φλάσιος εἵνεκα τῆς ἀφανέος, τῆς οὐκ ἐσφλωμένης ἔσω ἐκ τῆς φύσιος τῆς κεφαλῆς, τοῦ ἄλλου ὀστέου· ἐξελέγχει γὰρ ἡ ξύσις μάλ' αὐτίκα, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι αἱ ἐν τῷ ὀστέῳ ἐοῦσαι τοῦ βέλεος. Καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ ὀστέῳ τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην καὶ τὰ περιέχοντα αὐτὴν ὀστέα, μὴ, ἃ πολλάκις τῇ ἕδρῃ προσγεγένηται, ῥῆξις καὶ φλάσις, ἢ μούνη φλάσις, ἔπειτα λανθάνῃ οὐ καταφανέα ἐόντα.

22. Ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκέῃ ἐς πρίσιν ἀφήκειν ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ, καὶ οὐ δεῖ τὰς τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἀπρίωτον, ἀλλ' ἐν ταύτῃσι πρίειν· ἄλλως τε καὶ θερμῆς τῆς ὥρης, ἢν ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἕλκος. Ἢν δὲ ὑποπτεύῃς μὲν τὸ ὀστέον ἐῤῥωγέναι ἢ πεφλάσθαι ἢ ἀμφότερα ταῦτα, τεκμαιρόμενος ὅτι ἰσχυρῶς τέτρωται ἐκ τῶν λόγων τοῦ τρωματίου καὶ ὅτι ὑπὸ ἰσχυροτέρου, τοῦ τρώσαντος, ἢν ἕτερος ὑφ' ἑτέρου τρωθῇ, καὶ

τὸ βέλος ὅτῳ ἐτρώθη ὅτι τῶν κακούργων βελέων ἦν, ἔπειτα τὸν ἄνθρωπον ὅτι δῖνός τε ἔλαβε καὶ σκότος καὶ ἐκαρώθη καὶ κατέπεσεν· τούτων δὲ οὕτω γενομένων ἂν μὴ διαγιγνώσκῃς εἰ ἔῤῥωγε τὸ ὀστέον ἢ πέφλασται ἢ καὶ ἀμφότερα ταῦτα, μηδὲ ἄλλως ὁρέων διεσδύνῃς ἐπὶ τὸ ὀστέον, τηκτόν τι μελάντατον δεύσας τῷ μέλανι φαρμάκῳ, τῷ τηκομένῳ στεῖλαι τὸ ἕλκος, ὑποτείνας ὀθόνιον ἐλαίῳ τέγξας· εἶτα καταπλάσας τῇ μάζῃ, ἐπιδῆσαι· τῇ δ' ὑστεραίῃ ἀπολύσας, ἐκκαθήρας τὸ ἕλκος, ἐπιξῦσαι. Καὶ ἢν μὴ ᾖ ὑγιὲς, ἀλλ' ἐῤῥώγῃ καὶ πεφλασμένον ᾖ, τὸ μὲν ἄλλο ἔσται ὀστέον λευκὸν ἐπιξυόμενον, ἡ δὲ ῥωγμὴ καὶ ἡ φλάσις καταταχέντος τοῦ φαρμάκου, δεξαμένη τὸ φάρμακον ἐς ἑωυτὴν μέλαν ἐὸν ἔσται μέλαινα ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλλῳ. Ἀλλὰ χρὴ αὖθις τὴν ῥωγμὴν ταύτην φανεῖσαν μέλαιναν ἐπιξέειν κατὰ βάθος· καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν ἐξέλῃς καὶ ἀφανέα ποιήσῃς, φλάσις μὲν γεγένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον, ἥτις περ ἔῤῥηξε καὶ τὴν ῥωγμὴν τὴν ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος· ἧσσον δὲ φοβερὸν καὶ ἧσσον ἂν πρῆγμα ἀπ' αὐτῆς γένοιτο, ἀφανισθείσης τῆς ῥωγμῆς· ἢν δὲ κατὰ βάθος ᾖ καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, ἀφήκει ἐς πρίσιν ἤδη ἡ τοιαύτη ξυμφορή. Ἀλλὰ χρὴ πρίσαντα τὰ λοιπὰ ἰητρεύειν τὸ ἕλκος.

23. Φυλάσσεσθαι δὲ χρὴ, ὅκως μή τι κακὸν ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢν κακῶς ἰητρεύηται. Ὀστέῳ γὰρ καὶ πεπρισμένῳ καὶ ἄλλως ἐψιλωμένῳ, ὑγιέϊ δὲ ἐόντι, καὶ ἔχοντί τι σίνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιέϊ εἶναι, κίνδυνός ἐστι μᾶλλον ὑπόπυον γενέσθαι, ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται, καὶ φλεγμαίνουσά τε καὶ ὀδυνωμένη περισφίγγηται·

πυρετώδης γὰρ γίγνεται καὶ πολλοῦ φλογμοῦ πλέων· καὶ δὴ τὸ ὀστέον ἐκ τῶν περιεχουσέων σαρκῶν ἐς ἑωυτὸ θέρμην τε καὶ φλογμὸν καὶ ἄραδον ἐμποιέει καὶ σφυγμὸν καὶ ὁκόσα περ ἡ σὰρξ ἔχει κακὰ ἐν ἑωυτῇ, καὶ ἐκ τούτων τῶν εἰδέων ὑπόπυον γίγνεται. Κακὸν δὲ καὶ ὑγρήν τε εἶναι τὴν σάρκα ἐν τῷ ἕλκεϊ καὶ μυδῶσαν καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι· ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα· οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος καὶ τάχιστα καθαρὸν εἴη· ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος, ὑποπύους γενομένας, ἐκτακῆναι. Ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γίγνεσθαι τὸ ἕλκος· οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο, ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς, καὶ οὕτως οὐκ ἂν ὑπερσαρκήσειε τὸ ἕλκος. Ὁ δ' αὐτὸς λόγος καὶ ὑπὲρ τῆς μήνιγγος τῆς περὶ τὸν ἐγκέφαλον· ἢν γὰρ αὐτίκα ἐκπρίσας τὸ ὀστέον καὶ ἀφελὼν ἀπὸ τῆς μήνιγγος ψιλώσῃς αὐτήν, καθαρὴν χρὴ ποιῆσαι ὡς τάχιστα καὶ ξηρήν, ὡς μὴ ἐπὶ πουλὺν χρόνον ὑγρὴ ἐοῦσα μυδέῃ τε καὶ ἐξαίρηται· τούτων γὰρ οὕτω γιγνομένων σαπῆναι αὐτὴν κίνδυνος.

24. Ὀστέον δέ, ὅ,τι ἀποστῆναι δεῖ ἀπὸ τοῦ ἄλλου ὀστέου, ἕλκεος ἐν κεφαλῇ γενομένου ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ ἢ ἄλλως ἐπὶ πουλὺ ψιλωθέντος τοῦ ὀστέου, ἀφίσταται ἔξαιμον γενόμενον· ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν πλείστων· τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοι τὸ λοιπὸν τό τε ἕλκος καὶ τὸ ὀστέον, καὶ τὸ μέζον καὶ τὸ ἧσσον· τὸ γὰρ τάχιστα ἀποξηρανθέν, καταπεστρακωμένον τοῦτο μάλιστα ἀφίσταται ἀπὸ τοῦ ἄλλου

ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος, αὐτὸ ἔξαιμόν τε γενόμενον καὶ ξηρὸν μάλα.

25. Ὅσα δὲ τῶν ὀστέων ἐσφλᾶται ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν καταῤῥαγέντα ἢ καὶ διακοπέντα πάνυ εὐρέα, ἀκινδυνότερα τὰ τοιαῦτα γίγνεται, ἐπὴν ἡ μῆνιγξ ὑγιὴς ᾖ· καὶ τὰ πλέοσι ῥωγμῇσιν ἐσκαταῤῥαγέντα καὶ εὐρυτέρῃσιν ἔτι ἀκινδυνότερα καὶ εὐμαρέστερα ἐς τὴν ἀφαίρεσιν γίγνεται. Καὶ οὐ χρὴ πρίειν τῶν τοιούτων οὐδὲν οὐδὲ κινδυνεύειν τὰ ὀστέα πειρώμενον ἀφαιρέειν, πρὶν ἢ αὐτόματα ἐπανίῃ· ἐπανέρχεται δὲ, τῆς σαρκὸς ὑποφυομένης· ὑποφύεται δὲ ἐκ τῆς διπλόης τοῦ ὀστέου καὶ ἐκ τοῦ ὑγιέος, ἢν ἡ ἄνωθεν μοῖρα τοῦ ὀστέου μούνη σφακελίσῃ. Οὕτω δ' ἂν τάχιστα ἥ τε σὰρξ ὑποφύοιτο καὶ βλαστάνοι καὶ τὰ ὀστέα ἐπανίοι, εἴ τις τὸ ἕλκος ὡς τάχιστα διάπυον ποιήσας καθαρὸν ποιήσει. Ἔτι καὶ ἢν διὰ παντὸς τοῦ ὀστέου ἄμφω αἱ μοῖραι ἐσφλασθῶσιν ἔσω ἐς τὴν μήνιγγα, ἥ τε ἄνω μοῖρα τοῦ ὀστέου καὶ ἡ κάτω, ἰητρεύοντι ὡσαύτως τὸ ἕλκος ὑγιὲς τάχιστα ἔσται καὶ τὰ ὀστέα τάχιστα ἐπάνεισι τὰ ἐσφλασθέντα ἔσω.

26. Τῶν δὲ παιδίων τὰ ὀστέα καὶ λεπτότερά ἐστι καὶ μαλθακώτερα διὰ τοῦτο, ὅτι ἐναιμότερά ἐστι καὶ κοῖλα καὶ σηραγγώδεα καὶ οὔτε ξηρὰ οὔτε πυκνὰ οὔτε στερεά. Καὶ ὑπὸ τῶν βελέων ἴσων τε ἐόντων καὶ ἀσθενεστέρων, καὶ τρωθέντων ὁμοίως τε καὶ ἧσσον, τὸ τοῦ νεωτέρου παιδίου καὶ μᾶλλον ὑποπυΐσκεται ἢ τὸ τοῦ πρεσβυτέρου καὶ ἐν ἐλάσσονι χρόνῳ· καὶ ὅσα ἂν ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὁ νεώτερος τοῦ πρεσβυτέρου θᾶσσον ἀπόλλυται.

27. Ἀλλὰ χρὴ, ἢν ψιλωθῇ τῆς σαρκὸς τὸ ὀστέον, προσέχοντα τὸν νόον πειρᾶσθαι διαγιγνώσκειν ὅ,τι μὴ ἔστι τοῖ-

σιν ὀφθαλμοῖσιν ἰδεῖν, καὶ γνῶναι εἰ ἔῤῥωγε τὸ ὀστέον καὶ πέφλασται, ἢ μοῦνον πέφλασται, καὶ εἰ ἕδρης γενομένης τοῦ βέλεος πρόσεστι φλάσις ἢ ῥωγμὴ ἢ ἄμφω ταῦτα· καὶ ἤν τι πεπόνθῃ τὸ ὀστέον, ἀφεῖναι τοῦ αἵματος τρυπῶντα τὸ ὀστέον σμικρῷ τρυπάνῳ, φυλασσόμενον τὴν μήνιγγα· λεπτότερον γὰρ τὸ ὀστέον καὶ ἐπιπολαιότερον τῶν νέων ἢ τῶν πρεσβυτέρων.

28. Ὅστις δὲ μέλλει ἐκ τρωμάτων ἐν κεφαλῇ ἀποθνήσκειν καὶ μὴ δυνατὸν αὐτὸν ὑγιέα γενέσθαι μηδὲ σωθῆναι, ἐκ τῶνδε τῶν σημείων χρὴ τὴν διάγνωσιν ποιέεσθαι τοῦ μέλλοντος ἀποθνήσκειν, καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι. Πάσχει γὰρ τάδε· ὁκόταν τις ὀστέον κατεηγὸς ἢ ἐῤῥωγὸς ἢ πεφλασμένον ἢ ὅτῳ γοῦν τρόπῳ κατεηγὸς ἀγνοήσας ἁμάρτῃ καὶ μήτε ξύσῃ μήτε πρίσῃ δεόμενον, μεθῇ δὲ ὡς ὑγιέος ἐόντος τοῦ ὀστέου, πρὸ τῶν τεσσαρεσκαίδεκα ἡμερέων πυρετὸς ἐπιλήψεται ὡς ἐπιπουλὺ ἐν χειμῶνι· ἐν δὲ τῷ θέρεϊ μετὰ τὰς ἑπτὰ ἡμέρας ὁ πυρετὸς ἐπιλαμβάνει. Καὶ ἐπειδὰν τοῦτο γένηται, τὸ ἕλκος ἄχροον γίγνεται καὶ ἐξ αὐτοῦ ἰχὼρ ῥέει σμικρὸς καὶ τὸ φλεγμαῖνον ἐκτέθνηκεν ἐξ αὐτοῦ καὶ * βλιχῶδες γίγνεται καὶ φαίνεται ὥσπερ τάριχος, χροιὴν πυῤῥὸν ὑποπέλιον, καὶ τὸ ὀστέον σφακελίζειν τηνικαῦτα ἄρχεται καὶ γίγνεται περκνὸν μελανέον, τελευταῖον δὲ, ὕπωχρον γενόμενον, ἔκλευκον. Ὅταν δ' ἤδη ὑπόπυον ᾖ, ἐπὶ τῇ γλώσσῃ φλυκταῖναι γίγνονται καὶ παραφρονέων τελευτᾷ. Καὶ σπασμὸς ἐπιλαμβάνει τοὺς πλείστους τὰ ἐπὶ θάτερα τοῦ σώματος· ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπὶ δεξιὰ τοῦ σώματος ὁ σπασμὸς λαμβάνει· ἢν δ' ἐν τῷ ἐπὶ δεξιὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπ' ἀριστερὰ τοῦ σώματος ὁ σπασμὸς ἐπιλαμβάνει. Εἰσὶ δ' οἳ καὶ ἀπό-

πληκτοι γίγνονται· καὶ οὕτως ἀπόλλυνται πρὸ ἑπτὰ ἡμερέων ἐν θέρεϊ, ἢ τεσσάρων καὶ δέκα ἐν χειμῶνι. Ὁμοίως δὲ τὰ σημήϊα ταῦτα ξυμβαίνει καὶ ἐν πρεσβυτέρῳ ἐόντι τῷ τρωματίῃ, καὶ ἐν νεωτέρῳ. Ἀλλὰ χρὴ, εἰ ἐννοοίης τὸν πυρετὸν ἐπιλαμβάνοντα καὶ τῶν ἄλλων τι σημήϊον τούτῳ προσγενόμενον, μὴ διατρίβειν, ἀλλὰ πρίσαντα τὸ ὀστέον πρὸς τὴν μήνιγγα ἢ καταξύσαντα τῷ ξυστῆρι, ʼκαπυρὸν δὲ γίγνεται καὶ εὔξυστον; ,ἔπειτα τὰ λοιπὰ οὕτως ἰητρεύειν, ὅκως ἂν δοκέῃ ξυμφέρειν, πρὸς τὸ γιγνόμενον ὁρῶν.

29. Ὅταν δ' ἐπὶ τρώματι ἐν κεφαλῇ ἀνθρώπῳ, ἢ πεπριωμένου ἢ ἀπριώτου, ἐψιλωμένου δὲ, τοῦ ὀστέου, οἴδημα ἐπιγένηται ἐρυθρὸν καὶ ἐρυσιπελατῶδες ἐν τῷ προσώπῳ καὶ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἀμφοτέροισιν ἢ τῷ ἑτέρῳ, καὶ, εἴ τις ἅπτοιτο τοῦ οἰδήματος, ὀδυνᾶται, καὶ πυρετὸς ἐπιλαμβάνῃ καὶ ῥῖγος, τὸ δὲ ἕλκος αὐτὸ τά τε ἀπὸ τῆς σαρκὸς καλῶς ἔχῃ ἰδέσθαι καὶ τἀπὸ τοῦ ὀστέου, καὶ τὰ περιέχοντα τὸ ἕλκος ἔχῃ καλῶς, πλὴν τοῦ οἰδήματος τοῦ ἐν τῷ προσώπῳ, καὶ ἄλλην ἁμαρτάδα μηδεμίαν ἔχῃ ἐς οἴδημα τῆς ἄλλης διαίτης, τούτου χρὴ τὴν κάτω κοιλίην ὑποκαθῆραι φαρμάκῳ ὅ,τι χολὴν ἄγει· καὶ οὕτω καθαρθέντος, ὅ τε πυρετὸς ἀφίησι καὶ τὸ οἴδημα καθίσταται καὶ ὑγιὴς γίγνεται. Τὸ δὲ φάρμακον χρὴ διδόναι πρὸς τὴν δύναμιν τοῦ ἀνθρώπου ὁρῶν, ὡς ἂν ἔχῃ ἰσχύος.

30. Περὶ δὲ πρίσιος, ὅταν καταλάβῃ ἀνάγκη πρίσαι ἄνθρωπον, ὧδε γιγνώσκειν· ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα πρίῃς, οὐ χρὴ ἐκπρίειν τὸ ὀστέον πρὸς τὴν μήνιγγα αὐτίκα· οὐ γὰρ ξυμφέρει τὴν μήνιγγα ψιλὴν εἶναι τοῦ ὀστέου ἐπὶ πουλὺν χρόνον κακοπαθέουσαν· πολλάκις γὰρ διεμύδησε καὶ τελευ-

τῶσι ἰσάπη. Ἔστι δὲ καὶ ἕτερος κίνδυνος, ἢν αὐτίκα ἀφαιρέης πρὸς τὴν μήνιγγα ἐκπρίσας τὸ ὀστέον, τρῶσαι ἐν τῷ ἔργῳ τῷ πρίονι τὴν μήνιγγα. Ἀλλὰ χρὴ πρίοντα, ἐπειδὰν ὀλίγου πάνυ δέῃ διαπεπρίσθαι καὶ ἤδη κινέηται τὸ ὀστέον, παύσασθαι πρίοντα καὶ ἐᾶν ἐπὶ τὸ αὐτόματον ἀποστῆναι τὸ ὀστέον· ἐν γὰρ τῷ διαπριώτῳ ὀστέῳ, καὶ ἐπιλελειμμένῳ τῆς πρίσιος, οὐκ ἂν ἐπιγένοιτο κακὸν οὐδέν· λεπτὸν γὰρ τὸ λειπόμενον ἤδη γίγνεται. Τὰ δὲ λοιπὰ ἰῆσθαι χρὴ, ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκεϊ. Πρίοντα δὲ χρὴ πυκινὰ ἐξαιρέειν τὸν πρίονα, τῆς θερμασίης εἵνεκα τοῦ ὀστέου, καὶ ὕδατι ψυχρῷ ἐναποβάπτειν· θερμαινόμενος γὰρ ὑπὸ τῆς περιόδου ὁ πρίων καὶ τὸ ὀστέον ἐκθερμαίνων καὶ ἀναξηραίνων κατακαίει καὶ μέζον ποιέει ἀφίστασθαι τὸ ὀστέον τὸ περιέχον τὴν πρίσιν, ἢ ὅσον μέλλει ἀφίστασθαι. Καὶ ἢν αὐτίκα βούλῃ ἐκπρίσαι τὸ πρὸς τὴν μήνιγγα, ἔπειτα ἀφελέειν τὸ ὀστέον, ὡσαύτως χρὴ πυκινά τε ἐξαιρέειν τὸν πρίονα καὶ ἐναποβάπτειν τῷ ὕδατι τῷ ψυχρῷ.

31. Ἢν δὲ μὴ ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα, ἀλλὰ παρ' ἄλλου ὑστερίζον τῆς ἰήσιος, πρίονι χρὴ χαρακτῷ ἐκπρίειν μὲν αὐτίκα τὸ ὀστέον πρὸς τὴν μήνιγγα, θαμινὰ δὲ ἐξαιρεῦντα τὸν πρίονα σκοπέεσθαι καὶ ἄλλως καὶ τῇ μήλῃ πέριξ κατὰ τὴν ὁδὸν τοῦ πρίονος. Καὶ γὰρ πουλὺ θᾶσσον διαπρίεται τὸ ὀστέον, ἢν ὑπόπυόν τε ἐὸν ἤδη καὶ διάπυον πρίῃς, καὶ πολλάκις τυγχάνει ἐπιπόλαιον ἐὸν τὸ ὀστέον, ἄλλως τε καὶ ἢν ταύτῃ τῆς κεφαλῆς ᾖ τὸ τρῶμα, ᾗ τυγχάνει λεπτότερον ἐὸν τὸ ὀστέον, ἢ παχύτερον. Ἀλλὰ φυλάσσεσθαι χρὴ ὡς μὴ λάθῃς προσβαλὼν τὸν πρίονα, ἀλλ' ὅκῃ δοκέῃ παχύτατον εἶναι τὸ ὀστέον, ἐς τοῦτο αἰεὶ ἐνστηρίζειν τὸν

πρίονα, θαμινὰ σκοπούμενος, καὶ πειρᾶσθαι ἀνακινέων
ὀστέον ἀναβάλλειν, ἀφελὼν δὲ, τὰ λοιπὰ ἰητρεύειν ὡς
δοκέῃ ξυμφέρειν τῷ ἕλκεϊ. Καὶ ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴη
αὐτίκα βούλῃ ἐκπρίσας τὸ ὀστέον ἀφελεῖν ἀπὸ τῆς μήνιγγ
ὡσαύτως χρὴ πυκινά τε σκοπέεσθαι τῇ μήλῃ τὴν περίοδ
τοῦ πρίονος καὶ ἐς τὸ παχύτατον αἰεὶ τοῦ ὀστέου τὸν πρίο
ἐνστηρίζειν καὶ ἀνακινέων βούλεσθαι ἀφελέειν τὸ ὀστέο
Ἢν δὲ τρυπάνῳ χρῇ, πρὸς δὴ τὴν μήνιγγα μὴ ἀφικνέεσθ
ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἴημα τρυπᾷς, ἀλλ' ἐπιλιπεῖν τ
ὀστέου λεπτὸν, ὥσπερ καὶ ἐν τῇ πρίσι γέγραπται.

22 Φεβρουαρίου 1864.

D^r. C. H. Th. Reinhold.

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

1. « . . . ὡς γράμμα τὸ + γράφεται· . . . — περὶ τούτου γὰρ τοῦ σχήματος, οὐ μὴν περὶ τοῦ X, προδήλως νοητέον τὸ Γαληνοῦ· » . . . πρὸς *ὀρθὰς* γωνίας ἀλλήλας τέμνουσιν εἰς ὁμοιότητα τῷ + (— μὴ X —) γράμματι.

2. . . . ἐπὶ τὸ μαλθακώτερον καὶ κοιλότερον . . .

— . . . · ἡ δὲ διπλόη, . . .

. . . [*πυκνότητι καὶ*] κοιλότητι *οὕτως* ἔχει, π. δὲ καὶ λεπτότητι *ὧδε*.

3. . . . Καὶ *δῆλον* ὅτι οὕτω ταῦτα ἔχει, *ἐκ τῶν* τρωσίων· τῶν τε βελέων ἴσων τε ἐόντων κ. μ. καὶ ἐλασσόνων καὶ ἐξ ἴσων τε ἐόντων τῶν τρωμάτων καὶ ἡσσόνων τὸ ὀστέον . . .

. . . ἤ που ἁ. τῆς κεφαλῆς, καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, . . .

4. . . . τοῦ ὀστέου πᾶν τὸ . . . . . *ταύτῃ* τὸ ὀ.

. . . Καὶ *δῆλον ὅτι οὕτως ἔχει*, *ἐκ* τῶν τρωσίων· ὑπό τε τῶν β. ἴσων ἐόντων καὶ μεζόνων καὶ *ὑφ' ὁμοίων τε ἐόντων τῶν τρωμάτων καὶ μεζόνων* ταύτῃ τῆς κεφαλῆς . . . φλᾶται, καὶ *ὁμοίως τιτρωσκόμενος καὶ μᾶλλον*, ἣν . . .

5. . . . , ἐν ἧσιν ἂν καὶ *προνοέειν* ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ· . . .

7. [*Πεφλασμένου δέ*] *τε καὶ* ἐῤῥωγότος . . .

8. . . . Ἐν δὲ *τῶν τρόπων* ἑκάστῳ . . .

. . . · καὶ *δι' αὐτὸ* καὶ βαθύτεραί τε *ἐς* τὸ κάτω καὶ

ἧσσον βαθέαι, καὶ στενώτεραί τε καὶ ἧσσον στεναὶ, καὶ εὐρύτεραί τε καὶ πάνυ εὐρέαι· ἢ διακεκόφαται· διακοπὴ δ', . . .

. . . Αἱ δὲ ἕδραι τῶν ϐ. τῶν ὀ. καὶ κουφοτέρων αὗται ἐπὶ σφῶν αὐτέων γιγνόμεναι, ʽαὗται δὲ γίγνονται . . . ὄπισθεν· ,βάπτουσαι ἐν τῷ ὀστέῳ, ἄτερ ῥωγμῆς . . . ἢ ἔσω ἐσφλάσιος, δῆλον ὅτι ἐκ τουτέων . . .

* · καὶ ἡ § 3, L. = § 5, E. ἐνταῦθα τέτακταί μοι, καὶ τὰ λοιπὰ, ἃ διεῤῥιμμένα ἐτύγχανε, διευθέτηται.

9. . . . , πάντων δὲ μάλιστα ἢν τύχῃ τὸ ἕλκος ἐν τῷ βρέγματι γενόμενον . . .

* ἔστι δὲ αὕτη ἡ ἐμοὶ § 9 μέρος τῆς § 3, L. = § 5, E.

12. . . . , εἰ διακεκόφαται ὑπὸ τοῦ ϐ. ἢ ἐσωσμέναι εἰσὶν ἐς τὸ τρῶμα· . . . [1] ἢ, ἔσω ἐσωσμέναι· = ἔσω ἐσφλᾷ, § 14.

. . . τῆς σαρκὸς, ἔχειν τε σίνος . . .

. . . , τὸ ὀστέον τ. ὀ. ἐὸν ψιλόν· . . .

. . . , καὶ ἢν ἐσφλασθῇ . . .

13. . . . , μάλιστα, ἢν ἕτερος ὑφ' ἑτέρου τρωθῇ, ὁκόταν ἐξ ὑψηλοτέρου γίγνηται ἡ βολὴ ἢ ἡ πληγὴ, ὁκοτέρη ἂν ᾖ, μᾶλλον ἢ ὁκόταν ἐξ ἰσοπέδου τοῦ χωρίου, καὶ ἢν περικρατέῃ τῇ χειρὶ τὸ βέλος, ἤν τε βάλλῃ ἤν τε τύπτῃ, καὶ ἰσχυρότερος ἐὼν ἀσθενέστερον τιτρώσκῃ ἐπίτηδες τρῶσαι βουλόμενος μᾶλλον ἢ ὁκόταν ἀέκων. Ὁκόσοι δὲ . . .

. . . ἀπὸ ὑψηλοτάτου ἐσπεσὸν . . .

. . . καὶ ἥκιστα κοῦφόν τε καὶ ὀξὺ καὶ μαλθακὸν, . . .

. . . · ἐνίοτε γάρ . . .

14. . . . · καὶ τὰ ἕλκεα, ἃ γίγνεται . . .

. . . οὐδ' ἐκ τῆς φ. τῆς ἑωυτοῦ ἔσω ἐσφλᾷ.

15. Ἀλλὰ χρὴ πρὸς τῇ ὄψι ὅ,τι ἄν σοι φαίνηται . . .
. . . ταῦτ' ἐστὶ σημήϊα καὶ ἦν . . .

16. . . . ˙ ξυγκλέπτει τε γὰρ αὐτὴν ἡ ῥαφή . . .
. . . γενομένης ἐν τῇ ῥαφῇ, ἐπειδὰν ῥαγῇ, καὶ διαχαλάσῃ, οὔτε . . .

. . . τὸ μέγεθος καὶ πολλὸν ἐλασσόνων καὶ ὁμοίως τε τρωθεὶς καὶ πουλὺ ἧσσον . . .

17. . . . οὐδενὶ, πλὴν οἴνῳ, ἀλλ' ὡς ἥκιστα˙ . . .

* Νόθα ἂν εἴη καὶ τὰ « ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα καταπλάσιος καὶ ἐπιδέσιος μᾶλλον κέχρηται ἤ κου ἄλλοθι τῆς κεφαλῆς τῆς ἄλλης. » — ἔμπληκτον γὰρ τοῦτο τὸ μᾶλλον, ἅτε τῇ καθόλου ἀπαγορεύσει ἀντιβαῖνον.

18. . . . μὴ ᾖ ἱκανά . . .

20. . . . ἡ προσκειμένη πρὸς τῷ ὀστέῳ πέφυκεν˙ . . .

21. . . . καὶ σίνασθαί τι, . . . ˙ ἤ, . . . σίνος τι ἐργάσασθαι, . . .

. . . ˙ ἐξελέγχει γὰρ ἡ ξύσις μάλ' αὐτίκα, ἢν μὴ . . . αἱ πάθαι αἱ ἐν τῷ ὀστέου ἐοῦσαι τοῦ βέλεος.

. . . μὴ, ἃ πολλάκις τῇ ἕδρῃ προσγεγένηται, ῥῆξις καὶ φλάσις, ἡ μούνη φ., ἔπειτα . . .

22. . . . , καὶ, οὗ δεῖ, τὰς τρεῖς . . .

. . . μηδὲ ἄλλως ὁρέων διεσδύνης ἐπὶ τὸ ὀστέον, τηκτόν τι μελάντατον [1] δεύσας τῷ μέλανι φαρμάκῳ, [2] τῷ τηκομένῳ στεῖλαι τὸ ἕλκος, ὑποτείνας ὀθόνιον ἐλαίῳ τέγξας˙ εἶτα καταπλάσας τῇ μάζῃ, ἐπιδῆσαι˙ τῇ δ' ὑστεραίῃ ἀπολύσας, ἐκκαθήρας τὸ ἕλκος, ἐπιξῦσαι.

[1] Γαλην. XIII, 629. [2] Ἱπποκρ. VI, 412, § 12, N. 4.

. . . ἀφήκει ἐς πρῖσιν ἤδη ἡ τοιαύτη . . .

δ'.

23. . . . καὶ φλεγμαίνουσά τε καὶ ὀδυνωμένη περισφίγγηται· πυρετώδης γὰρ γίγνεται καὶ πολλοῦ φ. πλέων· καὶ δὴ . . . . . , καὶ ἐκ τούτων τῶν εἰδέων ὑπόπυον γ.

24. . . . , ἀφίσταται ἔξαιμον γενόμενον· . . .

. . . · τὸ γὰρ τάχιστα ἀποξηρανθέν, *καταπωστρακωμένον* τοῦτο μάλιστα . . . , αὐτὸ ἔξαιμόν τε γενόμενον καὶ ξηρὸν μάλα.

25. . . . , πρὶν ἢ αὐτόματα ἐπανίῃ (* *οἴκοθεν χαλάσαντα*[1])· ἐπανέρχεται δέ . . .

[1]) οὐ γὰρ ἀπεικός, γλώσσημά τι εἶναι τοῦ *αὐτόματα* τοῦτο τὸ *οἴκοθεν χαλάσαντα*, ἤ, *εἰκότως πρῶτον χαλάσαντα*.

. . . καθαρὸν ποιήσει. *Ἔτι καί* . . .

26. . . . οὔτε *ξηρὰ* [1] οὔτε πυκνὰ . . .

[1] οὐ γὰρ πάνυ ἀντιστοιχεῖ τῷ *ἐναιμότερα* τὸ *σκληρά*.

. . . καὶ μᾶλλον ὑποπυΐσκεται . . . . καὶ ἐν ἐλάσσονι χρόνῳ· . . .

27. . . . , φυλασσόμενον *τὴν μήνιγγα* [1] · . . .

[1] τὸ δὲ *ἐπ' ὀλίγον*, μῶν γέγονεν ἔκ τινος προσγράμματος, *μηλίγγιον*;

28. . . . *ἀγνοήσας* ἁμάρτῃ . . .

. . . καὶ γίγνεται περκνὸν *μελανέον*, τελευταῖον δέ, ὕπωχρον γενόμενον, ἔκλευκον.

. . . Ὁμοίως δὲ τὰ σ. ταῦτα *ξυμβαίνει* [1] . . .

[1] πάντως γοῦν ἐχρῆν Ὁμοῖα . . . σημαίνει . . . οὐ μὴν ἀλλά, τὰ αὐτὰ σημαίνει, οὐχ ὁμοῖα.

29. . . . ἐν κεφαλῇ ἀνθρώπῳ, ... , οἴδημα ἐπιγένηται . . . . , καί, εἴ τις . . . , ὀδυνᾶται, καὶ π. ἐπιλαμβάνῃ . . . , τὸ δὲ ἕ. ά. τά τε ἀπὸ τῆς σ. καλῶς

ἔχῃ ἰδέσθαι . . . , καὶ τὰ π. τὸ ἕλκος ἔχῃ καλῶς, . . . , καὶ ἄλλην ά. μηδεμίαν ἔχῃ . . .

30. . . . κακοπαθέουσαν· *πολλάκις γὰρ διεμύδησε καὶ τελευτῶσα ἐσάπη* [1].

[1] ὅρα γὰρ § 23, ἐπὶ τέλει· πρῶτον δηλονότι μυδᾷ, εἶτα σήπεται.

31. . . . ὑστερίζον τῆς ἰήσιος, . . .

ΕΠΙΣΤΡΟΦΗ. — ! — 1, Ὀβελ. ί, ἐν τῇσιν *ἀποστάσισι*· — ὥσπερ Ἀρχιγένει Γαληνὸς τὸ ναρκῶδες ἄλγημα, οὕτως ἐμοὶ ὁ Κ. Ermerins μέμφεται τὴν ἐν ἀφισταμένοις τοῖς σώμασι νάρκην· — παρῆν γε μὴν λῦσαι τὸ αἴνιγμα γράψαντι . . . οἷα ἐν *τοῖσιν ἀποψυγεῖσι* [1] γ.

[1] ᾧ, ἅτε ἀμφιλόγῳ, προσπαρεγράφη ποτὲ, ὡς δῆθεν συνώνυμον, τὸ ἀ π ο σ φ α γ ε ῖ σ ι· τοῦτο οὖν εἰς τὸ ἔδαφος μετενεχθὲν ἐκράτησε τῆς γνησίας γραφῆς, τῆς «*ἀποψυγεῖσι*» — Citius emergit veritas ex errore, quam ex confusione.

Ἐν Μουνυχίᾳ, ἱσταμένου μηνὸς Μουνυχιῶνος πέμπτῃ, **1864**.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.



Κομιδῇ

CAROLI H. TH. REINHOLD.

3.

Περὶ ἀέρων, ὑδάτων, τόπων.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 226.)



1864.

ΙΠΠΟΚΡΑΤΟΥΣ

περὶ ἀέρων καὶ ὑδάτων καὶ τόπων.

1. Ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητέειν, τάδε χρὴ ποιέειν· πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος ὅ,τι δύναται ἀπεργάζεσθαι ἑκάστη· οὐ γὰρ ἐοίκασιν οὐδὲν, ἀλλὰ πουλὺ διαφέρουσιν αὐταί τε ἑωυτέων καὶ ἐν τῇσι μεταβολῇσιν· ἔπειτα δὲ τὰ πνεύματα τὰ θερμά τε καὶ τὰ ψυχρὰ, μάλιστα μὲν τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν, ἔπειτα δὲ καὶ τὰ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. Δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας· ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσι καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πουλὺ ἑκάστου. Ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτῆς, ὅκως κέεται καὶ πρὸς τὰ πνεύματα καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου· οὐ γὰρ τωὐτὸ δύναται ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον, οὐδ' ἥτις πρὸς ἥλιον ἀνίσχοντα, οὐδ' ἥτις πρὸς δύνοντα. Ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα· καὶ τῶν ὑδάτων πέρι ὡς ἔχουσι, καὶ πότερον εὐώδεσι χρέονται καὶ μαλακοῖσιν, ἢ σκληροῖσι καὶ ἁλυκοῖσι καὶ ἀτεράμνοισι, καὶ εἴτε ἐκ μετεώρων ῥέει, εἴτε ἐκ πετρωδέων· καὶ τὴν γῆν, πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρὴ, εἴτε μετέωρος καὶ ψυχρή· καὶ τὴν δίαιταν τῶν

ἀνθρώπων, ὁκοίῃ ἥδονται, πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι καὶ εὐδίαιτοι καὶ ἄποτοι.

2. Καὶ ἀπὸ τούτων χρὴ ἐνθυμέεσθαι ἕκαστα. Εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς, μάλιστα μὲν πάντα, εἰ δὲ μὴ τά γε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ᾖ, οὔτε νοσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν· ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων, μηδὲ διαμαρτάνειν· ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μή τις ταῦτα πρότερον διαφροντίσῃ. Περὶ ἑκάστου δὲ χρόνου προσιόντος, καὶ τοῦ ἐνιαυτοῦ, λέγοι ἂν ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν ἢ θέρεος ἢ χειμῶνος, ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι ἐκ μεταβολῆς τῆς διαίτης. Εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς καὶ τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τούτων γίγνεται, προειδείη ἂν τὸ ἔτος, ὁκοῖόν τι μέλλει γίγνεσθαι. Οὕτως ἄν τις ἐρευνώμενος καὶ προγιγνώσκων τοὺς καιροὺς μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου καὶ τὰ πλεῖστα τυγχάνοι τῆς ὑγιείης καὶ κατ' ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. Εἰ δὲ δοκέοι τις ταῦτα μετεωρολόγα εἶναι, μετασταίη ἂν τῆς γνώμης, εἰ μάθοι ὅτι οὐκ ἐλάχιστον μέρος ξυμβάλλεται ἀστρονομίη ἐς ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον· ἅμα γὰρ τῇσιν ὥρῃσι καὶ αἱ κοιλίαι μεταβάλλουσι τοῖσιν ἀνθρώποισιν. Ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπέειν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως.

3. Ἥ τις μὲν πόλις πρὸς τὰ πνεύματα κέεται τὰ θερμά· ταῦτα δ' ἐστὶ μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν χειμερινῶν· καὶ αὐτῇ ταῦτα τὰ πνεύ-

ματά ἐστι ξύννομα, τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη· ἐν ταύτῃ τῇ πόλι ἐστὶ τά τε ὕδατα τὰ πολλὰ ὕφαλα καὶ μετέωρα, ὥστε τοῦ μὲν θέρεος θερμὰ εἶναι, τοῦ δὲ χειμῶνος ψυχρά· τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν ἀνάγκη καὶ φλεγματώδεας, τάς τε κοιλίας αὐτῶν πυκνὰ ἐκταράσσεσθαι, ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταῤῥέοντος· τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτῶν ἀτονώτερα εἶναι· ἐσθίειν δὲ οὐκ ἀγαθοὺς εἶναι, οὐδὲ πίνειν· ὁκόσοι μὲν γὰρ κεφαλὰς ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ πίνειν· ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει· νοσήματά τε τάδε ἐπιχώρια εἶναι· πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι· ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νούσου καὶ οὐ φύσι, ἐκτιτρώσκεσθαί τε πυκνά· τοῖσι δὲ παιδίοισιν ἐπιπίπτειν σπασμοὺς καὶ ἄσθματα, ἃ νομίζουσι τὸ παιδῆϊον ποιέειν καὶ ἱερὴν νοῦσον εἶναι· τοῖσι δὲ ἀνδράσι δυσεντερίας καὶ διαῤῥοίας καὶ ἠπιάλους καὶ πυρετοὺς πολυχρονίους χειμερινοὺς καὶ ἐπινυκτίδας πολλὰς καὶ αἱμοῤῥοΐδας ἐν τῇ ἕδρῃ. Πλευρίτιδες δὲ καὶ περιπνευμονίαι καὶ καῦσοι καὶ ὁκόσα ὀξέα νοσήματα νομίζονται οὐκ ἐγγίγνονται πολλά· οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας ἰσχύειν. Ὀφθαλμίαι τε ἐγγίγνονται ὑγραὶ καὶ οὐ χαλεπαὶ, ὀλιγοχρόνιοι, ἢν μή τι κατάσχῃ νούσημα πάγκοινον ἐκ μεταβολῆς. Καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλωσι, κατάῤῥοοι ἐπιγενόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν ἢ ῥιγώσωσιν. Ταῦτα μὲν τὰ νοσήματα αὐτοῖσιν ἐπιχώριά ἐστι· χωρὶς δὲ, ἤν τι πάγκοινον κατάσχῃ νούσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τούτου μετέχουσιν.

4. Ὁκόσαι δ' ἀντικέαται τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ, μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστι, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων σκέπη, ὧδε ἔχει περὶ τῶν πολίων τουτέων. Πρῶτον μὲν τὰ ὕδατα ταύτῃσι σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος ἀγλευκέα τε· τοὺς δὲ ἀνθρώπους ἐντόνους τε καὶ σκελιφροὺς ἀνάγκη εἶναι, τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. Τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς· ῥηγματίαι τέ εἰσιν ἐπὶ τὸ πλῆθος. Νοσεύματα δὲ αὐτοῖσιν ἐπιδημέει τάδε· πλευρίτιδές τε πολλαὶ αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι· ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν κοιλίαι σκληραὶ ἔωσιν· ἔμπυοί τε πολλοὶ γίγνονται ἀπὸ πάσης προφάσιος· τούτου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης· ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι καὶ τοῦ ὕδατος ἡ ψυχρότης. Ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι καὶ οὐ πολυπότας· ὀφθαλμίας τε γίγνεσθαι μὲν διὰ χρόνου, γίγνεσθαι δὲ σκληρὰς καὶ ἰσχυράς, καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα· αἱμοῤῥοίας δὲ ἐκ τῶν ῥινῶν τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίγνεσθαι ἰσχυρὰς τοῦ θέρεος· τά τε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. Μακροβίους δὲ τοὺς ἀνθρώπους τούτους μᾶλλον εἰκὸς εἶναι ἑτέρων· τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίγνεσθαι, οὐδὲ ἀγριοῦσθαι· τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα. Τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νοσήματα ἐπιχώριά ἐστι· καὶ χωρίς, ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων. Τῇσι δὲ γυναιξί· πρῶτον μὲν στιφραὶ πολλαὶ γίγνονται διὰ

τὰ ὕδατα, ἐόντα σκληρά τε καὶ ἀτέραμνα καὶ ψυχρά· αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίγνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί· ἔπειτα τίκτουσι χαλεπῶς· ἐκτιτρώσκουσι δὲ οὐ σφόδρα. Ὁκόταν δὲ τέκωσι, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί· τὸ γὰρ γάλα ἀποσβέννυται ὑπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης· φθίσιές τε γίγνονται συχναὶ ἀπὸ τῶν τοκετῶν· ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. Τοῖσι δὲ παιδίοισι ὕδρωπες ἐγγίγνονται ἐν τοῖσιν ὄρχισιν, ἕως σμικρὰ ᾖ· ἔπειτα, προϊούσης τῆς ἡλικίης, ἀφανίζονται· ἡβῶσί τε ὀψὲ ἐν ταύτῃ τῇ πόλι. Περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν καὶ τῶν πολίων τουτέων ὧδε ἔχει, ὡς προείρηται.

5. Ὁκόσαι δὲ κέαται πρὸς τὰ πνεύματα τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου καὶ τῶν χειμερινῶν, καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων.

Ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέαται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. Πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν· ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστι, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδεα καὶ μαλακὰ καὶ ἐρατεινὰ ἐγγίγνεσθαι ἐν ταύτῃ τῇ πόλι· ὁ γὰρ ἥλιος τὸν ἠέρα κωλύει ἀνίσχων καὶ καταλάμπων. Τά τε εἴδεα τῶν ἀνθρώπων εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ. Λαμπρόφωνοί τε οἱ ἄνθρωποι καὶ ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶ τῶν πρὸς βορέην, ᾗπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. Ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ·

4. Ὁκόσαι δ' ἀντικέαται τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ, μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστι, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων σκέπη, ὧδε ἔχει περὶ τῶν πολίων τουτέων. Πρῶτον μὲν τὰ ὕδατα ταύτῃσι σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος ἀγλευκέα τε· τοὺς δὲ ἀνθρώπους ἐντόνους τε καὶ σκελιφροὺς ἀνάγκη εἶναι, τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. Τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς· ῥηγματίαι τέ εἰσιν ἐπὶ τὸ πλῆθος. Νοσεύματα δὲ αὐτοῖσιν ἐπιδημέει τάδε· πλευρίτιδές τε πολλαὶ αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι· ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν κοιλίαι σκληραὶ ἔωσιν· ἔμπυοί τε πολλοὶ γίγνονται ἀπὸ πάσης προφάσιος· τούτου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης· ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι καὶ τοῦ ὕδατος ἡ ψυχρότης. Ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι καὶ οὐ πολυπότας· ὀφθαλμίας τε γίγνεσθαι μὲν διὰ χρόνου, γίγνεσθαι δὲ σκληρὰς καὶ ἰσχυράς, καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα· αἱμοῤῥοίας δὲ ἐκ τῶν ῥινῶν τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίγνεσθαι ἰσχυρὰς τοῦ θέρεος· τά τε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. Μακροβίους δὲ τοὺς ἀνθρώπους τούτους μᾶλλον εἰκὸς εἶναι ἑτέρων· τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίγνεσθαι, οὐδὲ ἀγριοῦσθαι· τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα. Τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νοσήματα ἐπιχώριά ἐστι· καὶ χωρίς, ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων. Τῇσι δὲ γυναιξί· πρῶτον μὲν στιφραὶ πολλαὶ γίγνονται διὰ

τὰ ὕδατα, ἐόντα σκληρά τε καὶ ἀτέραμνα καὶ ψυχρά· αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίγνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί· ἔπειτα τίκτουσι χαλεπῶς· ἐκτιτρώσκουσι δὲ οὐ σφόδρα. Ὁκόταν δὲ τέκωσι, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί· τὸ γὰρ γάλα ἀποσβέννυται ὑπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης· φθίσιές τε γίγνονται συχναὶ ἀπὸ τῶν τοκετῶν· ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. Τοῖσι δὲ παιδίοισι ὕδρωπες ἐγγίγνονται ἐν τοῖσιν ὄρχισιν, ἕως σμικρὰ ᾖ· ἔπειτα, προϊούσης τῆς ἡλικίης, ἀφανίζονται· ἡβῶσί τε ὀψὲ ἐν ταύτῃ τῇ πόλι. Περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν καὶ τῶν πολίων τουτέων ὧδε ἔχει, ὡς προείρηται.

5. Ὁκόσαι δὲ κέαται πρὸς τὰ πνεύματα τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου καὶ τῶν χειμερινῶν, καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων.

Ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέαται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. Πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν· ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστι, ταῦτα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδεα καὶ μαλακὰ καὶ ἐρατεινὰ ἐγγίγνεσθαι ἐν ταύτῃ τῇ πόλι· ὁ γὰρ ἥλιος τὸν ἠέρα κωλύει ἀνίσχων καὶ καταλάμπων. Τά τε εἴδεα τῶν ἀνθρώπων εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ. Λαμπρόφωνοί τε οἱ ἄνθρωποι καὶ ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶ τῶν πρὸς βορέην, ἧπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. Ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ·

τά τε νοσεύματα ἐλάσσω μὲν γίγνεται καὶ ἀσθενέστερα, ἔοικε δὲ τοῖσιν ἐν τῇσι πόλισι γιγνομένοισι νοσεύμασι τῇσι πρὸς τὰ πνεύματα τὰ θερμὰ ἐστραμμένῃσιν. Αἵ τε γυναῖκες αὐτόθι ἀρικύμονές εἰσι σφόδρα καὶ τίκτουσι ῥηϊδίως. Περὶ μὲν τουτέων ὧδε ἔχει.

6. Ὁκόσαι δὲ πρὸς τὰς δύσιας κέαται καὶ αὐτῇσίν ἐστι σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων τά τε θερμὰ πνεύματα παραῤῥέει καὶ τὰ ψυχρὰ τὰ ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην. Πρῶτον μὲν γὰρ τὰ ὕδατα οὐ λαμπρά· αἴτιον δὲ ὅτι ἠὴρ τὸ ἑωθινὸν κατέχει ὡς ἐπὶ τὸ πουλὺ, ὅστις τῷ ὕδατι ἐγκαταμιγνύμενος τὸ λαμπρὸν ἀφανίζει· ὁ γὰρ ἥλιος πρὶν ἄνω ἀρθῆναι οὐκ ἐπιλάμπει. Τοῦ δὲ θέρεος ἕωθεν μὲν αὖραι ψυχραὶ πνέουσι καὶ δρόσοι πίπτουσι· τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύνων ἔσω μάλιστα διέψει τοὺς ἀνθρώπους· δι' ὃ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀῤῥώστους· τῶ τε νοσευμάτων πάντων μετέχειν μέρος τῶν προειρημένων· οὐδὲν αὐτοῖσιν ἀποκέκριται· βαρυφώνους τε εἰκὸς εἶναι καὶ βραγχώδεας διὰ τὸν ἠέρα, ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πουλὺ αὐτόθι γίγνεται καὶ νοσώδης· οὔτε γὰρ ὑπὸ τῶν βορείων ἐκκρίνεται σφόδρα· οὐ γὰρ προσέχουσι τὰ πνεύματα· ἅ τε προσέχουσιν αὐτοῖσι καὶ προσκέαται ὑδατεινότατά ἐστιν· ἐπεὶ τοιαῦτα τὰ ἀπὸ τῆς ἑσπέρης πνεύματα· ἔοικέ τε μετοπώρῳ μάλιστα ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τὰς τῆς ἡμέρης μεταβολὰς, ὅτι πουλὺ τὸ μέσον γίγνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὴν δείλην. Περὶ μὲν πνευμάτων, ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἃ ἀνεπιτήδεια, ὧδε ἔχει.

7. Περὶ δὲ τῶν λοιπῶν ὑδάτων βούλομαι διηγήσασθαι,

ἅ τέ ἐστι νοσώδεα καὶ ἃ ὑγιεινότατα, καὶ ὁκόσα ἀφ' ὕδατος κακὰ εἰκὸς γίγνεσθαι καὶ ὅσα ἀγαθά· πλεῖστον γὰρ μέρος ξυμβάλλεται ἐς τὴν ὑγίειαν. Ὁκόσα μὲν οὖν ἐστιν ἑλώδεα καὶ στάσιμα καὶ λιμναῖα, ταῦτα ἀνάγκη τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα καὶ ὀδμὴν ἔχοντα, ἅτε οὐκ ἀπόῤῥυτα ἐόντα· ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος ἐπιτρεφομένου αἰεὶ νέου τοῦ τε ἡλίου καίοντος, ἀνάγκη ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα· τοῦ δὲ χειμῶνος παγετώδεά τε καὶ ψυχρὰ καὶ τεθολωμένα ὑπό τε χιόνος καὶ παγετῶν, ὥστε φλεγματωδέστατα εἶναι καὶ βραγχωδέστατα· τοῖσι δὲ πίνουσι σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι καὶ μεμυωμένους καὶ τὰς γαστέρας σκληράς τε καὶ λεπτὰς καὶ θερμὰς, τοὺς δὲ ὤμους καὶ τὰς κληῖδας καὶ τὸ πρόσωπον καταλελεπτύνθαι· ἐς γὰρ τὸν σπλῆνα αἱ σάρκες ξυντήκονται, διότι ἰσχνοί εἰσιν· ἐδωδούς τε εἶναι τοὺς τοιούτους καὶ διψηρούς· τάς τε κοιλίας ξηροτάτας τε καὶ θερμοτάτας καὶ τὰς ἄνω καὶ τὰς κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δέεσθαι. Τοῦτο μὲν τὸ νούσημα αὐτοῖσι ξύντροφόν ἐστι καὶ θέρεος καὶ χειμῶνος. Πρὸς δὲ τούτοισιν ὕδρωπες πλεῖστοί τε γίγνονται καὶ θανατωδέστατοι· τοῦ γὰρ θέρεος δυσεντερίαι τε πολλαὶ ἐμπίπτουσι καὶ διάῤῥοιαι καὶ πυρετοὶ τεταρταῖοι πολυχρόνιοι· ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα τὰς τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι καὶ ἀποκτείνει. Ταῦτα μὲν αὐτοῖσι τοῦ θέρεος γίγνεται· τοῦ δὲ χειμῶνος τοῖσι νεωτέροισι μὲν περιπνευμονίαι τε καὶ μανιώδεα νοσεύματα, τοῖσι δὲ πρεσβυτέροισι καῦσοι διὰ τὴν τῆς κοιλίης σκληρότητα. Τῇσι δὲ γυναιξὶν οἰδήματα ἐγγίγνεται καὶ φλέγμα λευκόν· καὶ ἐν γαστρὶ ἴσχουσι μόγις, καὶ τίκτουσι χαλεπῶς· μεγάλα τε

τὰ ἔμβρυα καὶ οἰδέοντα· ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίγνεται· ἥ τε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίγνεται χρηστὴ μετὰ τὸν τόκον. Τοῖσι δὲ παιδίοισι κῆλαι ἐπιγίγνονται· μάλιστα δὲ τοῖσιν ἀνδράσι κιρσοὶ καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν· ὥστε τὰς τοιαύτας φύσιας οὐχ οἷόν τε μακροβίους εἶναι, ἀλλὰ προγηράσκειν τοῦ χρόνου τοῦ ἱκνευμένου. Ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρὶ, καὶ ὁκόταν ὁ τόκος ᾖ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός.

8. Τὰ μὲν τοιαῦτα ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα· δεύτερα δὲ ὅσων εἰσὶν αἱ πηγαὶ ἐκ πετρέων· σκληρὰ γὰρ ἀνάγκη εἶναι· ἢ ἐκ γῆς ὅκου θερμὰ ὕδατά ἐστι, ἢ σίδηρος γίγνεται ἢ χαλκὸς ἢ ἄργυρος ἢ χρυσὸς ἢ θεῖον ἢ στυπτηρίη ἢ ἄσφαλτον ἢ νίτρον· ταῦτα γὰρ πάντα ὑπὸ βίης γίγνονται τοῦ θερμοῦ. Οὐ τοίνυν οἷόν τε ἐκ τοιαύτης γῆς ὕδατα ἀγαθὰ γίγνεσθαι, ἀλλὰ σκληρά τε καὶ καυσώδεα, διουρέεσθαί τε χαλεπὰ καὶ πρὸς τὴν διαχώρησιν ἐναντία εἶναι. Ἄριστα δὲ ὁκόσα ἐκ μετεώρων χωρίων ῥέει καὶ λόφων γεηρῶν· ταῦτά τε γάρ ἐστι γλυκέα καὶ λευκὰ καὶ τὸν οἶνον φέρειν ὀλίγον οἷά τέ ἐστι, τοῦ τε χειμῶνος θερμὰ γίγνεται, τοῦ δὲ θέρεος ψυχρά· οὕτω γὰρ ἂν εἴη ἐκ βαθυτάτων παγέων. Μάλιστα δὲ ἐπαινέειν ὧν τὰ ῥεύματα πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου ἐῤῥώγασι καὶ μᾶλλον πρὸς τὰς θερινάς· ἀνάγκη γὰρ λαμπρότερα εἶναι καὶ εὐώδεα καὶ κοῦφα. Ὁκόσα δέ ἐστιν ἁλυκὰ καὶ ἀτέραμνα καὶ σκληρὰ, ταῦτα τὸ μὲν ἐπίπαν πίνειν οὐκ ἀγαθά· εἰσὶ δ' ἔνιαι φύσιες καὶ νοσεύματα, ἐς ἃ ἐπιτήδειά ἐστι τὰ τοιαῦτα ὕδατα πινόμενα, περὶ ὧν φράσω αὐτίκα. Ἔχει δὲ καὶ περὶ τούτων ὧδε· ὁκόσων μὲν αἱ πηγαὶ πρὸς τὰς ἀνατολὰς ἔχουσι, ταῦτα μὲν ἄριστα αὐτὰ

ἑωυτῶν ἐστί· δεύτερα δὲ τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων ἐστὶ τοῦ ἡλίου καὶ δυσμέων, καὶ μᾶλλον τὰ πρὸς τὰς ἀνατολάς· τρίτα δὲ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν καὶ τῶν χειμερινῶν· φαυλότατα δὲ τὰ πρὸς τὸν νότον καὶ τὰ μεταξὺ χειμερινῆς ἀνατολῆς καὶ δύσιος, καὶ ταῦτα ἐν τοῖσι μὲν νοτίοισι πάνυ πονηρὰ, τοῖσι δὲ βορείοισιν ἀμείνω.

9. Τούτοισι δὲ πρέπει ὧδε χρέεσθαι· ὅστις μὲν ὑγιαίνει τε καὶ ἔῤῥωται, μηδὲν διακρίνειν, ἀλλὰ πίνειν αἰεὶ τὸ παρεόν· ὅστις δὲ νούσου εἵνεκα βούλεται τὸ ἐπιτηδειότατον πίνειν, ὧδε ἂν ποιέων μάλιστα τυγχάνοι τῆς ὑγιείης. Ὁκόσων μὲν αἱ κοιλίαι σκληραί εἰσι καὶ ξυγκαίειν ἀγαθαὶ ἃ ἔνι, τούτοισι μὲν τὰ γλυκύτατα ξυμφέρει καὶ κουφότατα καὶ λαμπρότατα· ὁκόσων δὲ μαλθακαὶ αἱ νηδύες καὶ ὑγραί εἰσι καὶ φλεγματώδεες, τούτοισι δὲ τὰ σκληρότατα καὶ ἀτεραμνότατα καὶ τὰ ὕφαλα· οὕτω γὰρ ἂν ξηραίνοιντο μάλιστα· ὁκόσα γὰρ ὕδατά ἐστιν ἕψειν ἄριστα καὶ τακερώτατα, ταῦτα καὶ τὴν κοιλίην διαλύειν εἰκὸς μάλιστα καὶ διατήκειν· ὁκόσα δέ ἐστιν ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἕψειν ἀγαθὰ, ταῦτα δὲ ξυνίστησι μᾶλλον τὰς κοιλίας καὶ ξηραίνει. Ἀλλὰ γὰρ ἐψευσμένα ἴσασιν οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ὑδάτων πέρι, δι' ἀπειρίην καὶ ὅτι νομίζεται διαχωρητικὰ εἶναι τὰ ἁλυκά· τὰ δὲ ἐναντιώτατά ἐστι πρὸς τὴν διαχώρησιν· ἀτέραμνα γὰρ καὶ ἀνέψανα, ὥστε καὶ τὴν κοιλίην ὑπ' αὐτῶν στύφεσθαι μᾶλλον ἢ τήκεσθαι. Καὶ περὶ μὲν τῶν πηγαίων ὑδάτων ὧδε ἔχει.

10. Περὶ δὲ τῶν ὀμβρίων καὶ ὁκόσα ἀπὸ χιόνος φράσω ὅκως ἔχει. Τὰ μὲν οὖν ὄμβρια κουφότατα καὶ γλυκύτατά ἐστι καὶ λεπτότατα καὶ λαμπρότατα· τήν τε γὰρ ἀρχὴν ὁ ἥλιος ἀνάγει καὶ ἀναρπάζει τοῦ ὕδατος τό τε λεπτότατον καὶ κουφότατον·

δῆλον δὲ οἱ ἅλες ποιέουσι· τὸ μὲν γὰρ ἁλμυρὸν λείπεται αὐτοῦ ὑπὸ πάχεος καὶ βάρεος καὶ γίγνεται ἅλες, τὸ δὲ λεπτότατον ὁ ἥλιος ἀναρπάζει ὑπὸ κουφότητος. Ἀνάγει δὲ τὸ τοιοῦτο οὐκ ἀπὸ τῶν ὑδάτων μοῦνον τῶν λιμναίων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης καὶ ἐξ ἁπάντων ἐν ὁκόσοισιν ὑγρόν τι ἔνεστι· ἔνεστι δὲ ἐν παντὶ χρήματι· καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων ἀνάγει τὸ λεπτότατον τῆς ἰκμάδος καὶ κουφότατον. Τεκμήριον δὲ μέγιστον· ὅταν ἄνθρωπος ἐν ἡλίῳ βαδίζῃ ἢ καθίζῃ ἱμάτιον ἔχων, ὁκόσα μὲν τοῦ χρωτὸς ὁ ἥλιος ἐφορᾷ, οὐχ ἱδρώῃ ἄν· ὁ γὰρ ἥλιος ἀναρπάζει τὸ προφαινόμενον τοῦ ἱδρῶτος· ὁκόσα δὲ ὑπὸ τοῦ ἱματίου ἐσκέπασται ἢ ὑπ' ἄλλου του, ἱδροῖ· ἐξάγεται μὲν γὰρ ὑπὸ τοῦ ἡλίου καὶ βιάζεται, σώζεται δὲ ὑπὸ τῆς σκέπης, ὥστε μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλίου· ὁκόταν δὲ ἐς σκιὴν ἀφίκηται, ἅπαν τὸ σῶμα ὁμοίως ἰδίει· οὐ γὰρ ἔτι ὁ ἥλιος ἐπιλάμπει. Διὰ ταῦτα δὲ καὶ σήπεται τῶν ὑδάτων τάχιστα ταῦτα καὶ ὀδμὴν ἴσχει πονηρὴν τὸ ὄμβριον, ὅτι ἀπὸ πλείστων ξυνῆκται καὶ ξυμμέμικται. Ἔτι δὲ πρὸς τούτοισιν ἐπειδὰν ἀναρπασθῇ καὶ μετεωρισθῇ περιφερόμενον καὶ καταμεμιγμένον ἐς τὸν ἠέρα, τὸ μὲν θολερὸν αὐτοῦ καὶ νυκτοειδὲς ἐκκρίνεται καὶ ἐξίσταται καὶ γίγνεται ἠὴρ καὶ ὁμίχλη, τὸ δὲ λαμπρότατον καὶ κουφότατον αὐτοῦ λείπεται καὶ γλυκαίνεται ὑπὸ τοῦ ἡλίου καιόμενόν τε καὶ ἑψόμενον· γίγνεται δὲ καὶ τἄλλα πάντα τὰ ἑψόμενα αἰεὶ γλυκέα. Ἕως μὲν οὖν διεσκεδασμένον ᾖ καὶ μήπω ξυνεστήκῃ, φέρεται μετέωρον· ὁκόταν δέ κου ἀθροισθῇ καὶ ξυστραφῇ ἐς τὸ αὐτὸ ὑπ' ἀνέμων ἀλλήλοισιν ἐναντιωθέντων ἐξαίφνης, τότε καταῤῥήγνυται ᾗ ἂν τύχῃ πλεῖστον ξυστραφὲν, καὶ ὄμβροι γίγνονται.—Ταῦτα μὲν οὖν ἐστιν ἄριστα κατὰ τὸ εἰκός· δέεται δὲ ἀφέψεσθαι καὶ

ἀποψύχεσθαι· εἰ δὲ μὴ, ὀδμὴν ἴσχει πονηρὴν, καὶ βράγχος καὶ βαρυφωνίη τοῖσι πίνουσι προσίσταται.

11. Τὰ δὲ ἀπὸ χιόνος καὶ κρυστάλλων πονηρὰ πάντα· ὁκόταν γὰρ ἅπαξ παγῇ, οὐκ ἔτι ἐς τὴν ἀρχαίην φύσιν καθίσταται, ἀλλὰ τὸ μὲν αὐτοῦ λαμπρὸν καὶ κοῦφον καὶ γλυκὺ ἐκκρίνεται καὶ ἀφανίζεται, τὸ δὲ θολωδέστατον καὶ σταθμωδέστατον λείπεται. Γνοίης δ' ἂν ὧδε· εἰ γὰρ βούλοιο, ὅταν ᾖ χειμὼν, ἐς ἀγγήϊον μέτρῳ ἐγχέας ὕδωρ, θεῖναι ἐς τὴν αἰθρίην, ἵνα πήξεται μάλιστα, ἔπειτα τῇ ὑστεραίῃ ἐσενεγκὼν ἐς ἀλέην, ὅκου χαλάσει μάλιστα ὁ παγετὸς, ὁκόταν δὲ λυθῇ, ἀναμετρέειν τὸ ὕδωρ, εὑρήσεις ἔλασσον συχνῷ. Τοῦτο τεκμήριον, ὅτι ὑπὸ τῆς πήξιος ἀφανίζεται καὶ ἀναξηραίνεται τὸ κουφότατον καὶ λεπτότατον, οὐ τὸ βαρύτατον καὶ παχύτατον· οὐ γὰρ ἂν δύναιτο. Ταύτῃ οὖν νομίζω πονηρότατα ταῦτα τὰ ὕδατα εἶναι τὰ ἀπὸ χιόνος καὶ κρυστάλλου καὶ τὰ τούτοισιν ἑπόμενα, πρὸς ἅπαν χρῆμα. Περὶ μὲν οὖν ὀμβρίων ὑδάτων καὶ τῶν ἀπὸ χιόνος καὶ κρυστάλλων οὕτως ἔχει.

12. Λιθιῶσι δὲ μάλιστα ὥνθρωποι καὶ ὑπὸ νεφριτίδων καὶ στραγγουρίης ἁλίσκονται καὶ ἰσχιάδων, καὶ κῆλαι γίγνονται, ὅκου ὕδατα πίνουσι παντοδαπώτατα καὶ ἀπὸ ποταμῶν μεγάλων, ἐς οὓς ποταμοὶ ἕτεροι ἐμβάλλουσι, καὶ ἀπὸ λίμνης, ἐς ἣν ῥεύματα πολλὰ καὶ παντοδαπὰ ἀφικνεῦνται· καὶ ὁκόσοι ὕδασιν ἐπακτοῖσι χρέονται διὰ μακροῦ ἀγομένοισι καὶ μὴ ἐκ βραχέος. Οὐ γὰρ οἷόν τε ἕτερον ἑτέρῳ ἐοικέναι ὕδωρ, ἀλλὰ τὰ μὲν γλυκέα εἶναι, τὰ δὲ ἁλυκά τε καὶ στυπτηριώδεα, τὰ δὲ ἀπὸ θερμῶν ῥέειν· ξυμμισγόμενα δὲ ταῦτα ἐς ταὐτὸν ἀλλήλοισι στασιάζει καὶ κρατέει αἰεὶ τὸ ἰσχυρότατον· ἰσχύει

δὲ οὐκ αἰεὶ τωὐτὸ, ἀλλ' ἄλλοτε ἄλλο κατὰ τὰ πνεύματα· τῷ μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται, τῷ δὲ ὁ νότος· καὶ τῶν λοιπῶν πέρι ὡυτὸς λόγος. Ὑφίστασθαι οὖν τοῖσι τοιούτοισιν ἀνάγκη ἐν τοῖσιν ἀγγείοισιν ἰλὺν καὶ ψάμμον· καὶ ἀπὸ τούτων πινομένων τὰ νοσήματα γίγνεται τὰ προειρημένα· ὅτι δὲ οὐχ ἅπασιν, ἑξῆς φράσω.

13. Ὁκόσων μὲν ἥ τε κοιλίη εὔροός τε καὶ ὑγιηρή ἐστι καὶ ἡ κύστις μὴ πυρετώδης, μηδὲ ὁ στόμαχος τῆς κύστιος ξυμπίπραται λίην, οὗτοι μὲν διουρεῦσι ῥηϊδίως καὶ ἐν τῇ κύστι οὐδὲν ξυστρέφεται· ὁκόσων δ' ἂν ἡ κοιλίη πυρετώδης ᾖ, ἀνάγκη καὶ τὴν κύστιν τωὐτὸ τοῦτο πάσχειν· ὁκόταν γὰρ θερμανθῇ μᾶλλον τῆς φύσιος, ἐφλέγμηνεν αὐτῆς ὁ στόμαχος· ὁκόταν δὲ ταῦτα πάθῃ, τὸ οὖρον οὐκ ἀφίησιν, ἀλλ' ἐν ἑωυτῇ ξυνέψει καὶ ξυγκαίει, καὶ τὸ μὲν λεπτότατον αὐτοῦ ἀποκρίνεται καὶ τὸ καθαρώτατον ἰδίῃ καὶ ἐξουρέεται, τὸ δὲ παχύτατον καὶ θολωδέστατον ξυστρέφεται, καὶ ξυμπήγνυται, τὸ μὲν πρῶτον σμικρὸν, ἔπειτα δὲ μέζον γίγνεται· κυλινδόμενον γὰρ ὑπὸ τοῦ οὔρου, ὅ,τι ἂν ξυνίστηται παχὺ, ξυναρμόζει πρὸς ἑωυτὸ καὶ οὕτως αὔξεταί τε καὶ πωροῦται· καὶ ὁκόταν οὐρέῃ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον καὶ κωλύει οὐρέειν καὶ ὀδύνην παρέχει ἰσχυρήν· ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσι τὰ παιδία τὰ λιθιῶντα· δοκέει γὰρ αὐτοῖσι τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. Τεκμήριον δὲ ὅτι οὕτως ἔχει· τὸ γὰρ οὖρον λαμπρότατον οὐρέουσιν οἱ λιθιῶντες, ὅτι τὸ παχύτατον καὶ θολωδέστατον αὐτοῦ μένει καὶ ξυστρέφεται. Καὶ τὰ μὲν πλεῖστα οὕτω λιθιᾷ· γίγνεται δὲ παισὶ καὶ ἀπὸ τοῦ γάλακτος, ἢν μὴ ὑγιηρὸν ᾖ, ἀλλὰ θερμόν τε λίην καὶ χολῶδες· τὴν γὰρ

κοιλίην διαθερμαίνει καὶ τὴν κύστιν, ὥστε τὸ οὖρον ξυγκαιόμενον ταῦτα πάσχειν. Καὶ φημὶ ἄμεινον εἶναι τοῖσι παιδίοισι τὸν οἶνον ὡς ὑδαρέστατον διδόναι· ἧσσον γὰρ τὰς φλέβας ξυγκαίει καὶ ξυναυαίνει. Τοῖσι δὲ θήλεσι λίθοι οὐ γίγνονται ὁμοίως· ὁ γὰρ οὐρητὴρ βραχύς ἐστιν ὁ τῆς κύστιος καὶ εὐρὺς, ὥστε βιάζεσθαι τὸ οὖρον ῥηϊδίως· οὔτε γὰρ τῇ χειρὶ τρίβει τὸ αἰδοῖον ὥσπερ τὸ ἄρσεν, οὔτε ἅπτεται τοῦ οὐρητῆρος· καὶ πίνουσι πλεῖον ἢ οἱ παῖδες. Περὶ μὲν οὖν τούτων ὧδε ἔχει ἢ ὅτι τούτων ἐγγύτατα.

14. Περὶ δὲ τῶν ὡρέων ὧδε ἄν τις ἐνθυμεύμενος διαγιγνώσκοι ὁκοῖόν τι μέλλει ἔσεσθαι τὸ ἔτος, εἴτε νοσερὸν, εἴτε ὑγιηρόν. Ἢν μὲν γὰρ κατὰ λόγον γένηται τὰ σημήϊα ἐπὶ τοῖσιν ἄστροισι δύνουσί τε καὶ ἐπιτέλλουσιν, ἔν τε τῷ μετοπώρῳ ὕδατα γένηται καὶ ὁ χειμὼν μέτριος καὶ μήτε λίην εὔδιος μήτε ὑπερβάλλων τὸν καιρὸν τῷ ψύχεϊ, ἔν τε τῷ ἦρι ὕδατα γένηται ὡραῖα καὶ ἐν τῷ θέρεϊ, οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς εἶναι. Ἢν δὲ ὁ μὲν χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες γίγνεσθαι καὶ ὀφθαλμίας καὶ δυσεντερίας ἐμποιέειν. Ὁκόταν γὰρ τὸ πνῖγος ἐπιγένηται ἐξαίφνης τῆς τε γῆς ὑγρῆς ἐούσης ὑπὸ τῶν ὄμβρων τῶν ἐαρινῶν καὶ ὑπὸ τοῦ νότου, ἀνάγκη διπλόον τὸ καῦμα εἶναι ὑπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς καὶ ὑπὸ τοῦ ἡλίου καίοντος, τῶν τε κοιλιῶν μὴ ξυνεστηκυιῶν τοῖσιν ἀνθρώποισι, μήτε τοῦ ἐγκεφάλου ἀνεξηρασμένου· οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιούτου ἐόντος μὴ οὐ πλαδᾶν τὸ σῶμα καὶ τὴν σάρκα· ὥστε τοὺς πυρετοὺς ἐπιπίπτειν ὀξυτάτους ἅπασι, μάλιστα δὲ τοῖσι φλεγματίησιν. Καὶ δυσεντερίας εἰκός ἐστι γίγνεσθαι τῇσι γυναιξὶ καὶ τοῖσιν

εἴδεσι τοῖσιν ὑγροτάτοισιν. Καὶ ἢν μὲν ἐπὶ κυνὸς ἐπιτολῇ ὕδωρ ἐπιγένηται καὶ χειμὼν καὶ οἱ ἐτησίαι πνεύσωσιν, ἐλπὶς παύσασθαι, καὶ τὸ μετόπωρον ὑγιηρὸν γενέσθαι· ἢν δὲ μὴ, κίνδυνος θανάτους τε γενέσθαι τοῖσι παιδίοισι καὶ τῇσι γυναιξὶ, τοῖσι δὲ πρεσβύτῃσιν ἥκιστα· τούς τε περιγενομένους ἐς τεταρταίους ἀποτελευτᾶν καὶ ἐκ τῶν τεταρταίων ἐς ὕδρωπας.

15. Ἢν δ' ὁ μὲν χειμὼν νότιος γένηται καὶ ἔπομβρος καὶ εὔδιος, τὸ δὲ ἦρ βόρειόν τε καὶ αὐχμηρὸν καὶ χειμέριον, πρῶτον μὲν τὰς γυναῖκας, ὁκόσαι ἂν τύχωσιν ἐν γαστρὶ ἔχουσαι, καὶ ὁ τόκος αὐτῇσιν ᾖ πρὸς τὸ ἦρ, ἐκτιτρώσκεσθαι· ὁκόσαι δ' ἂν καὶ τέκωσιν, ἀκρατέα τὰ παιδία τίκτειν, ὥστε ἢ αὐτίκα ἀπόλλυσθαι, ἢ, ἢν ζώωσι, ζώειν λεπτά τε ἐόντα καὶ ἀσθενέα καὶ νοσώδεα. Ταῦτα μὲν τῇσι γυναιξί· τοῖσι δὲ λοιποῖσι δυσεντερίας καὶ ὀφθαλμίας ξηράς· καὶ ἐνίοισι κατάῤῥους ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πνεύμονα. Τοῖσι μὲν οὖν φλεγματίῃσι τὰς δυσεντερίας εἰκὸς γίγνεσθαι καὶ τῇσι γυναιξὶ, φλέγματος ἐπικαταῤῥυέντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσιος· τοῖσι δὲ χολώδεσιν ὀφθαλμίας ξηρὰς διὰ τὴν θερμότητα καὶ ξηρότητα τῆς σαρκός· τοῖσι δὲ πρεσβύτῃσι κατάῤῥους διὰ τὴν ἀραιότητα καὶ τὴν ἔκτηξιν τῶν φλεβῶν, ὥστε ἐξαίφνης τοὺς μὲν ἀπόλλυσθαι, τοὺς δὲ παραπλήκτους γίγνεσθαι τὰ δεξιὰ ἢ τὰ ἀριστερά. Ὁκόταν γὰρ τοῦ χειμῶνος ἐόντος νοτίου καὶ ἐπόμβρου καὶ θερμοῦ, τοῦ σώματος μὴ ξυνιστῶνται μηδ' αἱ φλέβες, τοῦ ἦρος ἐπιγενομένου βορείου καὶ αὐχμηροῦ καὶ ψυχροῦ, ὁ ἐγκέφαλος, ὁπηνίκα αὐτὸν ἔδει ἅμα τῷ ἦρι διαλύεσθαι καὶ καθαίρεσθαι ὑπό τε κορύζης καὶ βράγχων, τηνικαῦτα πήγνυταί τε καὶ ξυνίσταται, ὥστε ἐξαίφνης τοῦ θέρεος ἐπιγενομένου καὶ τοῦ καύ-

ματος, τῆς μεταβολῆς ἐπιγιγνομένης, ταῦτα τὰ νοσεύματα ἐπιπίπτειν. Καὶ ὁκόσαι μὲν τῶν πολίων κέαταί τε καλῶς τοῦ ἡλίου καὶ τῶν πνευμάτων, ὕδασί τε χρέονται ἀγαθοῖσιν, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιουτέων μεταβολέων· ὁκόσαι δὲ ὕδασί τε ἑλείοισι χρέονται καὶ λιμνώδεσι, κέαταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. Κῆν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι· ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίγνονται· καὶ φαγεδαίνας κίνδυνος ἐγγίγνεσθαι ἀπὸ πάσης προφάσιος, ἢν ἕλκος ἐγγένηται· καὶ λειεντερίαι καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασιν ἐπιγίγνονται· οὐ γὰρ ἀποξηραίνονται αἱ κοιλίαι ῥηϊδίως.

16. Ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον καὶ τὸ μετόπωρον, χειμῶνα ἀνάγκη νοσερὸν εἶναι καὶ τοῖσι φλεγματίῃσι καὶ τοῖσι γεραιτέροισι τεσσαράκοντα ἐτέων καύσους γίγνεσθαι εἰκὸς, τοῖσι δὲ χολώδεσι πλευρίτιδας καὶ περιπνευμονίας. Ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίας ἐς τὸν χειμῶνα καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίγνεσθαι καὶ προσέτι βράγχους καὶ κορύζας καὶ βῆχας, ἐνίοισι δὲ καὶ φθίσιας. Ἢν δὲ βόρειόν τε ᾖ καὶ ἄνυδρον, καὶ μήτε ὑπὸ κύνα ἔπομβρον μήτε ἐπὶ τῷ ἀρκτούρῳ, τοῖσι μὲν φλεγματίῃσι φύσι ξυμφέρει μάλιστα καὶ τοῖσιν ὑγροῖσι τὰς φύσιας καὶ τῇσι γυναιξί· τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίγνεται· λίην γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι αὐτοῖσιν ἐπιγίγνονται ξηραὶ καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι, ἐνίοισι δὲ καὶ μελαγχολίαι· τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον ἀναλοῦται, τὸ δὲ παχύτατον καὶ δριμύτατον

λείπεται, καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον· ἀφ' ὧν ταῦτα τὰ νοσεύματα αὐτοῖσι γίγνεται. Τοῖσι δὲ φλεγματίῃσι πάντα ταῦτα ἀρωγά ἐστιν· ἀναξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται οὐ πλαδῶντες, ἀλλὰ ἀνεξηρασμένοι.

17. Κατὰ ταῦτά τις ἐννοεύμενος καὶ σκοπούμενος προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων. Φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας καὶ μήτε φάρμακον διδόναι ἑκόντα ὅ,τι ἐς κοιλίην, μήτε καίειν, μήτε τάμνειν, πρὶν παρέλθωσιν ἡμέραι δέκα ἢ καὶ πλείονες· μέγισται δὲ εἰσιν αἵδε καὶ ἐπικινδυνόταται, ἡλίου τροπαὶ ἀμφότεραι καὶ μᾶλλον αἱ θεριναὶ, καὶ αἱ ἰσημερίαι νομιζόμεναι εἶναι ἀμφότεραι, μᾶλλον δὲ αἱ μετοπωριναί. Δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι καὶ μάλιστα τοῦ κυνὸς, ἔπειτα ἀρκτούρου, καὶ ἔτι πληϊάδων δύσιν· τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι κρίνεται· καὶ τὰ μὲν ἀποφθίνει, τὰ δὲ λήγει, τὰ δὲ ἄλλα πάντα μεθίσταται ἐς ἕτερον εἶδος καὶ ἑτέρην κατάστασιν. Καὶ περὶ μὲν τούτων οὕτως ἔχει.

18. Βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης δεῖξαι ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα, καὶ περὶ τῶν ἐθνέων τῆς μορφῆς ὅτι διαλλάσσει καὶ μηδὲν ἔοικεν ἀλλήλοισιν. Περὶ μὲν οὖν ἁπάντων πουλὺς ἂν εἴη λόγος, περὶ δὲ τῶν μεγίστων καὶ πλεῖστον διαφερόντων ἐρέω ὥς μοι δοκέει ἔχειν.

19. Τὴν Ἀσίην πλεῖστον δὴ διαφέρειν φημὶ τῆς Εὐρώπης ἐς τὰς φύσιας τῶν ξυμπάντων, τῶν τε ἐκ τῆς γῆς φυομένων καὶ τῶν ἀνθρώπων· πουλὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίγνεται ἐν τῇ Ἀσίῃ, ἥ τε χώρη τῆς χώρης ἡμερω-

τέρη καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐοργητότερα. Τὸ δὲ αἴτιον τούτων ἡ κρῆσις τῶν ὡρέων, ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολέων κέεται πρὸς τὴν ἠῶ τοῦ τε ψυχροῦποῤῥωτέρω καὶ τοῦ θερμοῦ· τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατέον βιαίως, ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ. Ἔχει δὲ κατὰ τὴν Ἀσίην οὐ πανταχῇ ὁμοίως, ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κέεται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστὶ καὶ εὐδενδροτάτη καὶ εὐδιεστάτη καὶ ὕδασι καλλίστοισι κέχρηται τοῖσί τε οὐρανίοισι καὶ τοῖσιν ἐκ τῆς γῆς. Οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται λίην, οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης ἀναξηραίνεται, οὔτε ὑπὸ ψύχεος βεβιασμένη, οὔτε νοτία τε καὶ διάβροχός ἐστιν ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος· τά τε ὡραῖα αὐτόθι πολλὰ εἰκὸς γίγνεσθαι, ὁκόσα τε ἀπὸ σπερμάτων καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ φυτά· ὧν τοῖσι καρποῖσι χρέονται ὤνθρωποι, ἡμεροῦντες ἐξ ἀγρίων καὶ ἐς ἐπιτήδειον μεταφιτύοντες· τά τε ἐντρεφόμενα κτήνεα εὐθηνέειν εἰκὸς καὶ μάλιστα τίκτειν τε πυκνότατα καὶ ἐκτρέφειν κάλλιστα· τούς τε ἀνθρώπους εὐτραφέας εἶναι καὶ τὰ εἴδεα καλλίστους καὶ μεγέθεα μεγίστους καὶ ἥκιστα διαφόρους ἐς τά τε εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα· εἰκός τε τὴν χώρην ταύτην τοῦ ἦρος ἐγγύτατα εἶναι κατὰ τὴν φύσιν καὶ τὴν μετριότητα τῶν ὡρέων· τὸ δὲ ἀνδρῆϊον καὶ τὸ ταλαίπωρον καὶ τὸ ἔμπονον καὶ τὸ θυμοειδὲς οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσι ἐγγίγνεσθαι, ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατέειν.

* μήτε ὁμόφυλον, μήτε ἀλλόφυλον· διότι πολύμορφα γίγνεται τὰ ἐν τοῖσι θηρίοισιν. Περὶ μὲν οὖν Αἰγυπτίων καὶ Λιβύων οὕτως ἔχειν μοι δοκέει.

20. Περὶ δὲ τῶν ἐν δεξιῇ τοῦ ἡλίου τῶν ἀνατολέων τῶν θερινῶν μέχρι Μαιώτιδος λίμνης, οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης, ὧδε ἔχει περὶ αὐτῶν· τάδε τὰ ἔθνεα, τὰ ταύτῃ, διάφορα αὐτὰ ἑωυτῶν μᾶλλόν ἐστι τῶν προδιηγημένων, διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν. Ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως, ὥσπερ καὶ κατὰ τοὺς ἀνθρώπους· ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριωτάτη καὶ ἀνωμαλωτάτη ἐστί, καὶ εὑρήσεις ὄρεά τε πλεῖστα καὶ δασέα καὶ πεδία καὶ λειμῶνας ἐόντας· ὅκου δὲ αἱ ὧραι μὴ μέγα διαλλάσσουσιν, ἐκεῖ ἡ χώρη ὁμαλωτάτη ἐστίν. Οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων, εἴ τις βούλεται ἐνθυμέεσθαι· εἰσὶ γὰρ φύσιες αἱ μὲν ὄρεσιν ἐοικυῖαι δενδρώδεσί τε καὶ ἐφύδροισιν, αἱ δὲ λεπτοῖσί τε καὶ ἀνύδροισιν, αἱ δὲ λειμακεστέροισί τε καὶ ἑλώδεσιν, αἱ δὲ πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ γῇ. Αἱ γὰρ ὧραι αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν εἰσὶ διάφοροι· ἢν δὲ διάφοροι ἔωσι μέγα σφῶν αὐτέων, διαφοραὶ καὶ πλείονες γίγνονται τοῖσιν εἴδεσιν.

21. Καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων παραλείψω, ὁκόσα δὲ μέγα ἢ φύσι ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. Καὶ πρῶτον περὶ τῶν Μακροκεφάλων· τούτῳ γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίας τὰς κεφαλὰς ἔχον οὐδέν. Τὴν μὲν γὰρ ἀρχὴν ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκεος τῆς κεφαλῆς, νῦν δὲ καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ· τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. Ἔχει δὲ περὶ νόμου ὧδε· τὸ παιδίον ὁκόταν γένηται τάχιστα, τὴν κεφαλὴν αὐτοῦ ἔτι ἁπαλὴν ἐοῦσαν ἀναπλάσσουσι τῇσι χερσὶ καὶ ἀναγκάζουσιν ἐς τὸ μῆκος αὔξεσθαι δεσμὰ

τε προσφέροντες καὶ τεχνήματα ἐπιτήδεια, ὑφ᾽ ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται, τὸ δὲ μῆκος αὔξεται. Οὕτω τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο, ὥστε ὑπὸ βίης τοιαύτην τὴν φύσιν γενέσθαι· τοῦ δὲ χρόνου προϊόντος ἐν φύσι ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν. Ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς, ἀπό τε τῶν νοσερῶν νοσερός. Εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν φαλακροὶ καὶ ἐκ γλαυκῶν γλαυκοὶ καὶ ἐκ διεστραμμένων στρεβλοὶ ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ωὑτὸς λόγος· ,τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίγνεσθαι; Νῦν δὲ ὁμοίως οὐκέτι γίγνονται, ὡς πρότερον· ὁ γὰρ νόμος οὐκέτι ἰσχύει διὰ τὴν ὁμιλίην τῶν ἀνθρώπων. Περὶ μὲν οὖν τούτων οὕτω μοι δοκέει.

22. Περὶ δὲ τῶν ἐν Φάσι· ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ καὶ θερμὴ καὶ ὑδατεινὴ καὶ δασεῖα, ὄμβροι τε αὐτόθι γίγνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί· ἥ τε δίαιτα τοῖσιν ἀνθρώποισιν ἐν τοῖσιν ἕλεσίν ἐστι, τά τε οἰκήματα ξύλινα καὶ καλάμινα ἐν τοῖσιν ὕδασι μεμηχανημένα· ὀλίγῃ τε χρέονται τῇ βαδίσι κατὰ τὴν πόλιν καὶ τὸ ἐμπόριον, ἀλλὰ μονοξύλοισι διαπλέουσιν ἄνω καὶ κάτω· διώρυχες γὰρ πολλαί εἰσιν. Τὰ δὲ ὕδατα θερμὰ καὶ στάσιμα πίνουσιν ὑπό τε τοῦ ἡλίου σηπόμενα καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα· αὐτός τε ὁ Φάσις στασιμώτατος πάντων τῶν ποταμῶν καὶ ῥέων ἠπιώτατα. Οἵ τε καρποὶ οἱ γιγνόμενοι αὐτόθι πάντες ἀναλδέες εἰσὶ καὶ τεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος· διὸ καὶ οὐ πεπαίνονται· ἠήρ τε πουλὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων. Διὰ ταύτας δὴ τὰς προφάσιας τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχου-

σιν οἱ Φασιηνοί· τά τε γὰρ μεγέθεα μεγάλοι, τὰ πάχεα δ' ὑπερπάχεες, ἄρθρον τε κατάδηλον οὐδὲν, οὐδὲ φλέψ· τήν τε χροιὴν ὠχρὴν ἔχουσιν ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι· φθέγγονταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεόμενοι οὐ λαμπρῷ, ἀλλὰ χνοώδεΐ τε καὶ διερῷ· πρός τε τὸ ταλαιπωρέειν τὸ σῶμα ἀργότεροι πεφύκασιν. Αἵ τε ὧραι οὐ πουλὺ μεταλλάσσουσιν οὔτε πρὸς τὸ πνῖγος οὔτε πρὸς τὸ ψῦχος· τά τε πνεύματα τὰ πολλὰ νότια, πλὴν αὔρης μιῆς ἐπιχωρίης· αὕτη δὲ πνέει ἐνίοτε βίαιος καὶ χαλεπὴ καὶ θερμή· κέγχρονα ὀνομάζουσι τοῦτο τὸ πνεῦμα· ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνέεται, ὁκόταν δὲ πνέῃ, ἀσθενὴς καὶ βληχρός. Καὶ περὶ μὲν τῆς φύσιος τῆς διαφορῆς καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ οὕτως ἔχει.

23. Περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρίης, ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ Ἀσιηνοὶ καὶ ἡμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι οὔτε ἐπὶ τὸ θερμὸν οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλλὰ παραπλήσιαι αἰεὶ ἐοῦσαι. Οὐ γὰρ γίγνονται ἐκπλήξιες τῆς γνώμης οὔτε μετάστασις ἰσχυρὴ τοῦ σώματος, ἀφ' ὅτων εἰκός τινα τὴν ὀργὴν ἀγριοῦσθαί τε καὶ τοῦ ἀγνώμονος καὶ θυμοειδέος μετέχειν μᾶλλον, ἢ ἐν τῷ αὐτῷ αἰεὶ ἐόντα· αἱ γὰρ μεταβολαί εἰσι τῶν πάντων, αἵ αἰεί τε ἐγείρουσί τε τὴν γνώμην τῶν ἀνθρώπων καὶ οὐκ ἐῶσιν ἀτρεμίζειν. Διὰ ταύτας ἐμοὶ δοκέει τὰς προφάσιας ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνὸν καὶ προσέτι διὰ τοὺς νόμους· τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται· ὅκου δὲ μὴ αὐτοὶ ἑωυτῶν εἰσι καρτεροὶ ὤνθρωποι μηδὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ περὶ τούτου αὐτοῖσιν ὁ λόγος ἐστὶν ὅκως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως

μὴ δόξουσι μάχιμοι εἶναι. Οἱ γὰρ κίνδυνοι οὐχ ὁμοῖοί εἰσι· τοὺς μὲν γὰρ στρατεύεσθαι εἰκὸς καὶ ταλαιπωρέειν καὶ ἀποθνήσκειν ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτέων ἄπο τε παιδίων καὶ γυναικὸς ἐόντας καὶ τῶν λοιπῶν φίλων· καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρήϊα ἐργάσωνται, οἱ δεσπόται ἀπ᾽ αὐτῶν αὔξονταί τε καὶ ἐκφύονται, τοὺς δὲ κινδύνους καὶ θανάτους αὐτοὶ καρποῦνται· ἔτι δὲ πρὸς τούτοισι τῶν τοιούτων ἀνθρώπων ἀνάγκη ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολέμων καὶ ἀργίης· ὥστε καὶ εἴ τις φύσι πέφυκεν ἀνδρήϊο καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ὑπὸ τῶν νόμων. Μέγα δὲ τεκμήριον τούτων· ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ᾽ αὐτόνομοί εἰσι καὶ ἑωυτοῖσι ταλαιπωρεῦσιν, οὗτοι μαχιμώτατοί εἰσι πάντων· τοὺς γὰρ κινδύνους ἑωυτῶν πέρι κινδυνεύουσι καὶ τῆς ἀνδρείης αὐτοὶ τὰ ἆθλα φέρονται καὶ τῆς δειλίης τὴν ζημίην ὡσαύτως. Εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτῶν, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας· τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖσι προτέροισιν. Καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ οὕτως ἔχει.

24. Ἐν δὲ τῇ Εὐρώπῃ ἐστὶν ἔθνος Σκυθικόν, ὃ περὶ τὴν λίμνην οἰκέει τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων· Σαυρομάται καλεῦνται. Τούτων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσι καὶ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων καὶ μάχονται τοῖσι πολεμίοισιν, ἕως ἂν παρθένοι ἔωσιν· οὐκ ἀποπαρθενεύονται δὲ μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον ξυνοικέουσιν ἤπερ τὰ ἱερὰ θύωσι τὰ ἐν νόμῳ· ἣ δ᾽ ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης· τὸν δεξιὸν δὲ μαζὸν οὐκ

ἔχουσι· παιδίοισι γὰρ ἐοῦσιν ἔτι νηπίοισιν αἱ μητέρες χαλκίον τετεχνημένον ἐπ' αὐτῷ τούτῳ διάπυρον ποιέουσαι πρὸ τὸν μαζὸν τιθέασι τὸν δεξιὸν, καὶ ἐπικαίεται, ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐκδιδόναι.

25. Περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ ἑωυτοῖσιν ἐοίκασι καὶ οὐδαμῶς ἄλλοισιν, ωὑτὸς λόγος, ὃς καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσι βεβιασμένοι, οἱ δ' ὑπὸ τοῦ ψυχροῦ. Ἡ δὲ Σκυθέων ἐρημίη καλευμένη πεδιάς ἐστι καὶ λειμακώδης καὶ ψιλὴ καὶ ἔνυδρος μετρίως· ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων Καὶ ἐνταῦθα οἱ Σκύθαι διαιτεῦνται νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλ' ἐν ἁμάξῃσιν οἰκεῦσιν· αἱ δέ ἅμαξαί εἰσιν αἱ μὲν ἐλάχισται τετράκυκλοι, αἱ δέ ἑξάκυκλοι· αὗται δὲ πίλοισι περιπεφραγμέναι· εἰσὶ δὲ καὶ τετεχνασμέναι ὥσπερ οἰκήματα, τὰ μὲν διπλᾶ, τὰ δὲ τριπλᾶ· ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ καὶ πρὸς χιόνα καὶ πρὸς τὰ πνεύματα. Τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα, τὰς μὲν δύο, τὰς δὲ τρία βοῶν, κερέων ἄτερ· οὐ γὰρ ἔχουσι κέρεα ὑπὸ τοῦ ψύχεος. Ἐν ταύτῃσι μὲν οὖν τῇσιν ἁμάξῃσιν αἱ γυναῖκες διαιτεῦνται· αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες· ἕπονται δ' αὐτοῖσι καὶ τὰ πρόβατα ἐόντα, αἱ βόες καὶ οἱ ἵπποι· μένουσι δ' ἐν τῷ αὐτῷ τοσοῦτον χρόνον ὅσον ἂν ἀποχρῇ αὐτοῖσι τοῖσι κτήνεσιν ὁ χόρτος· ὁκόταν δὲ μηκέτι, ἐς ἑτέρην χώρην μετέρχονται. Αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ καὶ πίνουσι γάλα ἵππων καὶ ἱππάκην τρώγουσιν. Τὰ μὲν ἐς τὴν δίαιταν αὐτῶν οὕτως ἔχει καὶ τοὺς νόμους.

μίη τῆς μίξιος γίγνεται πολλὴ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ ψυχρότητα, ἀφ' ὅτων ἥκιστα εἰκὸς ἄνδρα οἷόν τε εἶναι λαγνεύειν· καὶ ἔτι ὑπὸ τῶν ἵππων αἰεὶ κοπτόμενοι ἀσθενέες γίγνονταί ἐς τὴν μίξιν. Τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίγνονται, τῇσι δὲ γυναιξὶν ἥ τε πιότης τῆς σαρκὸς καὶ ἡ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον· οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτῇσι γίγνεται ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου· τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται καὶ οὐχ ὑποδέχεται τὸν γόνον· αὐταί τε ἀταλαίπωροι καὶ πίεραι καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. Καὶ ὑπὸ τουτέων τῶν ἀναγκέων οὐ πολύγονόν ἐστι τὸ γένος τὸ Σκυθικόν. Μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν· οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι καὶ ἐν γαστρὶ ἴσχουσι, διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός.

29. Ἔτι τε πρὸς τούτοισιν εὐνουχίαι γίγνονται οἱ πλεῖστοι ἐν Σκύθῃσι, καὶ γυναικεῖα ἐργάζονταί τε ὡς αἱ γυναῖκες, διαλέγονταί τε ὁμοίως· καλεῦνταί τε οἱ τοιοῦτοι ἐνάριες. Οἱ μὲν οὖν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ καὶ σέβονται τούτους τοὺς ἀνθρώπους καὶ προσκυνέουσι, δεδοικότες περὶ ἑωυτῶν ἕκαστοι. Ἐμοὶ δὲ καὶ ταῦτα δοκέει τὰ πάθεα θεῖα εἶναι καὶ τἄλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα ὁμοῖα καὶ πάντα θεῖα· ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιούτων καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται. Καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκέει γίγνεσθαι φράσω· ὑπὸ τῆς ἱππασίης αὐτοὺς κέδματα λαμβάνει ἅτε αἰεὶ κρεμαμένοισιν ἀπὸ τῶν ἵππων τοῖσι ποσίν· ἔπειτα ἀποχωλοῦνται καὶ ἕλκονται τὰ ἰσχία οἳ ἂν σφόδρα

ἄναρθρα καὶ ὑγρὰ καὶ ἄτονα· αἵ τε κοιλίαι ὑγρόταται πασέ κοιλιῶν, αἱ κάτω· οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι τοιαύτῃ χώρῃ καὶ φύσι καὶ ὥρης καταστάσι· ἀλλὰ διὰ πιμ λέα τε καὶ ψιλὴν τὴν σάρκα τά τε εἴδεα ἔοικεν ἀλλήλοι τά τε ἄρσενα τοῖσιν ἄρσεσι καὶ τὰ θήλεα τοῖσι θήλεσι· τί γὰρ ὡρέων παραπλησίων ἐουσέων, φοραὶ οὐκ ἐγγίγνονται οὐ κακώσιες ἐν τῇ τοῦ γόνου ξυμπήξι, ἢν μή τινος ἀνάγκ βιαίου τύχῃ ἢ νούσου.

27. Μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι· Σκ θέων γὰρ τοὺς πολλοὺς εὑρήσεις κεκαυμένους τούς τε ὤμο καὶ τοὺς βραχίονας καὶ τοὺς καρποὺς τῶν χειρῶν καὶ τὰ στ θεα καὶ τὰ ἰσχία καὶ τὴν ὀσφὺν δι' ἄλλο οὐδὲν ἢ διὰ τ ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην· οὐ γὰρ δύνανται οὔ τοῖσι τόξοισι ξυντείνειν οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμ ὑπὸ ὑγρότητος καὶ ἀτονίης· ὁκόταν δὲ καυθέωσιν, ἀναξηρ νεται ἐκ τῶν ἄρθρων τὸ πουλὺ τοῦ ὑγροῦ καὶ ἐντονώτε μᾶλλον γίγνεται καὶ τροφιμώτερα καὶ ἠρθρωμένα τὰ σώμα μᾶλλον. Ῥοϊκὰ δὲ γίγνεται καὶ πλαδῷ, πρῶτον μὲν ὅτι σπαργανοῦνται ὥσπερ ἐν Αἰγύπτῳ, οὐδὲ νομίζουσι διὰ τ ἱππασίην, ὅκως ἂν εὔεδροι ἔωσιν· ἔπειτα δὲ διὰ τὴν ἕδρη τά τε γὰρ ἄρσενα, ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππων ὀχέεσθαι, πουλὺ τοῦ χρόνου κάθηνται ἐν τῇ ἀμάξῃ καί βραχύ τι βαδι χρέονται διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας· τὰ δὲ θήλ θαυμαστὸν οἷον ῥοϊκὰ γίγνεται καὶ πλαδώδεα.

28. Πυῤῥὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψύχι οὐκ ἐπιγιγνομένου ὀξέως τοῦ ἡλίου· ὑπὸ δὲ τοῦ ψύχεος λευκότης ἐπικαίεται καὶ γίγνεται πυῤῥή. Πολύγονον δὲ οι οἷόν τε εἶναι φύσιν τοιαύτην· οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθ

ζημίας τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον ἢ τοὺς πλουσίους. Ἀλλὰ γὰρ, ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστιν ὁμοίως τοῖσιν ἄλλοισιν· γίγνεται δὲ κατὰ φύσιν ἕκαστα· καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖσι Σκύθῃσι γίγνεται οἵην εἴρηκα. Ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως· ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται καὶ λαγνεύειν κάκιστοί εἰσιν. Ταῦτα δὲ τοῖσί τε Σκύθῃσι πρόσεστι καὶ εὐνουχοειδέστατοί εἰσιν ἀνθρώπων διὰ τὰς προειρημένας προφάσιας καὶ ὅτι ἀναξυρίδας ἔχουσιν αἰεὶ καὶ εἰσὶν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου, ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλήθεσθαι τοῦ ἱμέρου καὶ τῆς μίξιος καὶ μηδὲν παρακινέειν πρότερον ἢ ἀνανδρωθῆναι. Περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος.

31. Τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ ἑωυτῷ ἐστι καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὰς μορφὰς, διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίγνονται καὶ πυκναὶ καὶ θάλπεά τε ἰσχυρὰ καὶ χειμῶνες καρτεροὶ καὶ ὄμβροι πολλοὶ καὶ αὖθις αὐχμοὶ πολυχρόνιοι καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί· ἀφ' ὅτων εἰκὸς ἑκάστοτε καὶ τὴν γένεσιν ἐν τῇ ξυμπήξι τοῦ γόνου ἄλλην καὶ μὴ τῷ αὐτῷ τὴν αὐτὴν γίγνεσθαι ἔν τε τῷ θέρεϊ καὶ τῷ χειμῶνι, μήτε ἐν ἐπομβρίῃ καὶ αὐχμῷ· διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων μᾶλλον ἢ τῶν Ἀσιηνῶν καὶ τὰ μεγέθεα διαφορώτατα αὐτὰ ἑωυτοῖσιν εἶναι κατὰ πόλιν ἑκάστην· αἰεὶ γὰρ φοραὶ πλείονες ἐγγίγνονται τῷ γόνῳ ἐν τῇ ξυμπήξι ἐν τῇσι μεταλλαγῇσι τῶν ὡρέων πυκνῇσιν ἐού-

νοσήσωσιν. Ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε· ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέρην φλέβα τάμνουσιν· ὅταν δὲ ἀποῤῥυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείης καὶ καθεύδουσιν· ἔπειτα ἀνεγείρονται, οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ' οὔ. Ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσι διαφθείρεσθαι ὁ γόνος· εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ, ἄγονοι γίγνονται οἱ ἐπιτμηθέντες· ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. Οἱ δὲ μετὰ ταῦτα, ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας καὶ μὴ οἷοί τε ἔωσι χρέεσθαί σφισι, τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην ἔχουσιν· ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτοῖσι πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην, καταγνόντες ἑωυτῶν ἀνανδρίην· γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν ἃ καὶ ἐκεῖναι.

30. Τοῦτο δὲ πάσχουσι Σκυθέων οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι, διὰ τὴν ἱππασίην· οἱ δὲ πένητες ἧσσον· οὐ γὰρ ἱππάζονται. Καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστιν, οὐ τοῖσι γενναιοτάτοισι τῶν Σκυθέων καὶ τοῖσι πλουσιωτάτοισι προσπίπτειν μούνοισιν, ἀλλὰ τοῖσιν ἅπασιν ὁμοίως, καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ τοῖσι πολλά· τιμώμενοι δὴ εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων καὶ ἀντὶ τούτων χάριτας ἀποδιδόασιν· εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖσι θεοῖσι καὶ ἀνατιθέναι ἀναθήματα, ἐόντων χρημάτων, καὶ τιμᾶν, τοὺς δὲ πένητας ἧσσον, διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ ἐπιμεμφομένους ὅτι οὐ διδόασι χρήματα αὐτοῖσιν· ὥστε τῶν τοιουτέων ἁμαρτιῶν τὰς

αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν· ὁκόσοι δὲ κοῖλα χωρία καὶ λειμακώδεα καὶ πνιγηρὰ, καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσιν ἢ τῶν ψυχρῶν, ὕδασί τε χρέονται θερμοῖσιν, οὗτοι μεγάλοι μὲν οὐκ ἂν εἴησαν οὐδὲ κανονίαι, ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανότριχες· καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι, φλεγματίαι τε ἧσσον ἢ χολώδεες· τὸ δὲ ἀνδρήϊον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ φύσι μὲν οὐκ ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάζοιτο ἄν. Καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ τῆς χώρης ἐξοχετεύουσι τό τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί· εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα εἴδεα προγαστρότερα εἶναι καὶ σπληνώδεα. Ὁκόσοι δὲ ὑψηλὴν οἰκέουσι χώρην καὶ λείην καὶ ἀνεμώδεα καὶ ἔνυδρον, ἐκεῖ εἴη ἂν εἴδεα μεγάλα καὶ ἑωυτοῖσι παραπλήσια· ἀνανδρότεραι δὲ καὶ ἡμερώτεραι τούτων αἱ γνῶμαι· ὁκόσοι δὲ λεπτά τε καὶ ἄνυδρα καὶ ψιλὰ τῇσί τε μεταβολῇσι τῶν ὡρέων οὐκ εὔκρυπτα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκληρά τε εἶναι καὶ ἔντονα καὶ ξανθότερα ἢ μελάντερα, καὶ τὰ ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας. Ὅκου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων καὶ πλεῖστον διάφοροι αὐταὶ ἑωυτῇσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας.

33. Μέγισται μὲν οὖν εἰσὶν αὗται τῆς φύσιος διαλλαγαί· ἔπειτα δὲ καὶ ἡ χώρη ἐν ᾗ ἄν τις τρέφηται καὶ τὰ ὕδατα· εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσι ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. Ὅκου μὲν

σῃσιν ἢ ἐν τῇσι παραπλησίῃσι καὶ ὁμοίῃσιν. Περί τε τῶν ἠθέων ωὑτὸς λόγος· τό τε ἄγριον καὶ τὸ ἄμικτον καὶ τὸ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσι ἐγγίγνεται· αἱ γὰρ ἐκπλήξιες πυκναὶ γιγνόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασι, τὸ δὲ ἥμερόν τε καὶ ἤπιον ἀμαυροῦσιν· διότι εὐψυχοτέρους νομίζω τοὺς τὴν Εὐρώπην οἰκέοντας εἶναι ἢ τοὺς τὴν Ἀσίην· ἐν μὲν γὰρ τῷ αἰεὶ παραπλησίῳ αἱ ῥαθυμίαι ἔνεισιν, ἐν δὲ τῷ μεταβαλλομένῳ αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ ψυχῇ· καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης ἡ δειλίη αὔξεται, ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τῶν πόνων αἱ ἀνδρεῖαι. Διὰ τοῦτό εἰσι μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκέοντες, καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται ὥσπερ οἱ Ἀσιηνοί· ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι· εἴρηται δέ μοι καὶ πρότερον· αἱ γὰρ ψυχαὶ δεδούλωνται καὶ οὐ βούλονται παρακινδυνεύειν ἑκόντες εἰκῇ ὑπὲρ ἀλλοτρίης δυνάμιος· ὅσοι δὲ αὐτόνομοι, ὑπὲρ ἑωυτῶν γὰρ τοὺς κινδύνους αἱρεῦνται καὶ οὐκ ἄλλων προμηθεῦνται, ἑκόντες καὶ ἐς τὸ δεινὸν ἔρχονται· τὰ γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται. Οὕτως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐργάζονται. Τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅπαν οὕτως ἔχει περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης.

32. Ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροισι καὶ τὰ μεγέθεα καὶ τὰς μορφὰς καὶ τὰς ἀνδρείας· τὰ δὲ διαλλάσσοντα ταὐτά ἐστιν ἃ καὶ ἐπὶ τῶν πρότερον εἴρηται· ἔτι δὲ σαφέστερον φράσω. Ὁκόσοι μὲν χώρην ὀρεινήν τε οἰκέουσι καὶ τρηχεῖαν καὶ ψιλὴν καὶ ἄνυδρον καὶ αἱ μεταβολαὶ αὐτοῖσι γίγνονται τῶν ὡρέων μέγα διάφοροι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι καὶ πρὸς τὸ ταλαίπωρον καὶ τὸ ἀνδρήϊον εὖ πεφυκότα· καὶ τό τε ἄγριον καὶ τὸ θηριῶδες

ἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν· ὁκόσοι δὲ κοῖλα χωία καὶ λειμακώδεα καὶ πνιγηρὰ, καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσιν ἢ τῶν ψυχρῶν, ὕδασί τε χρέονται θερμοῖσιν, οὗτοι μεγάλοι μὲν οὐκ ἂν εἴησαν οὐδὲ κανονίαι, ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανότριχες· αὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι, φλεγματίαι τε ἧσσον ἢ χολώδεες· τὸ δὲ ἀνδρήϊον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ φύσι μὲν οὐκ ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάζοιτο ἄν. Καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ τῆς χώρης ἐξοχετεύουσι τό τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί· εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα εἴδεα προγαστρότερα εἶναι καὶ σπληνώδεα. Ὁκόσοι δὲ ὑψηλήν οἰκέουσι χώρην καὶ λείην καὶ ἀνεμώδεα καὶ ἔνυδρον, ἐκεῖ εἴη ἂν εἴδεα μεγάλα καὶ ἑωυτοῖσι παραπλήσια· ἀνανδρότεραι δὲ καὶ ἡμερώτεραι τούτων αἱ γνῶμαι· ὁκόσοι δὲ λεπτά τε καὶ ἄνυδρα καὶ ψιλὰ τῇσί τε μεταβολῇσι τῶν ὡρέων οὐκ εὔκρυπτα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς σκληρά τε εἶναι καὶ ἔντονα καὶ ξανθότερα ἢ μελάντερα, καὶ τὰ ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας. Ὅκου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων καὶ πλεῖστον διάφοροι αὐταὶ ἑωυτῇσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας.

33. Μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος διαλλαγαί· ἔπειτα δὲ καὶ ἡ χώρη ἐν ᾗ ἄν τις τρέφηται καὶ τὰ ὕδατα· εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσι ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. Ὅκου μὲν

ϛʹ.

. . . ἀῤῥώστους· τῷ τε νοσευμάτων πάντων μ. μ. τῶν προειρημένων οὐδὲν αὐτοῖσιν ἀποκέκριται· . . .

. . . , ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἃ ἀνεπιτήδεια, . . .

8. . . . , ὅσων *εἰσὶν* αἱ πηγαὶ . . .

. . . , ταῦτα τὸ *μὲν ἐπίπαν*. . . .

. . . , καὶ ταῦτα *ἐν* τοῖσι μὲν νοτίοισι . . .

9. . . . καὶ ξυγκαίειν ἀγαθαὶ ἃ *ἔνι*, τούτοισι . . .

. . . Ἀλλὰ γὰρ *ἐψευσμένα ἴσασιν* . . .

. . . καὶ τὰ *ὕφαλα*[1]) . . .

[1])· = § 3.

10. . . . ξυμμέμικται[1]). *Ἔτι* δὲ . . .

[1])· παρέλκει γοῦν τὸ *ὥστε σήπεσθαι τάχιστα*.

. . . ξυστραφὲν[1]), καὶ ὄμβροι γίγνονται.

[1])· σφόδρα γὰρ παρεμβλήμχτι ἔοικε τὸ « Τότε γὰρ ἐοικὸς τοῦτο μᾶλλον γίγνεσθαι, ὁπόταν τὰ νέφεα μὴ ὑπ' ἀνέμου στάσιν *ἔχοντα*[2]) ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον· καὶ ἕτερα νέφεα ἐνταῦθα μὲν πρὸ τῶν αὐτοῦ ξυστρέφεται, τὰ δ' ὄπισθεν ἐπιφέρεται· καὶ οὕτω παχύνεται καὶ μελαίνεται καὶ ξυστρέφεται ἐς τὸ αὐτὸ καὶ ὑπὸ βάρεος καταῤῥήγνυται. » ἅπερ Ἱπποκράτους εἶναι οὐ πάνυ πείθομαι.

[2])· ᾧ ἴσως ἕτερος αὖ προσέγραψε τὸ « ὡρμημένα ἐόντα καὶ χωρέοντα.

. . . δέεται δὲ ἀφέψεσθαι καὶ *ἀποψύχεσθαι*· . . .

11. . . . εἰ γὰρ *βούλοιο*, . . .

. . . πρὸς *ἅπαν χρῆμα*.

13. . . . καὶ τὸ καθαρώτατον *ἰδίῃ* καὶ . . .

. . . , ἔπειτα [*δὲ*] μέζον γ.

15. . . . , ἢ, *ἢν ζώωσι, ζώειν* λεπτά τε . . .

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

1. . . . καὶ πότερον *εὐώδεσι*[1]) χρέονται καὶ μαλακοῖ-
σεν, ἢ σκληροῖσι καὶ ἀλυκοῖσι καὶ ἀτεράμνοισι, καὶ εἴτε ἐκ μετεώρων [*χωρίων ῥέει*], εἴτε ἐκ πετρωδέων· καὶ τὴν γῆν,...

1)· = § 5. « . . . καὶ εὐώδεα καὶ μαλακά . . .

. . . , ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι καὶ *εὐδίαιτοι* καὶ ἄποτοι.

2. . . . , ἢν *μή* τις ταῦτα πρότερον *διαφροντίσῃ.*[1])

1)· = § 1. « . . . διαφροντίσαι χρὴ . . .

3. . . . ·ἐν ταύτῃ τῇ πόλι ἐστὶ τά τε ὕδατα *τὰ* πολλὰ ὕφαλα καὶ μετέωρα, *ὥστε*[1]) τοῦ μὲν θέρεος θερμὰ εἶναι, τοῦ δὲ χειμῶνος ψυχρά· τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν *ἀνάγκῃ*[2]) καὶ φλεγματώδεας, τάς τε . . .

1)· = § 33. 2)· = § 4.

. . . , ἃ νομίζουσι τὸ *παιδήϊον* ποιέειν καὶ . . .

4. . . . Πρῶτον μὲν τὰ ὕδατα *ταύτῃσι* σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος *ἀγλευκέα τε*· . . .

5. . . . · ὁ γὰρ ἥλιος *τὸν ἠέρα* κωλύει ἀνίσχων . . .

. . . , ἢν μή τις νοῦσος *ἄλλη* κωλύῃ.

6. . . . · αἴτιον δὲ ὅτι *ἠὴρ*[1]) τὸ . . ., ὅστις . . .

1)· ἀνάρθρως δηλονότι.

. . . · τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύνων *ἔσω* μάλιστα διέψει . . .

β'.

. : : ἀῤῥώστους· τῷ τε νοσευμάτων πάντων μ. μ. τῶν προειρημένων οὐδὲν αὐτοῖσιν ἀποκέκριται· . . .

. . . , ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἃ ἀνεπιτήδεια, : :

8. . . . , ὅσων *εἰσὶν* αἱ πηγαὶ . . .

. . . , ταῦτα *τὸ μὲν ἐπίπαν*. . . .

: . . , καὶ ταῦτα *ἐν* τοῖσι μὲν νοτίοισι . : :

9. . . . καὶ ξυγκαίειν ἀγαθαὶ ἃ *ἔνι*, τούτοισι : : :

. : : Ἀλλὰ γὰρ *ἐψευσμένα ἴσασιν* . . :

: : . καὶ τὰ *ὕφαλα*[1] . . .

[1]· = § 3.

10. . : . ξυμμέμικται[1]. *Ἔτι* δὲ . . .

[1]· παρέλκει γοῦν τὸ *ὥστε σήπεσθαι τάχιστα*.

: . . ξυστραφὲν[1], καὶ ὄμβροι γίγνονται.

[1]· σφόδρα γὰρ παρεμβλήματι ἔοικε τὸ « Τότε γὰρ ἐοικὸς τοῦτο μᾶλλον γίγνεσθαι, ὁπόταν τὰ νέφεα μὴ ὑπ' ἀνέμου στάσιν *ἔχοντα*[2]) ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον· καὶ ἕτερα νέφεα ἐνταῦθα μὲν πρὸ τῶν αὐτοῦ ξυστρέφεται, τὰ δ' ὄπισθεν ἐπιφέρεται· καὶ οὕτω παχύνεται καὶ μελαίνεται καὶ ξυστρέφεται ἐς τὸ αὐτὸ καὶ ὑπὸ βάρεος καταῤῥήγνυται. » ἅπερ Ἱπποκράτους εἶναι οὐ πάνυ πείθομαι.

[2]· ᾧ ἴσως ἕτερος αὖ προσέγραψε τὸ « ὡρμημένα ἐόντα καὶ χωρέοντα.

. . . · δέεται δὲ ἀφέψεσθαι καὶ *ἀποψύχεσθαι*· . . :

11. . . . · εἰ γὰρ *βούλοιο*, . . .

: . . πρὸς *ἅπαν χρῆμα*.

13. . . . καὶ τὸ καθαρώτατον *ἰδίῃ* καὶ . . :

. . . , ἔπειτα [*δὲ*] μέζον γ.

15. . . . , ἤ, *ἢν ζώωσι, ζώειν* λεπτά τε . : :

. . . , τοῦ σώματος μὴ ξυνιστῶνται μηδ' αἱ φλέβες, . . .

. . . καύματος[1]), τῆς μ. ἐπιγιγνομένης, . . .

[1]) ἄνευ τοῦ *καί*.

17. . . . καὶ μήτε φ. διδόναι ἑκόντα ὅ,τι ἐς [1]) κοιλίην, μήτε καίειν, μήτε τάμνειν, . . .

[1]) Διαιτ. ὀξ. 36.

19. . . . φύσι ἐγγίγνεσθαι, ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατέειν.

* * * * μήτε ὁμόφυλον μήτε ἀλλόφυλον· διότι πολύμορφα γίγνεται τὰ ἐν τοῖσι θηρίοισιν * * * *

Περὶ μὲν οὖν Αἰγυπτίων . . .

20. . . . ἔθνεα, *τὰ* ταύτῃ, . . .

21. . . . ἔτι ἁπαλὴν ἐοῦσαν[1]) ἀναπλάσσουσι . . .

[1]) = « μαλακοῦ ἐόντος ».

23. . . . ἀφ' ὅτων εἰκός [*τινα*] τὴν . . .

. . . ὑπό τε *πολέμων* καὶ ἀργίης. . . .

. . . τουτέων [1]) δὲ . . .

[1]) τῶν διαφορῶν, δηλονότι.

25. *Καὶ ἐνταῦθα* οἱ Σ. . . .

. . . καὶ τὰ πρόβατα[1]) ἐόντα, αἱ βόες καὶ οἱ ἵπποι.

[1]) πρόβατα δηλονότι καλεῖ βόας καὶ ἵππους.

26. . . . ἠήρ τε κατέχει πουλὺς τῆς *ἐρημίης* τὰ πεδία· καὶ ἐν *τούτοισι* διαιτεῦνται· . . .

. . . , *ἀλλ' ἤ*, ᾗ *ἀνατείνει ἀνάντεα* ὑπὸ τῶν ἄρκτων, αὐτόθι: Καὶ . . .

. . . , ἀλλ' [*οἷα*] οἷά τέ ἐστιν . . .

. . . , *φοραὶ* . . .

27. . . . τοὺς πολλοὺς[1]) εὑρήσεις . . .

[1]· πρόσγραμμα γὰρ εἴη ἂν τὸ « ἅπαντες ὅσοι νομάδες.

. . . Ῥοῖκα δὲ γ. καὶ *πλαδᾷ*, . . .

. . . *κάθηνται* . . . καὶ βραχύ *τι* βαδίσι χρέονται . —

. . . θαυμαστὸν οἷον ῥοϊκὰ *γίγνεται* καὶ *πλαδώδεα*.

28. . . . τε καὶ (τὴν) ψυχρότητα, ἀφ' ὅτων . . . οἵ-τε εἶναι . . .

. . . καὶ [ἡ] ὑγρότης· . . .

29. . . . ἐνάριες · [1] . . .

[1]· — ; — μῶν τούτου τοῦ ἐνάριες, ἢ, ἐνάρεες, γλ. ἦν - οἷον *ἀνδρειδέες*. — ; — Litt., Hipp. III, XLIV, [1].

. . . Ἐμοὶ δὲ καὶ *ταῦτα* δ. τὰ πάθεα . . .

. . . λαμβάνει ἅτε αἰεὶ *κρεμαμένοισιν* ἀπὸ τῶν ἵππω-τοῖσι ποσίν· . . .

30. . . . κεκτημένοισιν, οὐ *τοῖσι πολλά*· τιμώμενα *δὴ* εἰ χαίρουσιν . . .

31. . . . , ἀφ' ὅτων εἰκὸς *ἑκάστοτε* καὶ τὴν . . .

. . . *μήτε* ἐν ἐπομβρίῃ . . .

. . . · *αἰεὶ* γὰρ *φοραὶ* π. ἐγγίγνονται *τῷ γόνῳ* . .

. . . καὶ οὐκ ἄλλων *προμηθεῦνται*, ἑκόντες καὶ ἐς τ-δεινὸν ἔρχονται· . . . *

32 . . . , *ἐκεῖ* εἴη ἂν εἴδεα μεγάλα . . .

. . . τῇσί τε μεταβολῇσι τῶν ὡρέων οὐκ *εὔκρυπτα*, . .

* « ΟΥΤΙΝΟΣ ΔΟΥΛΟΙ ΚΕΚΛΗΝΤΑΙ
ΦΩΤΟΣ ΟΥΔ' ΥΠΗΚΟΟΙ. »
Αἰσχ. Περσ. 242.

Ἐν Μουνυχίᾳ, μεσοῦντος μηνὸς Θαργηλιῶνος ἕκτῃ.

Dr. C. H. Reinhold.




BIBLIOTHECA · BODLEIANA

Ad principium hujus libelli in edd. antiquis et mss. pluribus, etiam in Vossiano et Marciano legitur haec adnotatio : οὐ γνήσιον Ἱπποκράτους, ἀξιολόγου δὲ ἀνδρὸς, φησὶν ὁ Γαληνὸς, καὶ κατὰ τὴν ἑρμηνείαν καὶ κατὰ τὴν διάνοιαν· Ἱπποκράτους δὲ οὐδὲν ἐν αὐτῷ, οὔτε κατὰ τὸν τρόπον τῆς ἑρμηνείας, οὔτε κατὰ τὸ τῆς διανοίας ἀκριβές. Ejusmodi. . . .

Ermerins ἐν Hipp. II, XXX.

* προσθεῖναι ἔδοξέ μοι τῷ τεύχει τούτῳ τὸ Γαληνοῦ; *Ὅτι ἄριστος ἰατρὸς καὶ φιλόσοφος.*

D. C. H. Th. Reinhold.

ʽΙΠΠΟΚΡΑΤΗΣ.

Περὶ ἱερῆς νούσου.

1. ΠΕΡΙ μὲν τῆς ἱερῆς νούσου καλεομένης ὧδ' ἔχει· οὐ-
ν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱε-
τέρη· ἀλλὰ φύσιν μὲν ἔχει καὶ τἄλλα νοσήματα καὶ
όφασιν ἕκαστα ὅθεν γίγνεται, φύσιν δὲ καὶ τοῦτο καὶ πρό-
σιν· οἱ δ' ἄνθρωποι ἐνόμισαν θεῖόν εἶναι, ὑπὸ ἀπειρίης καὶ
υμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισιν· καὶ κατὰ
ν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γιγνώσκειν, τὸ θεῖον αὐτῇ
κσώζεται, κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος ᾧ
νται, ἀπόλλυται. Εἰ δὲ διὰ τὸ θαυμάσιον θεῖον νομιεῖται,
λλὰ τὰ ἱερὰ νοσήματα ἔσται καὶ οὐχὶ ἕν· ὡς ἐγὼ ἀπο-
ξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια οὐδὲ ἧσσον τερα-
δεα, ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. Τοῦτο μὲν γάρ, οἱ πυ-
οὶ οἱ ἀμφημερινοὶ καὶ οἱ τριταῖοι καὶ οἱ τεταρταῖοι οὐδὲν
όν μοι δοκέουσιν ἱεροὶ εἶναι καὶ ὑπὸ θεοῦ γίγνεσθαι ταύ-
της νούσου, ὧν οὐ θαυμασίως γ' ἔχουσιν· τοῦτο δέ, ὁρέω
νομένους ἀνθρώπους καὶ παραφρονέοντας ἀπὸ μηδεμιῆς
ράσιος ἐμφανέος καὶ πολλά τε καὶ ἄκαιρα ποιέοντας, ἐν
τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας, τοὺς δὲ
πνιγομένους, τοὺς δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας
καὶ παραφρονέοντας μέχρις ἂν ἐξέγρωνται, ἔπειτα δὲ
ις ἐόντας καὶ φρονέοντας ὥσπερ καὶ πρότερον, ἐόντας
ὶ τέως ὠχρούς τε καὶ ἀσθενέας, καὶ ταῦτα οὐχ ἅπαξ,

ἀλλὰ πολλάκις· ἄλλα τε πολλά ἐστι καὶ παντοδαπά, ἑκάστου πέρι λέγειν πουλὺς ἂν εἴη λόγος.

2. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νούσημα ἀφιερώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι εἰδέναι. Οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμηχανίης τοῦ μὴ ἴσχειν ὅ,τι προσενέγκαντες ὠφελήσουσιν, καὶ μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν αὐτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοιδάς, λουτρῶν τε ἀπέχεσθαι κελεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν, θαλασσίων μὲν τρίγλης, μελανούρου, κεστρέος, ἐγχέλυος, ·οὗτοι γὰρ ἰχθύες εἰσὶν ἐπικαιρότατοι· ,κρεῶν δὲ αἰγείων καὶ ἐλαφείων καὶ χοιρείων καὶ κυνῶν ·ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι κοιλίης· ,ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος καὶ ὠτίδος, ·ἃ νομίζεται ἰσχυρότατα εἶναι· λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομμύου, ·δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει· ἱμάτιον δὲ μέλαν μὴ ἔχειν, ·θανατῶδες γὰρ τὸ μέλαν· μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι μηδὲ φορέειν· μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν μηδὲ χεῖρα ἐπὶ χειρί, ·ταῦτα γὰρ πάντα κωλύματα εἶναι. Ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν ὡς πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας λέγοντες, ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλέϊ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡς οὐδὲν αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔ-

τε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιοι εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων οὐδένα ἂν ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακέαται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ,τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν αὐτοῖσιν ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα ἴηται, οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις.

3. Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίγνεται καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν ἐπιγίγνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν ἐπάγοι ἕτερα τεχνησάμενος· καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες καὶ μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι καὶ ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης μᾶλλον καὶ ὡς οἱ θεοὶ οὐκ εἰσί· τό τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω.

ἀλλὰ πολλάκις· ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ, ὧ ἑκάστου πέρι λέγειν πουλὺς ἂν εἴη λόγος.

2. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νούσημα ἀφιε ρώσαντες τοιοῦτοι εἶναι ἄνθρωποι οἷοι καὶ νῦν εἰσι μάγοι τ καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέ ονται σφόδρα θεοσεβέες εἶναι καὶ πλέον τι εἰδέναι. Οὗτι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον τῆς ἀμη χανίης τοῦ μὴ ἴσχειν ὅ,τι προσενέγκαντες ὠφελήσουσιν, ὡ μὴ κατάδηλοι ἔωσιν οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦ το τὸ πάθος εἶναι, καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους τὴ ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν αὐτοῖσι, καθαρ μοὺς προσφέροντες καὶ ἐπαοιδὰς, λουτρῶν τε ἀπέχεσθαι κε λεύοντες καὶ ἐδεσμάτων πολλῶν καὶ ἀνεπιτηδείων ἀνθρώ ποισι νοσέουσιν ἐσθίειν, θαλασσίων μὲν τρίγλης, μελανού ρου, κεστρέος, ἐγχέλυος, ·οὗτοι γὰρ ἰχθύες εἰσὶν ἐπικαιρότα τοι· ,κρεῶν δὲ αἰγείων καὶ ἐλαφείων καὶ χοιρείων καὶ κυνὸ· ·ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι κοιλίης· ,ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος καὶ ὠτίδος, ·ἃ νομίζεται ἰσχυρό τατα εἶναι· λαχάνων δὲ μίνθης, σκορόδου καὶ κρομμύου ·δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει· ἱμάτιον δὲ μέλαν μ ἔχειν, ·θανατῶδες γὰρ τὸ μέλαν· μηδὲ ἐν αἰγείῳ κατακέε σθαι δέρματι μηδὲ φορέειν· μηδὲ πόδα ἐπὶ ποδὶ ἔχειν μηδὲ χεῖρα ἐπὶ χειρὶ, ·ταῦτα γὰρ πάντα κωλύματα εἶναι. Ταῦτ δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν ὡς πλέον τι εἰδότε καὶ ἄλλας προφάσιας λέγοντες, ὅκως, εἰ μὲν ὑγιὴς γένοιτο αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης, εἰ δὲ ἀποθάνοι, ἐν ἀσφα λέϊ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι καὶ ἔχοιεν πρόφασιν ὡ οὐδὲν αἴτιοί εἰσιν αὐτοὶ, ἀλλ' οἱ θεοί· οὔτε γὰρ φαγέειν οὔ

τε πιέειν ἔδοσαν φάρμακον οὐδὲν, οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιοι εἶναι. Ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων οὐδένα ἂν ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακέαται καὶ κρέασιν αἰγείοισι χρῶνται, ἐπεὶ οὐκ ἔχουσιν οὔτε στρῶμα οὔτε ἱμάτιον οὔτε ὑπόδημα ὅ,τι μὴ αἴγειόν ἐστιν· οὐ γάρ ἐστιν αὐτοῖσιν ἄλλο προβάτιον οὐδὲν ἢ αἶγες. Εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον τίκτει τε καὶ αὔξει καὶ μὴ ἐσθιόμενα ἴηται, οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδενὸς οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά ἐστι καὶ τὰ βλάπτοντα, τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις.

3. Οὕτως οὖν ἔμοιγε δοκέουσιν οἵτινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι οὔτε θεῖα· ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίγνεται καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν ἐπιγίγνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. Ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ μαγεύων ἀπάγειν τοιοῦτον πάθος, οὗτος κἂν ἐπάγοι ἕτερα τεχνησάμενος· καὶ ἐν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. Τοιαῦτα λέγοντες καὶ μηχανεύμενοι προσποιέονται πλέον τι εἰδέναι καὶ ἀνθρώπους ἐξαπατέουσι προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅ τε πουλὺς αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει καὶ τὸ δαιμόνιον. Καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης μᾶλλον καὶ ὡς οἱ θεοὶ οὐκ εἰσί· τό τε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβές καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω.

4. Εἰ γὰρ σελήνην τε καθαιρέειν καὶ ἥλιον ἀφανίζειν καὶ χειμῶνά τε καὶ εὐδίην ποιέειν καὶ ὄμβρους καὶ αὐχμοὺς καὶ θάλασσαν εὔφορον καὶ γῆν ἄφορον καὶ τἄλλα τὰ τοιουτότροπα πάντα ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν οἷοί τε εἶναι οἱ ταῦτα ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι καὶ θεοὺς οὔτε εἶναι νομίζειν οὔτ' ἐόντας ἰσχύειν οὐδὲν, οὐδὲ εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων ποιέοντες, ἕνεκά γε τῶν θεῶν. Δεινοὶ ἄρ' αὐτοῖσίν εἰσιν· εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην τε καθαιρήσει καὶ ἥλιον ἀφανιεῖ καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγέ τι θεῖον νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον, εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. Ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι βίου δεόμενοι πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν ἔς τε τἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην, ἑκάστῳ εἴδεϊ τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες· οὐ γὰρ καθάπαξ ἑνὶ, ἀλλὰ πλεόνεσι ταῦτα νενέμηται· ἢν μὲν γὰρ αἶγα μιμῶνται κἢν βρυχῶνται κἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶν αἰτίην εἶναι· ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι καί φασι Ποσειδῶνα αἴτιον εἶναι· ἢν δὲ καὶ τῆς κόπρου τι παρίῃ, ὅ τισι γίγνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, Ἰδαίης θεοῦ πρόσκειται ἡ προσωνυμίη· ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος· ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει· ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται καὶ φόβοι καὶ παράνοιαι καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης καὶ φόβητρα καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβολὰς καὶ ἡρώων

ἐφόδους. Καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν τε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει, τὸ θεῖον· καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ αἵμασί τε καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιούτοισιν ὥσπερ μίασμά τι ἔχοντας ἢ ἀλάστορας ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων ἤ τι ἔργον ἀνόσιον εἰργασμένους· οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν, θύειν τε καὶ εὔχεσθαι καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς· νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδὲν, καθαίρουσι δέ· καὶ τὰ μὲν τῶν καθαρμῶν γῇ κρύπτουσι, τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι, τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅκη μηδεὶς ἅψεται μηδὲ ἐπιβήσεται· τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γέ ἐστιν αἴτιος. Οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου· ἀλλὰ, κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον ἤ τι πεπονθὸς, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. Τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα τὸ θεῖόν ἐστι τὸ καθαῖρον καὶ ἁγνίζον καὶ ῥῦμα γιγνόμενον ἡμῖν, αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν καὶ τῶν τεμενέων ἀποδείκνυμεν, οἵους ἂν μηδεὶς ὑπερβαίνῃ ἢν μὴ ἁγνεύῃ, εσιόντες τε περιῤῥαινόμεθα οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀφαγνιούμενοι. Καὶ περὶ μὲν τῶν καθαρμῶν οὕτω μοι δοκέει ἔχειν.

5. Τὸ δὲ νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλ' ἀπὸ ταὐτοῦ γίγνεσθαι ἀφ' ὅτου καὶ τἄλλα πάντα, καὶ ἰητὸν εἶναι οὐδὲν ἧσσον ἑτέρων, ὅ,τι ἂν μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ἔῃ, ὥστε ἤδη ἰσχυρότερον εἶναι τῶν φαρμάκων τῶν προσφερομένων. Ἄρχε-

ται δὲ ὥσπερ καὶ τἄλλα νοσήματα κατὰ γένος· εἰ γὰρ ἐκ φλεγματώδεος φλεγματώδης καὶ ἐκ χολώδεος χολώδης γίγνεται καὶ ἐκ φθινώδεος φθινώδης καὶ ἐκ σπληνώδεος σπληνώδης, τί κωλύει ὅτῳ πατὴρ ἢ μήτηρ εἴχετο νοσήματι, τούτῳ καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς ἀπό τε τῶν νοσερῶν νοσερός. Ἕτερον δὲ μέγα τεκμήριον ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νοσημάτων· τοῖσι γὰρ φλεγματώδεσι φύσει γίγνεται, τοῖσι δὲ χολώδεσιν οὐ προσπίπτει· καίτοι, εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίγνεσθαι τὴν νοῦσον ταύτην καὶ μὴ διακρίνειν μήτε χολώδεα μήτε φλεγματώδεα.

6. Ἀλλὰ γὰρ αὐτός ἐστιν αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ καὶ τῶν ἄλλων νοσημάτων τῶν μεγίστων· ὁτέῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίγνεται, ἐγὼ φράσω σαφέως. Ὁ ἐγκέφαλος τῷ ἀνθρώπῳ ἐστὶ διπλόος ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασιν· τὸ δὲ μέσον αὐτοῦ διείργει μῆνιγξ λεπτή· διὸ οὐκ αἰεὶ κατὰ τωὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρεϊ ἑκάτερον, ὁτὲ δὲ ἅπασαν. Καὶ φλέβες δ' ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος πολλαὶ καὶ λεπταί, δύο δὲ παχεῖαι, ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ἡ δὲ ἀπὸ τοῦ σπληνός. Καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος ὧδ' ἔχει· τὸ μέν τι τῆς φλεβὸς κάτω τείνει διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύην ἐς τὸ ἐντὸς τοῦ μηροῦ καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ· ἡ δὲ ἑτέρη ἄνω τείνει διὰ φρενῶν τῶν δεξιῶν καὶ τοῦ πνεύμονος· ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν· τὸ δὲ λοιπὸν ἄνω φέρει διὰ τῆς κληῗδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος ἐς

10. Ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας ἃς προείρηκα τὸν κατάῤῥοον ποιήσηται, ἄφωνός τε γίγνεται καὶ πνίγεται καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει καὶ οἱ ὀδόντες ξυνηρείκασι καὶ αἱ χεῖρες ξυσπῶνται καὶ τὰ ὄμματα διαστρέφονται καὶ οὐδὲν φρονέουσιν, ἐνίοισι δὲ καὶ ὑποχωρέει κόπρος κάτω· καὶ ταῦτα γίγνεται ὁτὲ μὲν ἐς τὰ ἀριστερὰ, ὁτὲ δὲ ἐς τὰ δεξιὰ, ὁτὲ δὲ ἐς ἀμφότερα. Ὅκως δὲ τούτων ἕκαστον πάσχει ἐγὼ φράσω· ἄφωνος μέν ἐστιν ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας ἀποκλείσῃ τὸν ἠέρα καὶ μὴ παραδέχηται μήτε ἐς τὸν ἐγκέφαλον μήτε ἐς τὰς φλέβας τὰς κοίλας μήτε ἐς τὰς κοιλίας, ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν· ὅταν γὰρ λάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας τὸ πνεῦμα, πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται, ἔπειτα δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος, τὸ δὲ ἐπὶ τὸν πνεύμονα, τὸ δὲ ἐπὶ τὰς φλέβας· ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα. Καὶ ὅσον μὲν ἐς τὴν κοιλίην ἔρχεται, τοῦτο μὲν τὴν κοιλίην διαψύχει, καὶ ἄλλο τι οὐδὲν ξυμβάλλεται· ὁ δ' ἐς τὸν πνεύμονά τε καὶ τὰς φλέβας ἀὴρ ξυμβάλλεται ἐς τὰς κοιλίας ἐσιὼν καὶ ἐς τὸν ἐγκέφαλον, καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει· ὥστε, ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. Αἱ δὲ χεῖρες ἀκρατέες γίγνονται καὶ σπῶνται τοῦ αἵματος ἀτρεμίσαντος καὶ μὴ διαχεομένου ὥσπερ εἰώθει· καὶ οἱ ὀφθαλμοὶ διαστρέφονται τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος καὶ σφυζόντων· ἀφρὸς δὲ ἐκ τοῦ στόματος προέρχεται ἐκ τοῦ πνεύμονος· ὅταν γὰρ τὸ πνεῦμα μὴ ἐσίῃ ἐς αὐτὸν, ἀφρέει καὶ αναβλύει ὥσπερ

φλατος, ἢ φλέψ τις συνισχνανθῇ, ἐκεῖνο κακοῦται τὸ μέρος, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ· ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. Καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν καὶ ἐς τὰ οὔατα καὶ ἐς τὸν ἄλλον χρῶτα καὶ σιαλώδεα γίγνεται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης· ἐνταῦθα γὰρ ἀφίει καὶ ἐκκαθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐν τῇ μήτρῃ καθαρθῆναι· καὶ τὰ οὕτω καθαρθέντα οὐκ ἐπίληπτα γίγνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πουλύ. Ὁκόσα δὲ καθαρά τέ ἐστι, καὶ μήτε ἕλκος μηδὲν μήτε μύξα μήτε σίελον αὐτοῖσι προέρχεται μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τουτέοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου.

9. Ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥοος τὴν πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίγνονται· ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα· αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι πρὸς τῷ πνεύμονι καὶ τῇ καρδίῃ πηδῶσι καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν καὶ τὴν ὀρθόπνοιαν. Οὐ γὰρ δέχεσθαι τὸ πνεῦμα ἐθέλει, μέχρις ἂν κρατηθῇ τοῦ φλέγματος τὸ ἐπιῤῥυὲν, καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας· ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος· παύεται δὲ ὅκως ἂν τοῦ πλήθεος ἔχῃ· ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, σχολαίτερον, ἢν δὲ ἔλασσον, θᾶσσον· καὶ ἢν μὲν πυκνότεροι ἔωσιν οἱ κατάῤῥοοι, πυκνότερα ἐπίληπτος γίγνεται, ἢν δὲ μὴ, ἀραιότερα. Ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίην ἴῃ· ἢν δὲ ἐς τὴν κοιλίην, διάῤῥοιαι λαμβάνουσιν.

οὐ γὰρ ἔτι ἐπίληπτον γίγνεται, ἢν ἅπαξ ἐπισημανθῇ, διὰ τόδε· ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται καὶ μέρος τι ξυνισχναίνονται, ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον μηκέτι ὁμοίως ἐπικαταῤῥέειν· ἀσθενέστερα μέντοι τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισέων. Ὁκόσοισι δ' ἂν βόρειόν τε καὶ πάνυ ὀλίγον παραῤῥυῇ καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίγνονται· κίνδυνος δὲ ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισιν. Τοῖσι μὲν οὖν παιδίοισιν οὕτω γίγνεται ἢ ὅτε τούτων ἐγγυτάτω.

12. Τοὺς δὲ πρεσβυτέρους οὐκ ἀποκτείνει, ὁκόταν ἐπιγένηται, οὐδὲ διαστρέφει· αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι καὶ αἵματος μεσταὶ θερμοῦ· διὸ οὐ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, οὐδ' ἀποψῦξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι, ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως· καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα ἐγγίγνεται, τά τε σημήϊα τὰ προειρημένα ἧσσον ἐπιλαμβάνει διὰ τὴν ἰσχύν. Τοῖσι δὲ πρεσβυτάτοισιν ὁκόταν ἐπιγένηται τοῦτο τὸ νούσημα, διὰ τοῦτο ἀποκτείνει ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κεκένωνται καὶ τὸ αἷμα ὀλίγον τέ ἐστι καὶ λεπτὸν καὶ ὑδαρές. Ἢν μὲν οὖν πουλὺ καταῤῥυῇ καὶ χειμῶνος ἔῃ καιρὸς, ἀποκτείνει· ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς καὶ ἀπέπηξε τὸ αἷμα, ἢν ἐπ' ἀμφότερα ὁ κατάῤῥοος γένηται· ἢν δὲ ἐπὶ θάτερα μοῦνον, παράπληκτον ποιέει· οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν ἐπάγη, ὥστε ἀκρατέα εἶναι ἐκεῖνα καθ' ἃ τὸ αἷμα διεφθάρη.

13. Ἐς δὲ τὰ δεξιὰ μᾶλλον καταῤῥέει ἢ ἐς τὰ αριστε-

ἀποθνήσκων· ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου· πνίγεται δὲ τοῦ ἥπατος καὶ τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου· προσπίπτει δὲ ὁκόταν τὸ πνεῦμα μὴ ἐσίῃ ἐς τὰς φλέβας ὅσον εἰώθει· λακτίζει δὲ τοῖσι ποσὶν ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι καὶ μὴ οἷός τε ἔῃ διεκδῦναι ἔξω ὑπὸ τοῦ φλέγματος, ἀΐσσων δὲ διὰ τοῦ αἵματος ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. Ταῦτα δὲ πάσχει πάντα ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ ἐς τὸ αἷμα θερμὸν ἐόν· ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα· κἢν μὲν τὸ ῥεῦμα πουλὺ ἔῃ καὶ παχὺ, αὐτίκα ἀποκτείνει· κρατέει γὰρ τοῦ αἵματος τῷ ψύχεϊ καὶ πήγνυσιν· ἢν δὲ ἔλασσον ἔῃ, τὸ μὲν παραυτίκα κρατέει ἀποφράξαν τὴν ἀναπνοήν, ἔπειτα τῷ χρόνῳ ὁκόταν σκεδασθῇ κατὰ τὰς φλέβας καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα αἱ φλέβες, καὶ ἐφρόνησεν.

11. Καὶ ὁκόσα μὲν παιδία σμικρὰ κατάληπτα γίγνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται καὶ νότιον ἔῃ· τὰ γὰρ φλέβια λεπτὰ ἐόντα οὐ δύναται παραδέχεσθαι τὸ φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει· ἢν δὲ ὀλίγον ἔῃ καὶ ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς τὰς ἐπὶ θάτερα, περιγίγνεται ἐπίσημα ἐόντα· ἢ γὰρ στόμα παρέσπασται ἢ ὀφθαλμὸς ἢ αὐχὴν ἢ χεὶρ, ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος κρατηθῇ καὶ ἀπισχνανθῇ. Τούτῳ οὖν τῷ φλεβίῳ ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν· ἐς δὲ τὸν πλείονα χρόνον ὠφελέει ὡς ἐπὶ τὸ πουλύ.

ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου ξύντροφος ἔῃ, ἀλλ' ἢ ὀλίγους ἢ οὐδένα· αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος καὶ ὁ ἐγκέφαλος ξυνέστηκε καὶ ἐστὶ στιφρὸς, ὥστε οὐκ ἐπικαταῤῥέει ἐπὶ τὰς φλέβας· ἢν δ' ἐπικαταῤῥυῇ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος.

14. Οἷσι δὲ ἀπὸ παιδίου ξυνηύξηται καὶ ξυντέτροφεν, ἔθος πεποίηται ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν καὶ ἐπίληπτον ὡς τὰ πολλὰ γίγνεσθαι, καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν· ἥ τε ἀπάλλαξις χαλεπὴ γίγνεται· ὁ γὰρ ἐγκέφαλος ὑγρότερος γέγονε τῆς φύσιος καὶ πλημμυρέει ὑπὸ τοῦ φλέγματος, ὥστε τοὺς μὲν καταῤῥόους πυκνοτέρους γίγνεσθαι, ἐκκριθῆναι δὲ μηκέτι οἷόν τε εἶναι τὸ φλέγμα μηδὲ ἀναξηρανθῆναι τὸν ἐγκέφαλον, ἀλλὰ διαβεβρέχθαι καὶ εἶναι ὑγρόν. Γνοίη δ' ἄν τις τόδε μάλιστα τοῖσι προβάτοισι τοῖσι καταλήπτοισι γιγνομένοισιν ὑπὸ τῆς νούσου ταύτης καὶ μάλιστα τῇσιν αἰξὶν, αὗται γὰρ πυκνότατα λαμβάνονται· ἢν διακόψῃς τὴν κεφαλὴν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα καὶ ὕδρωπος περίπλεων καὶ κακὸν ὄζοντα· καὶ ἐν τούτῳ δηλονότι γνώσῃ ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νοῦσος. Οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ· ὅκου ἂν χρόνος ἐγγένηται τῇ νούσῳ, οὐκ ἔτι ἰήσιμος γίγνεται· διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται, τὸ δὲ ἀποτηκόμενον ὕδωρ γίγνεται καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει· καὶ διὰ τοῦτο πυκνότερον ἐπίληπτοι γίγνονται καὶ ῥᾷον· διὸ δὴ πολυχρόνιος ἡ νοῦσος· ὅτι τὸ ἐπιῤῥέον λεπτόν ἐστιν ὑπὸ πολυπληθείης καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται.

15. Ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγιγνώσκουσιν ὁκόταν μέλλῃ λήψεσθαι, καὶ φεύγουσιν ἐκ τῶν ἀνθρώπων, ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ἔῃ, οἴκαδε, ἢν δὲ μὴ, ἐς τὸ ἐρημότατον, ὅκη μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται· τοῦτο δὲ ποιέει ὑπ' αἰσχύνης τοῦ πάθεος καὶ οὐχ ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, τοῦ δαιμονίου. Τὰ δὲ παιδάρια τὸ μὲν πρῶτον πίπτουσιν ὅκη ἂν τύχωσιν, ὑπ' ἀηθείης· ὅταν δὲ πλεονάκις κατάληπτοι γένωνται, ἐπειδὰν προαίσθωνται, φεύγουσι παρὰ τὰς μητέρας ἢ παρὰ ἄλλον ὅντινα μάλιστα γιγνώσκουσιν, ὑπὸ δέους καὶ φόβου τοῦ πάθεος· τὸ γὰρ αἰσχύνεσθαι παῖδες ἐόντες οὔπω γιγνώσκουσιν.

16. Ἐν δὲ τῇσι μεταβολῇσι τῶν πνευμάτων διὰ τάδε φημὶ ἐπιλήπτους γίγνεσθαι καὶ μάλιστα τοῖσι νοτίοισιν, ἔπειτα καὶ τοῖσι βορείοισιν, ἔπειτα καὶ τοῖσι λοιποῖσι πνεύμασι· ταῦτα δέ ἐστιν ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστι καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. Ὁ μὲν γὰρ βορέης ξυνίστησι τὸν ἠέρα καὶ τὸ θολερόν τε καὶ νεφῶδες ἐκκρίνει καὶ λαμπρόν τε καὶ διαφανέα ποιέει· κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἐξαερούμενα καὶ τῶν ἄλλων ὑδάτων· ἐκκρίνει γὰρ ἐξ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερὸν, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων· διὸ καὶ ὑγιεινότατός ἐστι τῶν ἀνέμων. Ὁ δὲ νότος τἀναντία τούτῳ ἐργάζεται· πρῶτον μὲν γὰρ ἄρχεται τὸν ἠέρα ξυνεστεῶτα τήκειν καὶ διαχέειν, καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ γαληνίζει πρῶτον, ὅτι οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει· τὸ δ'

αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται καὶ τὴν θάλασσαν καὶ τοὺς ποταμοὺς καὶ τὰς κρήνας καὶ τὰ φρέατα καὶ ὅσα φύεται καὶ ἐν οἷσιν ὑγρὸν ἔνεστιν· ἔστι δὲ ἐν παντὶ, ἐν μὲν τῷ πλέον, ἐν δὲ τῷ ἔλασσον· ἅπαντα δὲ ταῦτα αἰσθάνεται τοῦ πνεύματος τούτου καὶ ἔκ τε λαμπρῶν δνοφερώδεα γίγνεται ἔκ τε ψυχρῶν θερμὰ καὶ ἐκ ξηρῶν νοτώδεα· ὁκόσα τε ἐν οἰκήμασι κεράμια ἢ κατὰ γῆς ἐστι μεστὰ οἴνου ἢ ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου καὶ διαλλάσσει τὴν μορφὴν ἐς ἕτερον εἶδος· τόν τε δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα πουλὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. Ὅτε οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατέει καὶ τὸ σῶμα ποιέει αἰσθάνεσθαι καὶ μεταβάλλειν ἐν τῶν ἀνέμων τούτων τῇσι μεταλλαγῇσιν, ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε καὶ φλυδᾶν τὸν ἐγκέφαλον καὶ τὰς φλέβας χαλαρωτέρας εἶναι, τοῖσι δὲ βορίοισι ξυνίστασθαι τὸ ὑγιηρότατον τοῦ ἐγκεφάλου, τὸ δὲ νοσερώτατον καὶ ὑγρότατον ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν, καὶ οὕτω τοὺς καταῤῥόους ἐπιγίγνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. Οὕτως ἡ νοῦσος αὕτη γίγνεται καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων καὶ οὐδέν ἐστιν ἀπορωτέρη τῶν ἄλλων οὔτε ἰῆσθαι οὔτε γνῶναι, οὐδὲ θειοτέρη ἢ ὅσαι ἄλλαι.

17. Εἰδέναι δὲ χρὴ τοὺς ἀνθρώπους, ὅτι ἐξ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίγνονται καὶ αἱ εὐφροσύναι καὶ γέλωτες καὶ παιδιαὶ ἢ ἐντεῦθεν, ὅθεν καὶ λῦπαι καὶ ἀνίαι καὶ δυσφροσύναι καὶ κλαυθμοί· καὶ τούτῳ φρονεῦμεν μάλιστα καὶ νοεῦμεν καὶ βλέπομεν καὶ ἀκούομεν καὶ γιγνώσκομεν τά τε αἰσχρὰ καὶ τὰ καλὰ καὶ τὰ κακὰ καὶ τὰ ἀγαθὰ καὶ ἡδέα καὶ ἀη-

δέα, τὰ μὲν νόμῳ διακρίνοντες, τὰ δὲ τῷ ξυμφέροντι αἰσθανόμενοι· τῷ δὲ καὶ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας τοῖσι καιροῖσι διαγιγνώσκουσιν οὐ ταὐτὰ ἀρέσκει ἡμῖν· τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖν τὰ μὲν νύκτωρ, τὰ δὲ καὶ μεθ' ἡμέρην, καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι καὶ φροντίδες οὐχ ἱκνεύμεναι καὶ ἀγνωσίη τῶν καθεστεώτων καὶ ἀήθεια καὶ ἀπειρίη. Καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα ὅταν οὗτος μὴ ὑγιαίνῃ, ἀλλ' ἢ θερμότερος τῆς φύσιος γένηται ἢ ψυχρότερος ἢ ὑγρότερος ἢ ξηρότερος ἤ τι ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν φύσιν ὃ μὴ εἰώθει. Καὶ μαινόμεθα μὲν ὑπὸ ὑγρότητος· ὁκόταν γὰρ ὑγρότερος τῆς φύσιος ἔῃ, ἀνάγκη κινέεσθαι, κινευμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν μήτε τὴν ἀκοὴν, ἀλλ' ἄλλοτε ἄλλο ὁρᾷν καὶ ἀκούειν τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε· ὁκόσον δ' ἂν ἀτρεμίσῃ ὁ ἐγκέφαλος χρόνον, τοσοῦτον καὶ φρονέει ὥνθρωπος.

18. Γίγνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ χολῆς· γνώσῃ δὲ ἑκάτερα ὧδε· οἱ μὲν γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμενοι ἥσυχοί τέ εἰσι καὶ οὐ βοῶσιν οὐδὲ θορυβέουσιν, οἱ δὲ ὑπὸ χολῆς κεκράκται τε καὶ κακοῦργοι καὶ οὐκ ἀτρεμαῖοι, ἀλλ' αἰεί τι ἄκαιρον δρῶντες. Ἢν μὲν οὖν ξυνεχέως μαίνωνται, αὗται αὐτοῖσιν αἱ προφάσιες· ἢν δὲ δείματα καὶ φόβοι παριστῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκεφάλου· μεθίσταται δὲ θερμαινόμενος· θερμαίνεται δὲ ὑπὸ τῆς χολῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέφαλον κατὰ τὰς φλέβας τὰς αἱματίτιδας ἐκ τοῦ σώματος· καὶ φόβος παρέστηκε μέχρις ἀπέλθῃ πάλιν ἐπὶ τὰς φλέβας τὰς κατὰ τὸ σῶμα· ἔπειτα

πέπαυται. Ἀνιᾶται δὲ καὶ ἀσᾶται παρὰ καιρὸν ψυχομένου τοῦ ἐγκεφάλου καὶ ξυνισταμένου παρὰ τὸ ἔθος· τοῦτο δὲ ὑπὸ φλέγματος πάσχει· ἐπ' αὐτοῦ δὲ τοῦ πάθεος ἐπιλήθεται. Καὶ νύκτωρ δὲ βοᾷ καὶ κέκραγεν, ὁκόταν ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται· τοῦτο δὲ πάσχουσιν οἱ χολώδεες, οἱ φλεγματώδεες δὲ οὔ· διαθερμαίνεται δὲ καὶ ἐπὴν τὸ αἷμα ἐπέλθῃ πουλὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ. Ἔρχεται δὲ κατὰ τὰς φλέβας πουλὺ τὰς προειρημένας, ὁκόταν τυγχάνῃ ὥνθρωπος ὁρέων ἐνύπνιον φοβερὸν καὶ ἐν τῷ φόβῳ ἔῃ· ὥσπερ οὖν καὶ ἐγρηγορότι τότε μάλιστα τὸ πρόσωπον φλογιᾷ καὶ οἱ ὀφθαλμοὶ ἐρεύθονται, ὁκόταν φοβῆται καὶ ἡ γνώμη ἐπινοέῃ τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει· ὁκόταν δὲ ἐπέγρηται καὶ καταφρονήσῃ καὶ τὸ αἷμα πάλιν ἀποσκεδασθῇ ἐς τὰς φλέβας τὰς κατὰ τὸ σῶμα, πέπαυται.

19. Κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ· οὗτος γὰρ ἡμῖν ἐστι τῶν ἀπὸ τοῦ ἠέρος γιγνομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ· τὴν δὲ φρόνησιν αὐτῷ ὁ ἀὴρ παρέχεται. Οἱ δὲ ὀφθαλμοὶ καὶ τὰ ὦτα καὶ ἡ γλῶσσα καὶ αἱ χεῖρες καὶ οἱ πόδες οἷα ἂν ὁ ἐγκέφαλος γιγνώσκῃ, τοιαῦτα πρήσσουσι· γίγνεται γὰρ παντὶ τῷ σώματι τῆς φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. Ἐς δὲ τὴν ξύνεσιν ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων· ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὥνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται καὶ οὕτως ἐς τὸ λοιπὸν σῶμα σκίδναται ὁ ἀὴρ καταλελοιπὼς ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν καὶ ὅ,τι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον· εἰ γὰρ ἐς τὸ σῶμα πρῶτον ἀφικνέετο καὶ ὕστερον ἐς τὸν ἐγκέφαλον, ἐν τῇσι

σαρξὶ καὶ ἐν τῇσι φλεψὶ καταλελοιπὼς τὴν διάγνωσιν,
τὸν ἐγκέφαλον ἂν ἥει θερμὸς ἔτι ἐὼν καὶ οὐχὶ ἀκραιφνὴ
ἀλλ' ἐπιμεμιγμένος τῇ ἰκμάδι τῇ ἀπό τε τῶν σαρκῶν κ
τοῦ αἵματος, ὥστε μηκέτι εἶναι ἀκριβής.

20. Διό φημι τὸν ἐγκέφαλον εἶναι τὸν ἑρμηνεύοντα τ
ξύνεσιν· αἱ δὲ φρένες ἄλλως οὔνομα ἔχουσι τῇ τύχῃ κεκτ
μένον καὶ τῷ νόμῳ, τῷ δ' ἐόντι οὐκ, οὐδὲ τῇ φύσι· οὐ
οἶδα ἔγωγε τίνα δύναμιν ἔχουσιν αἱ φρένες ὥστε φρονέ
τέ καὶ νοέειν, πλὴν εἴ τι ὥνθρωπος ὑπερχαρείη ἐξ ἀδοκήτ
ἢ ἀνιηθείη, πηδῶσι καὶ ἅλσιν παρέχουσιν ὑπὸ λεπτότητ
καὶ ὅτι ἀνατέτανται μάλιστα ἐν τῷ σώματι καὶ κοιλίην οι
ἔχουσιν, πρὸς ἣν δέξονται ἢ ἀγαθὸν ἢ κακὸν προσπίπτε
ἀλλ' ὑπ' ἀμφοτέρων τούτων τεθορύβηνται διὰ τὴν ἀσθένει
τῆς φύσιος· ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς πρότερον τῶν ἐν τ
σώματι ἐόντων, ἀλλὰ μάτην τοῦτο τὸ οὔνομα ἔχουσι κ
τὴν αἰτίην, ὥσπερ τὰ πρὸς τῇ καρδίῃ ἄπερ ὦτα καλέετο
οὐδὲν ἐς τὴν ἀκοὴν ξυμβαλλόμενα. Λέγουσι δέ τινες ὡς φρ
νέομεν τῇ καρδίῃ καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φρο
τίζον· τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ σπᾶται μὲν ὥσπερ
φρένες καὶ μᾶλλον, διὰ τὰς αὐτὰς αἰτίας· ἐξ ἅπαντος γ
τοῦ σώματος φλέβες ἐς αὐτὴν ξυντείνουσι καὶ ξυγκλύσι
ἔχει, ὥστε αἰσθάνεσθαι ἤν τις πόνος ἢ τάσις γίγνηται τῷ ἀ
θρώπῳ· ἀνάγκη γὰρ καὶ ἀνιωμένῳ φρίσσειν τὸ σῶμα κ
ξυντείνεσθαι καὶ ὑπερχαίροντι ὑπὸ τούτων τὸ αὐτὸ πάσχε
ὅτι ἡ καρδίη αἰσθάνεταί τι μάλιστα καὶ αἱ φρένες· τῆς μέ
τοι φρονήσιος οὐδετέρῳ μέτεστιν, ἀλλὰ πάντων τούτων
ἐγκέφαλος αἴτιός ἐστιν· ὥσπερ οὖν καὶ τῆς ἐφορμήσιος τ
ἠέρος πρῶτος αἰσθάνεται ὁ ἐγκέφαλος τῶν ἐν τῷ σώματι

νεόντων, οὕτω καὶ ἤν τις μεταβολὴ ἰσχυροτέρη γένηται ἐν τῷ ἠέρι ὑπὸ τῶν ὡρέων, καὶ αὐτὸς ἑωυτοῦ διάφορος γίγνεται ξὺν τῷ ἠέρι· ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτον πρῶτος αἰσθάνεται· διὸ καὶ τὰ νοσήματα ἐς αὐτὸν ἐμπίπτειν φημὶ ὀξύτατα καὶ μέγιστα καὶ θανατωδέστατα καὶ δυσκριτώτατα τοῖσιν ἀπείροισιν.

21. Αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ καλεομένη ἐκ τῶν αὐτῶν προφασίων γίγνεται ἀφ' ὧν καὶ αἱ λοιπαί, ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων, οἷον ψύχεος καὶ ἡλίου καὶ πνευμάτων μεταβαλλομένων τε καὶ μηδέποτε ἀτρεμιζόντων. Ταῦτα δ' ἐστὶ θεῖα· ὥστε μηδὲν δεῖ ἀποκρίνοντα νούσημα θειότερον τῶν λοιπῶν νομίζειν, ἀλλὰ πάντα θεῖα καὶ ἀνθρώπινα πάντα· φύσιν δὲ ἔχει ἕκαστον καὶ δύναμιν ἐφ' ἑωυτοῦ καὶ οὐδὲν ἄπορόν ἐστιν οὐδὲ ἀμήχανον· ἀκεστά τε τὰ πλεῖστά ἐστι τοῖσιν αὐτοῖσι τούτοισιν ἀφ' ὅτων καὶ γίγνεται· ἕτερον γὰρ ἑτέρῳ τροφή ἐστι, τῷ δὲ κάκωσις. Τοῦτο οὖν δεῖ τὸν ἰητρὸν ἐπίστασθαι, ὅκως τὸν καιρὸν διαγιγνώσκων ἑκάστου τὸ μὲν ἀποδώσει τροφῇ καὶ αὐξήσει, τὸ δὲ ἀφαιρέσει καὶ κακώσει. Χρὴ δὲ καὶ ἐν ταύτῃ τῷ νούσῳ καὶ ἐν τῇσιν ἄλλῃσιν ἁπάσῃσι μὴ αὔξειν τὰ νοσήματα, ἀλλὰ σπεύδειν τρύχειν προσφέροντας τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ καὶ μὴ τὸ φίλον καὶ ξύνηθες· ὑπὸ μὲν γὰρ τῆς ξυνηθείης θάλλει τε καὶ αὔξεται, ὑπὸ δὲ τοῦ πολεμίου φθίνει τε καὶ ἀμαυροῦται. Ὅστις δὲ ἐπίσταται ἐν ἀνθρώποισι ποιέειν τοιαύτην μεταβολὴν καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποιέειν καὶ θερμὸν καὶ ψυχρὸν ὑπὸ διαίτης τὸν ἄνθρωπον, οὗτος καὶ ταύτην τὴν νοῦσον ἰῷτο ἄν, εἰ τοὺς καιροὺς διαγιγνώσκοι τῶν ξυμφερόντων, ἄνευ καθαρμῶν καὶ μαγευμάτων καὶ πάσης ἄλλης βαναυσίης τοιαύτης.

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

1. . . . . οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱερωτέρη· ἀλλὰ *φύσιν μὲν ἔχει καὶ τἄλλα νοσήματα καὶ πρόφασιν ἕκαστα ὅθεν γίγνεται, φύσιν δὲ καὶ τοῦτο καὶ πρόφασιν·* οἱ δ' ἄνθρωποι ἐνόμισαν θεῖον εἶναι . . .

. . . οὐδὲ [ἧσσον] τερατώδεα.

. . . , ἐόντας τ' *αὖ τέως ὠχρούς* . . .

. . . ὧν ἑκάστου πέρι . . .

2. . . . ἐστι κοιλίης· . . .

. . . ἢ αἶγες. [1])

[1]) ἄνευ τοῦ ἀτόπου « καὶ βόες ».

4. . . . θάλασσαν *εὔφορον* καὶ γῆν *ἄφορον*. . . .

. . . , οὐδὲ εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων ποιέοντες, *ἕνεκά γε τῶν θεῶν*. Δεινοὶ ἄρ' αὐτοῖσίν εἰσιν· εἰ γὰρ . .

. . . θεῷ τὴν αἰτίην προστιθέντες· *οὐ γὰρ καθάπαξ ἐν*, *ἀλλὰ πλεόνεσι ταῦτα νενέμηται* ἢν μὲν γὰρ . . .

. . . , *ὅ τισι* [1]) γίγνεται ὑπὸ τ. ν. βιαζ., *Ἰδαίη* [2]) *θεοῦ* . . .

[1]) = § 10· ἢ, ὃ πολλάκις γ. *τοῖσιν* ὑπὸ . . .

[2]) *Ἰδαίης* = ἠνταίης Cob. Erm.

. . . καὶ *ῥῦμα* . . .

. . . ἀποδείκνυμεν, *οἵους* ἂν . . .

5. Τὸ δὲ νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, *ἀλλ'* [1]) *ἀπὸ* ταὐτοῦ γίγνεσθαι ἀφ' ὅτου . .

[1]). τὰ λοιπὰ γὰρ ἀναμέμικται τῇδε παρὰ τῆς 1ης §.

. . . καὶ ἰητὸν [1]) οὐδὲν ἧσσον . . .

[1]). καίτοι ἐπιεικῶς ἔχει καὶ ἡ γραφὴ « καὶ οὐδὲν . .

ϐ'.

. . . , ὅτῳ πατὴρ ἢ μήτηρ εἴχετο νοσήματι, τούτῳ καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα ;

6. Ἀλλὰ γὰρ *αὐτός ἐστιν* αἴτιος . . .

. . . Ὁ ἐγκέφαλος *τῷ* ἀνθρώπῳ . . .

10. . . . , ἐνίοισι δὲ καὶ ὑποχωρέει [1]) κόπρος κάτω˙...

[1]). ἄνευ δὴ τοῦ ἡ.

13. . . . , ὅτι αἱ φλέβες αἱ ἀπὸ τοῦ ἥπατος τείνουσαι ἐπικοιλότεραί εἰσι καὶ πλέονες ἢ ἐν τοῖσιν ἀριστεροῖσιν αἱ ἀπὸ τοῦ σπληνός.

. . . , οἷσιν ἂν, *ἐπειδὰν* διαθερμανθῇ . . . πυρὸς, *ἔπειτα* ἐξαπίνης . . .

. . . καὶ ἐχάλασεν, [1]) ὥστε . . .

[1]). ἄνευ τοῦ «ἐξαίφνης», ἀνθ' οὗ πάντως ἐχρῆν *ἐξαπίνης*.

14. . . . : *ὅκου ἂν* χρόνος . . .

15. . . . ὁκόταν *μέλλῃ* λήψεσθαι [1]) , . . .

[1]). ἢ, . . μέλλωσι ληφθήσεσθαι, . . .

16. . . . καὶ τἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἐξ*αερούμενα* καὶ τῶν . . .

17. . . . τοῖσι καιροῖσι διαγιγνώσκουσιν οὐ ταὐτὰ . . .

18. . . . ἐπὶ τὰς φλέβας [τὰς] *κατὰ* τὸ σῶμα ˙ . . .

. . . ἐς τὰς φλέβας *τὰς κατὰ τὸ σῶμα*, πέπαυται.

20. . . . ξυντείνουσι καὶ ξυγ*κλύσιας* ἔχει, . . .

. . . ˙ ἀνάγκη γὰρ καὶ ἀνιω*μένῳ* φ. τὸ σῶμα καὶ ξ. καὶ ὑπερ*χαίροντι* ὑπὸ *τούτων* . . πάσχειν, *ὅτι* ἡ καρδίη αἰσθάνεταί *τι* μάλιστα καὶ αἱ φρένες ˙ . . .

. . . ˙ ὥσπερ οὖν καὶ τῆς *ἐφορμήσιος* τοῦ ἠέρος . . .

. . . , καὶ αὐτὸς ἑωυτοῦ διάφορος *γίγνεται ξὺν* τῷ ἠέρι˙ ὁ γὰρ ἐγκέφαλος διὰ τοῦ*τον* πρῶτος αἰσθάνεται ˙ . . .

21. . . . ˙ ὥστε *μηδὲν δεῖ ἀποκρίνοντα νούσημα* θειότερον τῶν λοιπῶν νομίζειν, . . .

. . . ἐν ἀνθρώποισι *ποιέειν* τοιαύτην . . .

* ! Erm. σελ. 61, [1]). λωβιᾶσαι = λεπριᾶσαι !

ΕΔΑΦΟΥΣ ΟΒΕΛΙΣΜΟΣ.

1. . . . οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων οὐδὲ ἱερωτέρη· ἀλλὰ *φύσιν μὲν ἔχει καὶ τἄλλα νοσήματα καὶ πρόφασιν ἕκαστα ὅθεν γίγνεται, φύσιν δὲ καὶ τοῦτο καὶ πρόφασιν· οἱ δ' ἄνθρωποι* ἐνόμισαν θεῖον εἶναι . . .

. . . οὐδὲ [ἧσσον] τερατώδεα.

. . . , ἐόντας τ' *αὖ τέως* ὠχρούς . . .

. . . ὧν ἑκάστου πέρι . . .

2. . . . ἐστι κοιλίης· . . .

. . . ἢ αἶγες. [1]

[1]) ἄνευ τοῦ ἀτόπου « καὶ βόες ».

4. . . . θάλασσαν *εὔφορον* καὶ γῆν *ἄφορον*. . . .

. . . , οὐδὲ εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων ποιέοντες, *ἕνεκά γε τῶν θεῶν*. Δεινοὶ ἄρ' αὐτοῖσίν εἰσιν· εἰ γὰρ . . .

. . . θεῷ τὴν αἰτίην προστιθέντες· *οὐ γὰρ καθάπαξ* ἕν, ἀλλὰ *πλεόνεσι ταῦτα νενέμηται* ἣν μὲν γὰρ . . .

. . . , ὅ *τισι* [1]) γίγνεται ὑπὸ τ. ν. βιαζ., *Ἰδαίης* [2]) *θεοῦ* . . .

[1]) = § 10· ἢ, ὃ πολλάκις γ. *τοῖσιν* ὑπὸ . . .

[2]) *Ἰδαίης* = ἠνταίης Cob. Erm.

. . . καὶ *ῥῦμα* . . .

. . . ἀποδείκνυμεν, *οἵους* ἂν . . .

5. Τὸ δὲ νούσημα τοῦτο οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, *ἀλλ'* [1]) *ἀπὸ* ταὐτοῦ γίγνεσθαι ἀφ' ὅτου . . .

[1]). τὰ λοιπὰ γὰρ ἀναμέμικται τῇδε παρὰ τῆς 1ης §.

. . . καὶ ἰητὸν [1]) οὐδὲν ἧσσον . . .

[1]). καίτοι ἐπιεικῶς ἔχει καὶ ἡ γραφὴ « καὶ οὐδὲν . . .

. . . , ὅτῳ πατὴρ ἢ μήτηρ εἴχετο νοσήματι, τούτῳ καὶ τῶν ἐκγόνων ἔχεσθαί τινα;

6. Ἀλλὰ γὰρ *αὐτός ἐστιν* αἴτιος . . .

. . . Ὁ ἐγκέφαλος τῷ ἀνθρώπῳ . . .

10. . . . , ἐνίοισι δὲ καὶ ὑποχωρέει [1] κόπρος κάτω' . . .

[1]. ἄνευ δὴ τοῦ ἤ.

13. . . . , ὅτι αἱ φλέβες αἱ ἀπὸ τοῦ ἥπατος τείνουσαι ἐπικοιλότεραί εἰσι καὶ πλέονες ἢ ἐν τοῖσιν ἀριστεροῖσιν αἱ ἀπὸ τοῦ σπληνός.

. . . , οἷσιν ἄν, *ἐπειδὰν* διαθερμανθῇ . . . πυρός, *ἔπειτα* ἐξαπίνης . . .

. . . καὶ ἐχάλασεν, [1] ὥστε . . .

[1]. ἄνευ τοῦ «ἐξαίφνης», ἀνθ' οὗ πάντως ἐχρῆν *ἐξαπίνης*.

14. . . . ' *ὅκου ἂν* χρόνος . . .

15. . . . ὁκόταν *μέλλη* λήψεσθαι [1], . . .

[1]. ἤ, . . μέλλωσι ληφθήσεσθαι, . . .

16. . . . καὶ τἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἐξ*ερούμενα* καὶ τῶν . . .

17. . . . τοῖσι καιροῖσι *διαγιγνώσκουσιν* οὐ ταὐτὰ . . .

18. . . . ἐπὶ τὰς φλέβας [τὰς] *κατὰ* τὸ σῶμα ' . . .

. . . ἐς τὰς φλέβας *τὰς κατὰ τὸ σῶμα*, πέπαυται.

20. . . . ξυντείνουσι καὶ *ξυγκλύσιας* ἔχει, . . .

. . . ' ἀνάγκη γὰρ καὶ *ἀνιωμένῳ* φ. τὸ σῶμα καὶ ξ. αἰ ὑπερ*χαίροντι* ὑπὸ *τούτων* . . πάσχειν, *ὅτι* ἡ καρδίη αἰθάνεταί *τι* μάλιστα καὶ αἱ φρένες ' . . .

. . . ' ὥσπερ οὖν καὶ τῆς *ἐφορμήσιος* τοῦ ἠέρος . . .

. . . , καὶ αὐτὸς ἑωυτοῦ διάφορος *γίγνεται ξὺν* τῷ ἠέρι· ὁ γὰρ ἐγκέφαλος διὰ *τοῦτον* πρῶτος αἰσθάνεται ' . . .

21. . . . ' ὥστε *μηδὲν δεῖ ἀποκρίνοντα νούσημα* θειότερον τῶν λοιπῶν νομίζειν, . . .

. . . ἐν ἀνθρώποισι *ποιέειν* τοιαύτην . . .

* ! Erm. σελ. 61, [1]. λωβιᾶσαι = λεπριᾶσαι !



ΓΑΛΗΝΟΥ

ΟΤΙ ΑΡΙΣΤΟΣ ΙΑΤΡΟΣ ΚΑΙ ΦΙΛΟΣΟΦΟΣ.

Οἷόν τι πεπόνθασιν οἱ πολλοὶ τῶν ἀθλητῶν, ἐπιθυμοῦντες μὲν ὀλυμπιονῖκαι γενέσθαι, μηδὲν δὲ πράττειν ὡς τούτου τυχεῖν ἐπιτηδεύοντες, τοιοῦτόν τι καὶ τοῖς πολλοῖς τῶν ἰατρῶν συμβέβηκεν. Ἐπαινοῦσι μὲν γὰρ Ἱπποκράτην καὶ πρῶτον ἁπάντων ἡγοῦνται, γενέσθαι δὲ αὐτοὺς ἐν ὁμοίοις ἐκείνῳ, πάντα μᾶλλον ἢ τοῦτο πράττουσιν. Ὁ μὲν γὰρ οὐ μικρὰν μοῖραν εἰς ἰατρικὴν φησι συμβάλλεσθαι τὴν ἀστρονομίαν καὶ δηλονότι τὴν ταύτης ἡγουμένην ἐξ ἀνάγκης γεωμετρίαν· οἱ δ᾽ οὐ μόνον αὐτοὶ μετέρχονται τούτων οὐδέτερον, ἀλλὰ καὶ τοῖς μετιοῦσι μέμφονται. Καὶ μὲν δὴ καὶ φύσιν σώματος ὁ μὲν ἀκριβῶς ἀξιοῖ γιγνώσκειν, ἀρχὴν εἶναι φάσκων αὐτὴν τοῦ κατ᾽ ἰατρικὴν λόγου παντός· οἱ δ᾽ οὕτω καὶ περὶ τούτων σπουδάζουσιν, ὡς οὐ μόνον ἑκάστου τῶν μορίων οὐσίαν ἢ πλοκὴν ἢ διάπλασιν ἢ μέγεθος ἢ τὴν πρὸς τὰ παρακείμενα κοινωνίαν, ἀλλ᾽ οὐδὲ τὴν θέσιν ἐπίστανται. Καὶ μέν γε, ὡς ἐκ τοῦ μὴ γιγνώσκειν κατ᾽ εἴδη τε καὶ γένη διαιρεῖσθαι τὰ νοσήματα, συμβαίνει τοῖς ἰατροῖς ἁμαρτάνειν τῶν θεραπευτικῶν σκοπῶν, Ἱπποκράτει μὲν εἴρηται προτρέποντι τὴν λογικὴν ἡμᾶς ἀσκεῖν θεωρίαν· οἱ δὲ νῦν ἰατροὶ τοσοῦτον ἀποδέουσιν ἠσκῆσθαι κατ᾽ αὐτήν, ὥστε καὶ τοῖς ἀσκοῦσιν ὡς ἄχρηστα μεταχειριζομένοις ἐγκαλοῦσιν. Οὕτω

ὲ καὶ τοῦ προγιγνώσκειν τά τε προγεγονότα καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα γενήσεσθαι τῷ κάμνοντι νοσήματα πολλὴν χρῆναι ποιεῖσθαι πρόνοιαν Ἱπποκράτης φησίν· οἱ δὲ καὶ περὶ τοῦτο τὸ μέρος τῆς τέχνης ἐπὶ τοσοῦτον ἐσπουδάκασιν, ὥστ', εἴ τις αἱμοῤῥαγίαν ἢ ἱδρῶτα προείποι, γόητά τε καὶ παραδοξολόγον ἀποκαλοῦσιν. Σχολῇ γ' ἂν οὗτοι τἄλλα προλέγοντός τινος ἀνάσχοιντο, σχολῇ δ' ἄν ποτε τῆς διαίτης τὸ σχῆμα πρὸς τὴν μέλλουσαν ἔσεσθαι τοῦ νοσήματος ἀκμὴν καταστήσαιντο· καὶ μὴν Ἱπποκράτης οὕτως γε διαιτᾷν κελεύει. Τί δὴ οὖν ἐστι τὸ ὑπόλοιπον, ὃ ζηλοῦσι ἀνδρός; οὐ γὰρ δὴ τήν γε τῆς ἑρμηνείας δεινότητα. Τῷ ἐν γε καὶ τοῦτο κατώρθωται· τοῖς δ' οὕτω τοὐναντίον, ὥστε πολλοὺς αὐτῶν ἔστιν ἰδεῖν καθ' ἓν ὄνομα δὶς ἁμαρτάνοντας, ὃ μηδ' ἐπινοῆσαι ῥᾴδιον. Διόπερ ἔδοξέ μοι ζητῆσαι τὴν αἰτίαν, ἥτις ποτ' ἐστὶ, δι' ἣν, καίτοι θαυμάζοντες ἅπαντες τὸν ἄνδρα, μήτ' ἀναγιγνώσκουσιν αὐτοῦ τὰ συγγράμματα, μήτ', εἰ καί τῳ τοῦτο παρασταίη, συνίησι τῶν λεγομένων, ἤ, εἰ καὶ τοῦτο εὐτυχήσειεν, ἀσκήσει τὴν θεωρίαν ἐπεξέρχεται, βεβαιώσασθαί τε καὶ εἰς ἕξιν ἀγαγεῖν βουλόμενος· εὑρίσκοντι καὶ σύμπαντα τὰ κατορθούμενα βουλήσει τε καὶ δυνάμει τοῖς ἀνθρώποις παραγιγνόμενα· θατέρου δ' αὐτῶν ἀτυχήσαντί τῳ καὶ τοῦ τέλους αὐτῶν ἀναγκαῖον ἀποτυχεῖν. Αὐτίκα γέ τοι τοὺς ἀθλητὰς ἢ διὰ τὴν τοῦ σώματος ἀφυΐαν ἢ διὰ τὴν τῆς ἀσκήσεως ἀμέλειαν ὁρῶμεν ἀποτυγχάνοντας τοῦ τέλους· ὅτῳ δ' ἂν καὶ ἡ τοῦ σώματος φύσις ἀξιόνικος ᾖ καὶ τὰ τῆς ἀσκήσεως ἄμεμπτα, τίς μηχανὴ μὴ οὐ πολλῶν ἀνελέσθαι τόνδε στεφανίτας ἀγῶνας; Ἆρ' οὖν ἐν ἀμφοτέροις οἱ νῦν ἰατροὶ δυστυχοῦσιν οὔτε δύναμιν οὔτε

βούλησιν ἀξιόλογον ἐπιφερόμενοι περὶ τὴν τῆς τέχνης ἄσκησιν; ἢ τὸ μὲν ἕτερον αὐτοῖς ὑπάρχει, θατέρου δ' ἀπολείπονται; Τὸ μὲν δὴ μηδένα φύεσθαι δύναμιν ἔχοντα ψυχικὴν ἱκανὴν καταδέξασθαι τέχνην οὕτω φιλάνθρωπον, οὔ μοι δοκεῖ λόγον ἔχειν, ὁμοίου γ' ἄρα τοῦ κόσμου καὶ τότ' ὄντος καὶ νῦν, καὶ μήτε τῶν ὡρῶν τῆς τάξεως ὑπηλλαγμένης, μήτ' ἄλλου τινὸς ἀστέρος, ἢ ἀπλανοῦς ἢ πλανωμένου, μεταβολήν τινα ἐσχηκότος. Εὔλογον δὲ διὰ μοχθηρὰν τροφὴν, ἣν οἱ νῦν ἄνθρωποι τρέφονται, καὶ διὰ τὸ τὸν πλοῦτον ἀρετῆς εἶναι τιμιώτερον, οὔθ' οἷος Φειδίας ἐν πλάσταις, οὔθ' οἷος Ἀπελλῆς ἐν γραφεῦσιν, οὔθ' οἷος Ἱπποκράτης ἐν ἰατροῖς, ἔτι γενέσθαι τινά. Καίτοι τό γε ὑστέροις τῶν παλαιῶν ἡμῖν γεγονέναι καὶ τὸ τὰς τέχνας ὑπ' ἐκείνων ἐπὶ πλεῖστον προηγμένας παραλαμβάνειν οὐ μικρὸν ἦν πλεονέκτημα. Τὰ γοῦν ὑφ' Ἱπποκράτους εὑρημένα χρόνῳ παμπόλλῳ ῥᾷστον ἦν ἐν ὀλιγίστοις ἔτεσιν ἐκμαθόντα τῷ λοιπῷ χρόνῳ τοῦ βίου πρὸς τὴν τῶν λειπόντων εὕρεσιν καταχρήσασθαι. Ἀλλ οὐκ ἐνδέχεται πλοῦτον ἀρετῆς τιμιώτερον ὑποθέμενον καὶ τὴν τέχνην οὐκ εὐεργεσίας ἀνθρώπων ἕνεκεν, ἀλλὰ χρηματισμοῦ, μαθόντα τοῦ τέλους τοῦ κατ' αὐτὴν ἐφίεσθαι· οὐ γὰρ δὴ δυνατὸν ἅμα χρηματίζεσθαί τε καὶ οὕτω μεγάλην ἐπασκεῖν τέχνην, ἀλλ' ἀνάγκη καταφρονῆσαι θατέρου τὸν ἐπὶ θάτερον ὁρμήσαντα σφοδρότερον. Ἆρ' οὖν ἔχομέν τινα τῶν νῦν ἀνθρώπων εἰπεῖν εἰς τοσοῦτον μόνον ἐφιέμενον χρημάτων κτήσεως, εἰς ὅσον ὑπηρετεῖν ἐξ αὐτῆς ταῖς ἀναγκαίαις χρείαις τοῦ σώματος; Ἔστι τις ὁ δυνάμενος οὐ μόνον λόγῳ πλάσασθαι, ἀλλ' ἔργῳ διδάξασθαι τοῦ κατὰ φύσιν πλούτου τὸν ὅρον ἄχρι τοῦ μὴ πεινῆν, μὴ διψῆν, μὴ ῥιγοῦν προϊόντος; καὶ μὴν εἴ τις γ' ἐ-

ὅτι τοιοῦτος, ὑπερόψεται μὲν Ἀρταξέρξου τε καὶ Περδίκκου, καὶ τοῦ μὲν οὐδ' ἂν εἰς ὄψιν ἀφίκοιτό ποτε, τὸν δ' ἰάσεται μὲν νοσοῦντα νόσημα τῆς Ἱπποκράτους τέχνης δεόμενον, οὐ μὴν ἀξιώσει γε διὰ παντὸς συνεῖναι· θεραπεύσει δὲ τοὺς ἐν Κρανῶνι καὶ Θάσῳ καὶ ταῖς ἄλλαις πολίχναις πένητας· ἀπολείψει δὲ Κῴοις μὲν καὶ πολίταις Πόλυβόν τε καὶ τοὺς ἄλλους μαθητάς, αὐτὸς δὲ πᾶσαν ἀλώμενος ἐφέψει τὴν Ἑλλάδα· χρὴ γὰρ αὐτὸν γράψαι τι καὶ περὶ φύσεως χωρίων. Ἵν' οὖν κρίνῃ τῇ πείρᾳ τὰ ἐκ λόγου διδαχθέντα, χρὴ πάντως αὐτὸν πόλεως γενέσθαι αὐτόπτην τῆς πρὸς μεσημβρίαν τετραμμένης καὶ τῆς πρὸς ἄρκτον, καὶ τῆς πρὸς ἥλιον ἀνίσχοντα καὶ τῆς πρὸς δυσμάς· ἰδεῖν δὲ καὶ τὴν ἐν κοίλῳ κειμένην καὶ τὴν ἐφ' ὑψηλῷ, καὶ τὴν ἐπακτοῖς ὕδασι χρωμένην καὶ τὴν πηγαίοις καὶ τὴν ὀμβρίοις καὶ τὴν ἐκ λιμνῶν καὶ ποταμῶν· ἀμελῆσαι δὲ μηδ' εἴ τις ψυχροῖς ἄγαν ὕδασι, μηδ' εἴ τις θερμοῖς χρῆται, μηδ' εἰ νιτρώδεσιν ἢ στυπτηριώδεσιν ἤ τισιν ἑτέροις τοιούτοις· ἰδεῖν δὲ καὶ ποταμῷ μεγάλῳ πρόσοικον πόλιν καὶ λίμνῃ καὶ ὄρει καὶ θαλάττῃ, καὶ τἄλλα πάντα νοῆσαι, περὶ ὧν αὐτὸς ἡμᾶς ἐδίδαξεν. Ὥστε οὐ μόνον ἀνάγκη χρημάτων καταφρονεῖν τὸν τοιοῦτον ἐσόμενον, ἀλλὰ καὶ φιλόπονον ἐσχάτως ὑπάρχειν· καὶ μὴν οὐκ ἐνδέχεται φιλόπονον εἶναί τινα μεθυσκόμενον, ἐμπιπλάμενον, ἢ ἀφροδισίοις προσκείμενον, ἤ, συλλήβδην εἰπεῖν, αἰδοίοις καὶ γαστρὶ δουλεύοντα· σωφροσύνης γοῦν φίλος, ὥσπερ γε καὶ ἀληθείας ἑταῖρος, ὃ γ' ἀληθὴς ἰατρὸς ἐξεύρηται. Καὶ μὲν δὴ καὶ λογικὴν μέθοδον ἀσκεῖν, χάριν τοῦ γνῶναι πόσα τὰ πάντα κατ' εἴδη τε καὶ γένη νοσήματα ὑπάρχει καὶ πῶς ἐφ' ἑκάστου ληπτέον ἔνδειξίν τινα ἰαμάτων· ἡ δ' αὐτὴ μέθοδος

ΟΒΕΛΙΣΜΟΣ.

* . . . , γενέσθαι δὲ αὐτοὺς ἐν ὁμοίοις ἐκείνῳ, . . . studere iisdem atque ille.

. . . τὴν λογικὴν ἡμᾶς *ἀσκεῖν* θ.

. . . *τά τε* προγεγονότα καὶ τὰ παρόντα . . .

. . . βουλόμενος· εὑρ*ίσκοντι* [1]) . . . · — [1]). « . . ἐ-
ξέ *μοι* . . . , εὑρίσκοντι . . .

. . . · θατέρου δ' αὐτῶν ἀτυχ*ήσαντί τῳ* . . .

. . . μὴ οὐ πο*λλῶν* ἀνελέσθαι . . .

. . . , ὁμοίου *γ' ἄρα* τοῦ κόσμου . . .

. . . ἐφίεσθαι [1]) . οὐ γὰρ δὴ δυνατὸν . . .

[1]). παρέμβλημα γὰρ διαστρέφον τὸν λογισμὸν τὸ « φ-
σουσι γὰρ ἕτεροι πλουτῆσαι, πρὶν ἡμᾶς ἐπὶ τὸ τέλος αὐ-
ἐξικέσθαι. »

. . . πᾶσαν ἀλώμενος ἐφέ*ψει* . . .

. . . καὶ τὴν τοῦ σώματος *αὐτὸν* διδάσκει φύσιν, .

. . . ἐνέργεια, *δεόμενα γοῦν* καὶ ταῦτα . . .

. . . , χρημάτων καταφρονῶν καὶ [1]) σωφροσύνην
κῶν, . . . [1]). ἄνευ δηλ. τοῦ *τὴν*.

. . . · οὐδὲ γὰρ *τοῦθ'*, ὅτι . . . , ἀποδείξεώς [σοι]
γοῦμαί τινος χ., ἑωρακότι γε . . .

. . . καὶ δίκαιον ἀξ*ιῶν* εἶναι . . .

. . . σωφρονήσαντά σε, *μὴ δὴ* καθάπερ . . .

Ἐν Μουνυχίᾳ, φθίν. μ. Σκιροφ. πέμπτῃ, **1864**.

D. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κωμῳδία

CAROLI H. TH. REINHOLD.

5.

Προγνωστικόν.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 226.)

1864.


BIBLIOTHECA BODLEIANA

. . . . Ἔδει τοὺς ἐξηγεῖσθαί τι τῶν τοιούτων ἐπιχειροῦντας ἔργῳ πρότερον ἐπιδειξαμένους αὐτοὺς τολμᾷν οὕτω γράφειν· ἕτοιμον γὰρ ὃ βούλεταί τις γράψαι, δύσκολον δὲ δεῖξαι τοιαύτην θεωρίαν, ἐξ ἧς ἐπιτεύξηται πολλὰ παρὰ τοῖς κάμνουσι λέγων οὐ τῶν μελλόντων ἔσεσθαι μόνον, ἀλλὰ καὶ τῶν προγεγονότων, οἷς αὐτὸς οὐ παρεγένετο, καὶ τῶν νῦν ὄντων περὶ τοὺς κάμνοντας, ἃ μήτε ἤκουσε παρ' αὐτῶν μηδέπω μήτ' οἶδεν αὐτός· ὥσπερ καὶ ἡμεῖς ἐν οἷς ἐροῦμεν, εἰκότως ἂν εἴημεν πιστοὶ, τοῖς ἔργοις αὐτοῖς προαποδεδειγμένοι τὸ τῆς θεωρίας ἀληθές. Ὅπως δὲ . . .

Γαλην. XVIII, B, 16.

ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

ΤΟΝ ἰητρὸν δοκέει μοι ἄριστον εἶναι πρόνοιαν ἐπι-
ειν· προγιγνώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νο-
τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα
ι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύ-
ἐκδιηγεύμενος, πιστεύοιτ' ἂν μᾶλλον γιγνώσκειν τὰ
οσεόντων πρήγματα, ὥστε τολμᾷν ἐπιτρέπειν τοὺς ἀν-
υς σφέας ωὐτοὺς τῷ ἰητρῷ. Τὴν δὲ θεραπείην ἄριστα
ιέοιτο, προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθη-
· ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας
τον· τοῦτο γὰρ τοῦ προγιγνώσκειν τὰ μέλλοντα ἀπο-
ῆαι κρέσσον ἂν ἦν· ἐπεὶ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν,
πρὶν καλέσαι τὸν ἰητρὸν, ὑπὸ ἰσχύος τῆς νούσου, οἱ
ἐσκαλεσάμενοι παραχρῆμα ἐτελεύτησαν, οἱ μὲν ἡμέρην
ήσαντες, οἱ δὲ ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰη-
ῇ τέχνῃ πρὸς ἕκαστον νούσημα ἀνταγωνίσασθαι, γνῶν-
χρὴ τῶν παθέων τούτων τὰς φύσιας, ὁκόσον ὑπὲρ
ύναμίν εἰσι τῶν σωμάτων, ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνε-
τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν.
γὰρ ἂν θαυμάζοιτό τε δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν
ιὶ γὰρ οὓς οἷόν τε περιγίγνεσθαι ἔτι μᾶλλον δύναιτ' ἂν
διαφυλάσσειν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς

ἕκαστα, καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγιγνώσκων καὶ προαγορεύων ἀναίτιος ἂν εἴη.

2. Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ, εἰ αὐτὸ ἑωυτῷ· οὕτω γὰρ ἂν εἴη ἄριστον, τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον. Εἴη δ' ἂν τὸ τοιόνδε· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα ψυχρὰ καὶ ξυνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν· καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε καὶ μέλαν ἐὸν καὶ πέλιον, ἢ καὶ μολιβδῶδες. Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανερέσθαι χρὴ, μὴ ἠγρύπνηκεν ὥνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα εἴη ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχοι αὐτόν· κἢν μὲν τούτων τι ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι· κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ· ἢν δὲ μηδὲν τούτων φῇ εἶναι, μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τούτων ἐπανερέσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα, καὶ τἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι σώματι, τά τε ἐν τῷ προσώπῳ, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν.

3. Ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν ἢ δακρύωσιν ἀπροαιρέτως ἢ διαστρέφωνται, ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίγνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν ἢ πέλια, ἢ φλέβια μέλ

λανα ἐν αὐτοῖσιν ᾖ, ἢ λημέοντες φαίνωνται περὶ τὰς ὄψιας ἢ καὶ ἐναιωρεύμενοι ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γενόμενοι, ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπέες, ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν καὶ ὀλέθρια εἶναι. Σκοπέειν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης ἢ φαρμακοποσίης ἐόντι ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες λίην. Ἢν δὲ καμπύλον ἢ ῥικνὸν γένηται ἢ πέλιον ἢ ὠχρὸν τὸ βλέφαρον, ἢ χεῖλος ἢ ῥὶς διαστρέφηται, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα θανάτου· θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα καὶ κρεμάμενα, καὶ ψυχρὰ καὶ ἔκλευκα γιγνόμενα.

4. Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ ἐπὶ τὸ πλευρὸν, τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καί τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον· οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται· ἄρισται δέ εἰσι τῶν κατακλισίων αἱ ὁμοῖαι τῇσι τῶν ὑγιαινόντων. Ὕπτιον δὲ κέεσθαι καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν· εἰ δὲ καὶ προπετὴς γίγνοιτο ἀπὸ τῆς κλίνης καὶ καταῤῥέοι ἐπὶ πόδας, δεινότερόν ἐστιν· εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων, μὴ θερμοὺς κάρτα ἐόντας, καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα καὶ γυμνὰ, κακόν· ἀλυσμὸν γὰρ σημαίνει· θανατῶδες δὲ καὶ τὸ κεχηνότα καθεύδειν αἰεὶ καὶ τὰ σκέλεα ὑπτίου κειμένου ξυγ-

κεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλιγμένα. Ἐπὶ γαστέρα δὲ κέεσθαι, ᾧ μὴ ξύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων. Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι, κάκιστον δὲ ἐν τοῖσι περιπνευμονικοῖσιν.

5. Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίγνεται· *ἀλλὰ προλέγειν ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον.

6. Ἕλκος δὲ, ἤν τέ τι καὶ προγεγονὸς τύχῃ ἔχων ἤν τε καὶ ἐν τῇ νούσῳ γένηται, καταμανθάνειν δεῖ· ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὥνθρωπος, πρὸ τοῦ θανάτου ἢ πέλιόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

7. Περὶ δὲ χειρῶν φορῆς τάδε γιγνώσκειν· ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν ἢ ἐν περιπνευμονίῃσιν ἢ ἐν φρενίτισιν ἢ ἐν κεφαλαλγίῃσιν, πρὸ τοῦ προσώπου φερομένας καὶ θηρευούσας διὰ κενῆς καὶ ἀποκαρφολογεούσας καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ὁρᾷς ἀποσπώσας, ταῦτα εἶναι κακὰ καὶ θανατώδεα.

8. Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ· ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίγνεται. Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα ξὺν πυρετοῖσίν ἐστι καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

9. Οἱ δὲ ἱδρῶτες, ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν ὁκόσοι ἐν ἡμέρῃσί τε κρισίμῃσι γίγνονται καὶ τελείως τὸν πυρετὸν ἀπαλλάσσουσιν· ἀγχθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γιγνόμενοι ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νούσημα· οἳ δ' ἂν μὴ τοιοῦτόν τι ἐξεργάσωνται, οὐ λυσιτελέες· κάκιστοι δὲ οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλήν τε καὶ τὸ πρόσωπον γιγνόμενοι καὶ τὸν αὐχένα· οὗτοι γὰρ ξὺν μὲν ὀξέϊ πυρετῷ θάνατον προσημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου.

*. Καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γιγνόμενοι τοῖσι περὶ τὴν κεφαλήν· οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γιγνόμενοι πονηροί· οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες ἀγαθοί. Κατανοέειν δὲ χρὴ τὸ ξύνολον τῶν ἱδρώτων· γίγνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ ξυντονίην φλεγμονῆς.

10. Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' ἀριστερά· φλεγμαῖνον δὲ ἢ ὀδύνην παρέχον ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα πάντα φυλάσσεσθαι χρή. Εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει ἢ παραφροσύνην· ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τῶν τοιούτων· ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

11. Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον· εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά. Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν, θάνατον ὀλιγοχρόνιον ἔσεσθαι· ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας

ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. Γίγνεται δὲ τούτοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει· ἀλλ' ἐπανέρεσθαι χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυωπέουσιν· ᾧ γὰρ ἂν ᾖ τι τούτων, ἐνταῦθα ἂν ῥέποι· μᾶλλον δὲ χρὴ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι· *τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν.

12. Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιέεται καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν· εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει· καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τωὐτό. Ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι καὶ σκληρὰ καὶ μεγάλα, κίνδυνον σημαίνει θανάτου ὀλιγοχρονίου· ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

13. Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν, ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς διαπύησιν τρέπεται· αἵματος δὲ ῥῆξιν, καὶ μάλιστα ἐκ τῶν ἄνω τόπων, προσδέχεσθαι· ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων τῶν χρονιζόντων περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. Τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν· ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι μικρά τε ἐόντα καὶ ὡς μάλιστα ἔξω ἐκκλίνοντα καὶ ἐς ὀξὺ ἀποκυρτούμενα, τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα κάκιστα· ὁκόσα δὲ ἔσω ῥήγνυται, ἄριστά ἐστιν ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπι-

κοινωνέει, ἀλλ' ἔστι προσεσταλμένα τε καὶ ἀνώδυνα, καὶ ἢν πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνηται.

14. Τὸ δὲ πῦον, ἄριστον, λευκόν τε εἶναι καὶ ὁμαλὸν καὶ λεῖον καὶ ὡς ἥκιστα δυσῶδες· τὸ δὲ ἐναντίον τούτου κάκιστον.

15. Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί· οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τέ εἰσι κάρτα καὶ θανατώδεες. Ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος· οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίγνονται, οἵ τε πόδες οἰδέουσι καὶ διάῤῥοιαι πολυχρόνιοι ἔχουσιν οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων καὶ τῆς ὀσφύος οὔτε τὴν γαστέρα λαπάσσουσαι· ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος οἱ ὕδρωπες γίγνονται, βῆξαί τε θυμὸς τούτοισιν ἐγγίγνεται καὶ οὐδέν τι ἀποπτύουσιν ἄξιον λόγου, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην, καὶ περὶ τὴν κοιλίην γίγνεται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, ἱστάμενά τε καὶ καταπαυόμενα.

16. Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα, κακὸν, τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων· ἄριστον δὲ αἰεὶ ὅλον τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶς.

17. Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγεῦντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι· εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνότερον· εἰ δὲ καὶ πρὸς τῷ βάρεϊ καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίγνοιντο, προσδόκιμος ὁ θάνατος παραυτίκα·

μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, ἢ καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσιν· ἀλλὰ καὶ τἄλλα σημεῖα σκέπτεσθαι χρή· ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν ἢ καὶ ἄλλο τι τῶν περιεστικῶν πρὸς τούτοισι τοῖσι σημείοισι σημεῖον ὑποδεικνύῃ, τὸ νούσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπὶς, ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

18. Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα πόνους ἰσχυροὺς σημαίνει καὶ κίνδυνον θανατώδεα.

19. Περὶ δὲ ὕπνων· ὥσπερ καὶ κατὰ φύσιν ξύνηθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα καθεύδειν· εἰ δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον· ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης· οἱ δὲ ἀπὸ τούτου τοῦ χρόνου ὕπνοι πονηρότεροί εἰσι· κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνοίη ἂν, ἢ παραφροσύνη ἐπέσται ἀπὸ τούτου τοῦ σημείου.

20. Διαχώρημα δὲ ἄριστόν ἐστι τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς καὶ ἣν τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρεε, διαχωρέῃ· ὑπόπυῤῥον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες· πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων· τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν μήτε πυκνόν τε καὶ κατ' ὀλίγον διαχωρέειν· κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος ἀγρυπνοίη ἄν· ἢν δὲ ἀθρόον πολλάκις διαχωρέῃ, κίνδυνος λειποθυμῆσαι· ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν ἐσιόντων δὶς ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν καὶ τῆς νυκτὸς ἅπαξ, πλεῖστον δὲ ὑπίτω τὸ πρωϊον, ὅσον καὶ ξύνηθες ἦν τῷ

ἀνθρώπῳ. Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νούσου. Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς κρίσιν ἰούσης τῆς νούσου. *Δεῖ δὲ ἐν παντὶ τῷ νοσήματι λαπαρὴν τὴν κοιλίην εἶναι καὶ εὔογκον*. Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἢ ἐρυθρὸν ἰσχυρῶς ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα· πονηρὸν δ' ἔτι καὶ σμικρόν τε ἐὸν καὶ γλίσχρον καὶ λευκὸν καὶ ὑπόχλωρον καὶ λεῖον· τούτων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα ἢ λιπαρὰ ἢ πέλια ἢ ἰώδεα ἢ κάκοδμα· τὰ δὲ ποικίλα χρονιώτερα μὲν τούτων, ὀλέθρια δὲ οὐδὲν ἧσσον· ἔστι δὲ τοιαῦτα τὰ τοιάδε· τὰ ξυσματώδεα καὶ χολώδεα *καὶ αἱματώδεα* καὶ πρασοειδέα καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος.

21. Φῦσαν δὲ ἄνευ ψόφου διεξιέναι ἄριστον· κρέσσον δὲ καὶ ξὺν ψόφῳ διελθεῖν ἢ αὐτοῦ ἀνειλέεσθαι· καίτοι κακὴ ἡ οὕτω διελθοῦσα· σημαίνει γὰρ ἢ πονέειν τι τὸν ἄνθρωπον ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται. Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ, μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ, ἢν δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθεὶς ὠφελέει· ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

22. Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν λευκή τε ᾖ ἡ ὑπόστασις καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος· σημαίνει γὰρ ἀσφάλειάν τε καὶ τὸ νούσημα ὀλιγοχρόνιον ἔσεσθαι· εἰ δὲ μὴ, ἢν διαλείπῃ καὶ ποτὲ μὲν καθαρὸν οὐρέηται, ποτὲ δὲ ὑφίστηται τὸ λευκόν τε καὶ λεῖον,

χρονιωτέρη γίγνεται ἡ νοῦσος καὶ ἧσσον ἀσφαλής. Εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις αὐτοῦ ὁμοίη καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου γίγνεται, σωτήριον δὲ κάρτα. Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηραί· τουτέων δὲ κακίους αἱ πεταλώδεες· τουτέων δ' ἔτι κακίους αἱ πιτυρώδεες· αἱ δὲ λεπταί τε καὶ λευκαὶ κάρτα φλαῦραι. Νεφέλαι δὲ ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι. Ἕως δ' ἂν πυῤῥόν τε ᾖ τὸ οὖρον καὶ λεπτὸν, ἄπεπτον σημαίνει τὸ νούσημα εἶναι· εἰ δὲ καὶ πολυχρόνιον εἴη τὸ νούσημα, τὸ δὲ οὖρον τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐκ ἄρα δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον καὶ πεφθῇ ἡ νοῦσος. Θαναδωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα καὶ ὑδατώδεα καὶ μέλανα καὶ παχέα· ἔστι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα. Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πουλὺν χρόνον, ἢν τἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι· ξυντήξιος γὰρ σημεῖα. Σκοπέειν δὲ χρὴ τῶν οὔρων, ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε κάτω ἔωσιν ἤν τε ἄνω, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι, καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν, τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιάσδε. Μὴ ἐξαπατάτω δέ σε, ἤν τι ἡ κύστις νούσημα ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ· οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτὴν τῆς κύστιος.

23. Ἔμετος δὲ ὠφελιμώτατος ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένων ὡς μάλιστα καὶ μὴ παχὺς κάρτα, οἱ γὰρ ἀκρητέστεροι τῶν ἐμέτων κακίους εἰσίν· μηδὲ πουλὺς ἐμεύμενος. Εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς ἢ πέλιον ἢ μέλαν, ὅ,τι ἂν ᾖ τούτων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι· εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ ωὐτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον ἤδη τοῦτο γίγνεται· τάχιστον δὲ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμεσμάτων καὶ εἰ ὄζοι δυσῶδες· καὶ γὰρ πᾶσαι αἱ ὀσμαὶ αἱ ὑπόσαπροι καὶ δυσώδεες ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισι κακαί.

24. Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως τε ἀναπτύεσθαι καὶ εὐπετέως, ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ· εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο ξανθὸν ἐὸν ἢ πυῤῥὸν ἢ πολλὴν βῆχα παρέχον ἢ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίγνεται· τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν κινδυνῶδες, τό τε λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελές· κακὸν δὲ καὶ τό τε χλωρὸν ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες· εἰ δὲ εἴη οὕτως ἄκρητον ὥςτε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων· κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πνεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῇ φάρυγγι. Αἵματι δὲ ἀναμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπνευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον, περιεστικὸν καὶ κάρτα ὠφελέει· ἑβδομαίῳ δὲ ἐόντι ἢ καὶ παλαιοτέρῳ ἧσσον ἀσφαλές. Πάντα δὲ πτύελα πονηρά ἐστιν ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ· κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται· τὰ δὲ παύοντα τὴν ὀδύνην ἀναπτυόμενα, πάντα πάντων ἀμείνω.

Κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πνεύμονα νοσήμασι καὶ προγεγονέναι καὶ ἐπιγενέσθαι, κακόν· ἀλλ' ἐν τοῖσιν ἄλλοισι νοσήμασι τοῖσι θανατωδεστάτοισιν οἱ πταρμοὶ λυσιτελέουσιν.

25. Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τούτων τῶν χωρίων μὴ παύεται μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ φαρμακείας καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα. Τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρεϊ τὸ χολῶδες τῷ πύῳ ἀναπτύηται, ἤν τε ὁμοῦ· μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἐκπύημα ἀπὸ τούτου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος· ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτῷ ἐπιγένηται ἀγαθόν.

26. Ἔστι δὲ τὰ μὲν ἀγαθὰ τάδε· εὐπετέως φέρειν τὸ νούσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τό τε πτύελον ῥηϊδίως ἀναβήσσειν, τό τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε καὶ μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα ἀγαθὰ ἐόντα, ἐπιγίγνεσθαι· οὕτω μὲν γὰρ ἁπάντων τούτων ἐπιγιγνομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος· εἰ δὲ τὰ μέν τινα αὐτῶν ἐπιγίγνοιτο, τὰ δὲ μὴ, οὐ πλείω ἂν χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος.

27. Κακὰ δὲ τὰ ἐναντία τούτων· δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τό τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλί-

καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ψυχροὺς, οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα κακὰ ἐόντα, ἐπιγίγνεσθαι· οὕτω γὰρ, εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τούτων, ἀπόλοιτο ἂν ὁ ἄνθρωπος πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος ἢ ἑνδεκαταῖος. *Οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τούτου θανατώδεος ἐόντος μάλα καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας*. Τὰ δὲ ἐπιγενόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τούτων χρὴ τὰς προῤῥήσιας προλέγειν· οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα.

28 α). Αἱ δὲ ἄλλαι ἐκπυήσιες ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι· αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

28 β). Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος, ἔσεσθαι λογιζόμενον ἀπὸ τῆς ἡμέρης ἧς τὸ πρῶτον ὥνθρωπος ἐπύρεξεν, ἤ ποτε αὐτὸν ῥῖγος ἔλαβε καὶ ἢ φαίη ἂν ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεεν· ταῦτα γὰρ ἐν ἀρχῆσι γίγνεται τῶν ἐμπυημάτων. Ἐξ οὖν τούτων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τούτους τοὺς χρόνους τοὺς προειρημένους.

29. Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τούτοισι, μή τι ἔχοι ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾷν, εἴ τι αὐτῷ δοκέει βαρὺ ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν· εἰ γὰρ εἴη

9

τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, καὶ ἐκ τούτου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν τὸ βάρος γίγνεται.

30. Τοὺς δὲ ξύμπαντας ἐμπύους γιγνώσκειν χρὴ τοισίδε τοῖσι σημείοισι· πρῶτον μὲν, οἷον πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων, καὶ ἱδρῶτες πολλοὶ ἐπιγίγνονται, βῆξαί τε θυμὸς ἐγγίγνεται αὐτοῖσι καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου, καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίγνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, οἱ δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα οἱ ἄκροι, καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίγνεται, καὶ σιτίων οὐκ ἐπιθυμέουσι, καὶ φλύκταιναι γίγνονται ἀνὰ τὸ σῶμα.

31. Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτοῖσι χρὴ κάρτα· ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι, τούτων ἤν τι ἐπιφαίνηται οἷα καὶ τοῖσιν ἐγχρόνοισι γιγνομένοισιν, ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. Τὰ δὲ ταχύτερον αὐτῶν καὶ βραδύτερον ῥηγνύμενα τοισίδε γιγνώσκειν χρή· ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γίγνηται, καὶ ἡ δύσπνοια καὶ ἡ βὴξ καὶ ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἀγχοῦ προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καί τι πρόσθεν· ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ καὶ τἄλλα πάντα κατὰ λόγον, τούτοισι προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον· γίγνεσθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύσπνοιαν καὶ πτυαλισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.

32. Περιγίγνονται δὲ τούτων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πῦον λευκόν τε

καὶ λεῖον καὶ ὁμόχροον ᾖ καὶ φλέγματος ἀπηλλαγμένον καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται. Ἄριστα μὲν οὕτω καὶ τάχιστα ἀπαλλάσσουσιν· ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τούτων γίγνηται. Ἀπόλλυνται δὲ οὓς ἂν ὅ τε πυρετὸς μὴ ἀφῇ, ἢ δοκέων αὐτοὺς ἀφιέναι αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, καὶ ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ πῦον χλωρὸν καὶ πέλιον πτύηται ἢ φλεγματῶδες καὶ ἀφρῶδες· ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται· ὁκόσοισι δ' ἂν τούτων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτῶν ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίγνονται. Ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τούτοισι σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισι πᾶσιν.

33. Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπνευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα καὶ ἐκπυέουσιν, ἢ ἐς τὰ κάτω χωρία καὶ συριγγοῦνται, οὗτοι περιγίγνονται. Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε· ἢν ὅ τε πυρετὸς ἴσχῃ καὶ ἡ ὀδύνη μὴ παύηται καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, ἄλυτοι δέ τε καὶ ἄκρητοι, γίγνωνται, μηδὲ τὸ οὖρον πουλύ τε κάρτα καὶ πολλὴν ὑπόστασιν ἔχον, ὑπηρετέηται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν σημείων, τούτοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. Γίγνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματός τι ἐγγένηται· αἱ δὲ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ, δύσπνοος δέ τινα χρόνον γενόμενος παύσηται ἄτερ φανερῆς προφάσιος ἄλλης.

34. Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι λυσιτελέες μὲν πᾶσαι, ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι· εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γενομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ τε ἄνθρωπος περιγίγνοιτο καὶ ἡ ἀπόστασις ἂν ὀδυνῶσα τάχιστα παύσαιτο· εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον ἢ πολλὰ πρήγματα παρασχεῖν. Ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ τε πτυέλου μὴ ἐκχωρέοντος τοῦ τε πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ μὴ παραφρονήσῃ ἢ καὶ ἀποθάνῃ ὤνθρωπος. Τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περιπνευμονικῶν οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται· ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

* Ὁκόσοι δὲ τῶν ἐμπύων καίονται ἢ τέμνονται, οἷσι μὲν ἂν καθαρὸν τὸ πῦον ᾖ καὶ λευκὸν ἐκρέῃ καὶ μὴ δυσῶδες, σώζονται· οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται.

35. Αἱ δὲ ξὺν πυρετῷ γιγνόμεναι ὀδύναι περὶ τὴν ὀσφῦν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλιποῦσαι, ὀλέθριαι κάρτα. Προσέχειν οὖν δεῖ τὸν νόον καὶ τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπιφαίνηται πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος· ἢν δὲ, ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίγνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες.

36. Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι πᾶσαι μὲν δει-

καί τε παντελῶς καὶ ὀλέθριαι· ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ ξυνεχέϊ γίγνονται· καὶ γὰρ αἱ ἀπ' αὐτέων τῶν κυστίων πόνοι ἱκανοὶ ἀποκτεῖναι· καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτων, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην· λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν· εἰ δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη, μήτε ἡ κύστις μαλθάσσοιτο, ὅ τε πυρετὸς ξυνεχὴς εἴη, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀπολεῖσθαι. Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἔστ' ἂν πεντεκαιδεκαέτεα γίγνηται.

37. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἄριθμον, ἐξ ὧν τε περιγίγνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται· οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται, ἢ πρόσθεν· οἵ τε δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γιγνόμενοι τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτῶν οὕτω τελευτᾷ· ἡ δὲ δευτέρη ἐς τὴν ἑβδόμην περιάγεται· ἡ δὲ τρίτη ἐς τὴν ἑνδεκάτην· ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην· ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην· ἡ δὲ ἕκτη ἐς τὴν εἰκοστήν. Αὗται μὲν οὖν, αἱ τῶν ὀξυτάτων νοσημάτων, διὰ τεσσάρων ἐς τὰς εἴκοσιν ἐκ προσθέσιος τελευτῶσιν. Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τούτων ἀριθμέεσθαι ἀτρεκέως· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι.

38. Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτῷ τρόπῳ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων, ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέων, ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. Τούτων δ' ἐν ἀρχῇσίν ἐστι χαλεπώτατον

διαγιγνώσκειν τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι· ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτῶν· ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι· καὶ οὐ λήσει σε, ὅκη τρέψεται τὸ νούσημα. *Γίγνεται δὲ καὶ ἡ τῶν τεταρταίων κατάστασις ἐκ τοῦ τοιούτου κόσμου*. Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γιγνώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτοῖσίν ἐστιν· οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα· οἱ δὲ ἀπολούμενοι δύσπνοοι γίγνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. Ὡς οὖν τούτων οὕτω γιγνομένων ξυμβάλλεσθαι χρὴ, κατά τε τὸν χρόνον κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίγνονται.

39. Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγένηται, ὀλέθριον κάρτα· εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινα ἀπόστασιν ἐς τὰ κάτω χωρία· ὡσαύτως δὲ καὶ, ἕως ἂν νεαρὰ ᾖ ἡ ὀδύνη, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν, ἄλλως τε καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ καὶ τὸ μέτωπον· μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν.

40. Ὠτὸς δὲ ὀξεῖα ὀδύνη ξὺν πυρετῷ ξυνεχέϊ τε καὶ

ἰσχυρῷ, δεινόν· κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον καὶ ἀπολέσθαι. Ὡς οὖν τούτου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης. Ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι καὶ ἔτι θᾶσσον ὑπὸ τούτου τοῦ νοσήματος· οἱ δὲ γεραίτεροι πολλῷ βραδύτερον· οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίγνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι· ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγιγνόμεναι ἀποκτείνουσι τοὺς πλείστους· οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται· πλὴν ἀλλ' ἤν γε ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτός, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤν τε καὶ ἄλλο τι αὐτῷ ἐπιγένηται χρηστὸν σημεῖον.

41. Φάρυγξ δὲ ἑλκουμένη ξὺν πυρετῷ, δεινόν· ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν, ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου. Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιρέουσιν ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι μήτε ἐν τῷ αὐχένι, πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν· αὗται γὰρ καὶ αὐθήμερον ἀποπνίγουσι καὶ δευτεραῖαι καὶ τριταῖαι καὶ τεταρταῖαι. Ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γένηται. Ὁκόσῃσι δὲ ξυνεξερεύθεται φάρυγξ καὶ αὐχήν, αὗται δὴ χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἢν ὅ τε αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας ἔσω. Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπε-

λας μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποδήσσῃ, ῥηϊδίως δέ τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι· ἢν δὲ ἐς τὸν πνεύμονα τράπηται, παράνοιάν τε ποιέει καὶ * * * * ἔμπυοι ἐξ αὐτῶν γίγνονται ὡς τὰ πολλά.

42. * Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροί τε ἔωσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίγνονται τούτοισι καὶ αἱμοῤῥαγίαι· ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τούτῳ τῷ χρόνῳ· ὁκόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν· ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα τῇ χειρουργίῃ χρέεσθαι, ἢν ὁ χρόνος ξυγχωρέῃ καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

43. Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται μήτε σημείων γενομένων λυτηρίων μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τούτοισιν. Ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ, περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μηκέτι ὀδύνης ἐχούσης μήτε διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίαν ἐμφανέα, τούτῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης ἔς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω. Μᾶλλον δὲ γίγνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων· ὑποσκέπτεσθαι δὲ χρὴ τούτοισιν εὐθέως τὰ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ· τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίγνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρε-

ρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι ξυ-
εόντος τοῦ πυρετοῦ, ἐς δὲ τεταρταῖον καταστήσεσθαι,
λείπῃ τε καὶ λαμβάνῃ πεπλανημένον τρόπον, καὶ
ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. Ὥσπερ δὲ τοῖσι
ισι τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίγνονται, οὕτως
ρταῖοι μᾶλλον τοῖσι τριηκονταέτεσι καὶ γεραιτέροισιν.
ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γι-
ας, χρονιώτερόν τε παυομένας, ἧσσόν τε παλινδρο-

Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδεϊ φῇ τὴν κε-
αλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαί-
ἢν καρδιωγμὸς τούτῳ προσγένηται, χολώδης ἔμετος
ιν· ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ καὶ τὰ κάτω τοῦ ὑπο-
ου ψυχρὰ ᾖ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται· ἢν
πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο τα-
μέεται. Τούτων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ
γίγνεσθαι, τεταρταῖοι πιεζεῦνται μάλιστα καὶ πεμ-
ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται· οἱ μέντοι πλεῦ-
ῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ
α πεμπταῖοι, ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἐνδεκα-
οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, ἢν καὶ τἄλλα
όγον αὐτοῖσι τῶν πρόσθεν γίγνηται, ἐς τὴν τεσσαρεσ-
κτην κρίνεται ἡ νοῦσος. Γίγνεται δὲ ταῦτα τοῖσι μὲν
ι καὶ τῇσι γυναιξὶν ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι
τέροισι γίγνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν
ξυνεχεστέροισι πυρετοῖσιν ἢ ἐν τοῖσι γνησίοισι τρι-
ν.

Οἷσι δ' ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλ-

γέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίγνηται ἢ μαρμαρυγαὶ προφαίνωνται, ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐπὶ δεξιὰ ἢ καὶ ἐπ' ἀριστερὰ, ξυντείνηταί τι μήτε ξὺν ὀδύνῃ μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τούτοισι ῥυῆναι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. Μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι· τοῖσι δὲ τριηκονταέτεσι καὶ γεραιτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

46. Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίγνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι καὶ χλωρὸν ἢ πέλιον ἢ ἐρυθρὸν ἴσχωσιν. Γίγνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν ἐς τὰ ἑπτὰ ἔτεα· τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες οὐκ ἔτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐν τῇσι φρενίτισι γίγνεται. Τοὺς δ' ἀπολουμένους τε καὶ περιεσομένους, τῶν παιδίων τε καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖσι ξύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. Ταῦτα δὲ λέγω περί τε τῶν ὀξέων νοσημάτων καὶ ὁκόσα ἐκ τούτων γίγνεται.

47. Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγιγνώσκειν τούς τε περιεσομένους καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νούσημα καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα ταῦτα, πάντα θεᾶσθαί τε καὶ κρίνειν, λογιζόμενον τὰς δυνάμιας αὐτῶν πρὸς ἀλλήλας ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων καὶ τῶν οὔρων καὶ

τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσση καὶ χολήν. Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων τῶν αἰεὶ ἐπιδημεύντων ταχέως ἐνθυμέεσθαι, ἐκμανθάνειν τε τὴν τῆς ὥρης κατάστασιν. Εὖ μέντοι χρὴ εἰδέναι περί τε τῶν τεκμηρίων καὶ τῶν ἄλλων σημείων, ὅτι ἐν παντὶ ἔτεϊ καὶ πάσῃ ὥρῃ τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν· ἐπεὶ καὶ ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα· ἕν γε οὖν τοῖσιν αὐτοῖσι χωρίοισιν οὐδὲ δυνατὸν μὴ οὐ τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθὼν τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίστηται. Ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος οὔνομα, ὅ,τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον· πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτοῖσι σημείοισιν.

ΟΒΕΛΙΣΜΟΣ.



— ; — . : . ἐκδιηγεύμενοι ἐκδιηγεύμενος, : : :

2. . . . ἢ καὶ μολιβδῶδες [1]).

[1]): = § 6. « *ὠχρόν*· — ἀντίκειται γὰρ τὸ plumbeum =pallidum τῷ livido καὶ τοῖς τούτου ποικίλμασιν.

. . . , ἢ λιμῶδές τι ἔχοι αὐτόν· . . .

. . . , τά τε ἐν τῷ ξύμπαντι *σώματι*, τά τε ἐν τῷ προσώπῳ, . . .

3. . . . , ἢ *λημέοντες* φαίνωνται . . .

4. . . . · εἰ δὲ καὶ προπετὴς γίγνοιτο ἀπὸ τῆς κλίνης καὶ καταῤῥέοι ἐπὶ πόδας, . . .

5. = Darbg.

7. . . . ἄχυρα [*δρᾷς*] ἀποσπώσας, . . .

8. . . . πυκνὸν μὲν ἐὸν [1]) σημαίνει . . .

[1])· αὐτίκα γὰρ τῷ [*καὶ σμικρὸν*] Erm. μάχεται τὰ Γαληνοῦ· « ἐν μὲν οὖν τοῖς ἀλγήμασιν ἐδείχθη τούτῳ μικρὸν καὶ πυκνὸν γενόμενον τὸ πνεῦμα, κατὰ δὲ τὰς φλογώσεις πυκνὸν καὶ *μέγα* »· ὥστε γράψαι ἐχρῆν τὸν K. Erm. Π. δὲ πυκνὸν μὲν ἐόν, [ἢν μὴν σμικρὸν ᾖ], πόνον σ., [ἢν δὲ μέγα], φλεγμονήν. Οὐ μὴν ἀλλὰ ἐλλείποντος ἐν τῷ ἀντιῤῥόπῳ μέλει, τῷ « μέγα δὲ . . . καὶ *διὰ πολλοῦ χρόνου* » (= ἀραιὸν καὶ μέγα), ἐλλείποντος, φημί, τοῦ συστοίχου, τοῦ δὴ *ἀραιὸν καὶ μικρόν*, προσθεῖναι ἐχρῆν κἀνταῦθα τὸν

K. Erm. συμπλήρωμά τι· ὅπερ οὐ ῥάδιον. Εὖ οὖν ἔχει ἡ ῥῆσις κατὰ τὴν καθόλου ἀντίθεσιν τοῦ πυκνοῦ καὶ τοῦ ἀραιοῦ.

11. . . . · εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ (μέρει), [1] . . .

[1]· εἰκὸς γὰρ γλ. εἶναι καὶ τοῦτο.

. . . · ᾧ (— ἧ, οἷσι —) γὰρ ἂν ᾖ τι τούτων, . . .

12. . . . σημαίνει [1] κίνδυνον . . .

[1]· γεγράφθαι ὑποπτεύω συντομωτέραν τὴν ἀνακεφαλαίωσιν ταύτην, καὶ ἰσοῤῥοπωτέραν, ὧδε· . . . μεγάλα, ὀλιγοχρόνια· . . . , χρονιώτερα.

13. . . . ἀνώδυνα, καὶ [ἦν] . . .

16. . . . · ἄριστον δὲ αἰεί, . . .

17. . . . κακὸν ἢ καὶ . . . σημεῖον . . .

19. . . . ἡ παραφροσύνη ἐπέσται . . .

20. . . . καὶ [ἦν] τὴν ὥρην ἥνπερ . . . ὑπεχώρεε, διαχωρέῃ· ὑπόπυῤῥον δὲ . . . · πλῆθος δὲ . . .

. . . μήτε πυκνόν τε καὶ [1] κατ' ὀλίγον διαχωρέειν· . . .

[1]· = Γαλ. 134· « ἔτι τε εἰ μὴ πυκνῶς καὶ κατ' ὀλίγον διαχωροίη. »

. . . · πλεῖστον δὲ ὑπίτω τὸ [1] πρωΐ[ον], ὅσον καὶ [2] ξύνηθες ἦν τῷ ἀ.

[1]. Γαλ. 136. « . . . ἔν τισι μὲν ἀντιγράφοις μετὰ τοῦ ὑπίτω, κατ' ἔνια δὲ καί, χωρὶς τούτου, κατὰ τοῦτον τὸν τρόπον πλέον [δὲ] τὸ πρωΐ[ον], ὥσπερ σύνηθες ἦν τῷ ἀ.

[2]. εἴτε οὕτως, εἴτε ὥσπερ, ὀλίγον διαφέρει.

* Δεῖ δὲ . . . εὐόγκον. [1] »

[1]. οὐ πάνυ οἰκεία ἡ θέσις ἐνταῦθα τῆς ῥήσεως.

. . . · πονηρὸν δ' ἔτι, . . .

21. . . . ἄνευ ψόφου [1]) διεξιέναι . . .

[1]) κάρτα γὰρ χυδαία ἡ π. φωνή.

. . . κχίτοι κακὴ ἡ οὕτω δ.· σημαίνει [γὰρ] . .

22. . . . εἰ δὲ μή, ἢν διαλείπῃ . . . οὐρέηται, — ὑφίστηται [1]) . . .

[1]). ὥσπερ τὸ κρέμηται καὶ τὰ τοιαῦτα.

. . . Κριμνώδεες δὲ . . . [1])

[1]). ἢ οὐκ εἰκός, καὶ πρὸ Γαληνοῦ ἤδη βιβλιογράφου πλημμελείᾳ ταραχθῆναι τὴν τάξιν;

. . . , κίνδυνος μὴ οὐκ ἄρα δ. ὁ ἀ. δ., ἔστ' ἂν πεπανθῇ τὸ οὖρον καὶ πεφθῇ ἡ νοῦσος.

23. . . . καὶ μὴ παχὺς κάρτα, οἱ γὰρ [1]) ἀκρητέστερ[redacted] ἐρα . . εἰσίν, μηδὲ πουλὺς ἐμεύμενος.

[1]). ἄλλως γὰρ τὸ γὰρ νοῦν οὐκ ἔχει· εἴ γε ὁ πουλὺς οὐ δηλοῖ τὸ ἄκρητον ἢ μεμιγμένον.

24. . . . τὰ δὲ παύοντα τὴν ὀδύνην ἀναπτυόμε[redacted]ναι πάντα πάντων ἀμείνω.

26. . . . , ὡς διαγέγραπται ἕκαστα ἀγαθὰ ἐόντα,[1]).

[1]). ἐφ' ᾧ, καὶ ἐνταῦθα καὶ ἐν § 27, πρόσγραμμα οἱ [redacted]δεῖ εἶναι [2]) ἐξ οὗ τὸ εἰδέναι —

[2]) τουτέστιν, ἑτέραν εἶναι γραφὴν [1]) ὡς δ. ἕκαστα ἀγα[redacted]θὰ εἶναι.

. . . εἰ δὲ τὰ μέν τινα . . .

. . . , οὐ πλείω ἂν χρόνον . . .

28. . . . , ἤ ποτε αὐτὸν ῥῖγος ἔλαβε καὶ ἢ φαίη [redacted]ἂν ἀντὶ . . .

29. . . . εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμ[redacted]μπύημα, καὶ ἐκ τούτου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν τὸ [1]) βάρ[redacted]ος

(ἐγ)γίγνεται. [1]· ἤ, ἄνευ τοῦ τό, βάρος γ'. = Cels. . . . , onerare eam ex pondere *aliquo* videtur. » . . . .

30. . . . · πρῶτον μὲν, *οἷον* πυρετὸς . . . ‾: ὑφ'. ἐν δηλ.

31. . . . οἷα καὶ τοῖσιν *ἐγχρόνοισι* [1]) γιγνομένοισιν, . . :

[1]). Γαλ. 206· « εἴτε τι τῶν ἐπὶ τοῖς χρονίοις εἰρημένων. »

. . . , ἐς τὰς εἴκοσιν ἡμέρας ἀγχοῦ π. τὴν ρ., ἢ καί τε πρόσθεν · . . .

32. . . . πέλιον πτύηται ἢ . . .

33. . . . , ἄλυτοι δέ τε καὶ ἄκρητοι, . . .

34. . . . καὶ ἡ ἀπόστασις *ἂν ὀδυνῶσα* . . . .

36. . . . *πᾶσαι μὲν* δειναί τε . . .

. . . *μήτε οὖρον* μηδὲν *διἴοι*, . . . — ; — ἢ ; . . . μήτε *τοῦ* οὔρου μηδὲν *διἴοι*, . . .

. . . ἐλπὶς τὸν ν. ἀπολεῖσθαι.

38. . . . · καὶ οὐ λήσει [*σε*], ὅκη . . .

* . . . καὶ ἡ τῶν τεταρταίων [1]) κατάστασις . . .

[1]). καὶ εἰ, χωρὶς τοῦ *καί*, γράψαιμεν Γ. δὲ ἡ. . . . , πῶς ἂν τὸ *τεταρταίων* σημαίνειν ἔχοι quartanorum circuituum, ἔμοιγε οὐ τελέως πιθανόν, οὐδ' ὁρῶ ὅ,τι δύναιτο εἰς ἀνάπεισιν τὸ ἔτι ἀσαφέστερον *τεταρταῖα* = *τεταρταία*. Ὁπότερον δὲ ἐν νῷ εἶχεν ὁ παρεγγράψας τὴν ῥῆσιν, τὴν τάξιν ἢ τύπον τῶν τεταρταίων πυρετῶν, ἢ τὴν *εἰς τεταρταῖον* κατάστασιν τῶν συνεχῶν πυρετῶν (§ 43), τοῦτο τὸ ζήτημα διελέσθω ὁ δυνάμενος. . . . .

39. . . . , *ἕως* [1]) ἂν νεαρὰ ᾖ . . .

[1]). τῷ γὰρ ἡμετέρῳ τὸ *ἔστ'* ἂν donec, τὸ δὲ quamdiu = *ἕως* ἄν.

40. . . . , ἤν τε καὶ ἄλλο τι . . .

41. . . . ξυνεξερεύθεται (— ; —).

. . . παράνοιαν τε ποιέει καὶ [1] * * * ἔμπυοι ἐξ αὐτῶν (τινες) γ. ὡς τὰ πολλά.

[1]. ὄντως οἱονεὶ χάσμα φαίνεται.

42. . . . , ἔστ' ἂν [1] . . . .

[1]. ἕτερος γὰρ τοῦ ἡμετέρου εἴη ἂν ὁ παρεμβαλὼν ταύτην §, ᾧ ἐνδέχεται, τὸ *ἔστ' ἂν* εἶναι = *ἕως ἂν*.

. . . , ἢν ὅ (τε) χρόνος ξ. καὶ [1] μὴ . . .

[1]. δύναται γὰρ τοῦτο τὸ *καὶ* = *τουτέστιν ἢν* . . .

43. . . . , ἢν διαλείπῃ τε καὶ *λαμβάνῃ* [1] . . .

[1]. σύνηθες γὰρ τὸ *λαμβάνειν* ψιλῶς ἐπὶ πυρετοῦ.

. . . . νεωτέροισι (τῶν) τριήκοντα . . .

* παλινδρομεύσας. [1]

[1]. ἀμέλει, καθάπερ ἐπὶ ἐρυσιπέλατος, κἀνταῦθα τὸ *παλινδρομέειν* δηλοῦν οἶμαι retrocedere, μὴ recurrere (— récidive —).

45. . . . αἷμα διὰ (τῶν) ῥινῶν . . .

47. . . . ταῦτα, πάντα *θεᾶσθαί*[*τε*] *καὶ* κρίνειν, . . .

. . . , *ἐκμανθάνειν τε* τὴν τῆς ὥρας κ.

. . . ἄλλων σημείων, (καὶ μὴ λανθάνειν), ὅτι . . .

. . . ἀληθεύοντα· [1] ἕν γε οὖν [2] . . .

[1]. εἰκὸς γὰρ γλ. εἶναι τὸ *τὰ σημεῖα*. [2]

[2]. οὐ γλ. αὖ τὸ *ἐξ ὧν χρὴ εἰδέναι ὅτι* . . .

. . . *οὐδὲ δυνατὸν μὴ* οὐ . . .



ΕΠΙΜΕΤΡΟΝ.

Ὁ διάσημος Ermerins, ἐν ἁβρᾷ ἐπικρίσει (Hipp. III, Epimetr.), τῶν ἐμοὶ καινοτομηθέντων πλεῖστα μὲν ἐγκρίνει, ἔστι δὲ καὶ ἃ κατακρίνει· ἐκεῖνα μὲν οὖν εὖ ἵδρυται, ἐπισκέψασθαι δὲ ἄξιον ταῦτα.

ΟΡΚΟΣ. « Τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων. »

ΝΟΜΟΣ. 3. « . . . · ὥσπερ γὰρ τὸ μεταγράφειν τὰς παλαιὰς ῥήσεις προπετές, οὕτω καί, φυλάττοντας ὡς γέγραπται, βραχείαις (τέ) τισὶν ἢ προσθέσεσιν ἢ ὑπαλλάξεσι διαλύεσθαι τὰς ἀπορίας, ἀγαθῶν ἐξηγητῶν ἐστιν ἔργον. » Γαλ. VII, 894.

4. * · ἔμοι γε ψυχρῶς παρέλκει ταῦτα.

ΤΕΧΝΗ. 2. Ἄμεινον γοῦν [τὰ] εἴδεα.

4. Ἅπαντα τὰ ἀντίγραφα συμφωνεῖ περὶ τὸ ἐξυγιαίνονται.

Εἰκὸς πρόσθετον εἶναι τὸ *καὶ ἐπίστευσαν*· οὐ μὴν ἄκομψος ἡ προσθήκη.

5. — ; — . . . · οὐ μὴν ὥστε εἰδέναι ὅ,τι : : : μὴ ὀρθόν, ἀλλ' ὥστε ἐπιτυχεῖν ἂν τοιαῦτα θεραπεύσαντας ἑωυτούς, . . .

Ῥᾳδίως ὑπακούεται τῷ *ὑγιάσθη* τὸ ἢ *μή*.

7. ! Εἰ βούλει· ἀκρασίην.

8. ! Ἀληθῶς, κατατυχόντα = τύχῃ compotem· —

δυσσύνταχτον δὲ τὸ ' ὧν ἁπάντων φ. δ. ἑκάστου *μὴ κατ*- *α*-τυχόντα . . . ., εὐσυντάκτου ὄντος τοῦ ' ὧν . . . ἑκ- *ά*-στου κατατυχόντα . . . . = φημὶ γὰρ τὸν ἰατρὸν, ἑκ- *ά*-στου πάντων τούτων κατατυχόντα, [μὴ ἐπιτυχόντα] -ί-τιᾶσθαι δεῖν τὴν δύναμιν τοῦ πάθους, μὴ τὴν τέχνην.

9. 'Αλλαχοῦ γε, ἐν Προγν., Π. ἑλκῶν, σύνηθες τὸ -οι-*δέειν*.

10. Ἄπορον τὸ *ὕπαφρον*, spumosum Erm. = χ-φαῖον· εἶτα οὔτε τοῦτο, οὔτε τὸ *ὑπόφορον* ἐξηγήσεως ἐδεῖ-α. Ἀντὶ οὖν τοῦ ὑπόπτου *ὕποφρυ* ἕτερον αὖ προβάλλω, τὸ *ὑπόρροφον*, ἢ, ὑπώροφον.

! Εὖ ἔχειν κινδυνεύει τὸ *πολλὰ λυπήσας*.

11. Ἰσόρροπον τῷ ὄντι μᾶλλον τὸ *ὀκόταν* . . ., ἢ *ἐκόταν* . . .

Οὐκ ἄχαρι τὸ μετέωρον τοῦ *καὶ ὀκόσαι*.

12. Τῷ *ξυμπάντων* ὁμοιότερον τὸ ξύμπαν τὸ · ὃ τρέ-πειν αὖ εἰς τὸ *ξύμπαντα τὰ*, πρός γ' ἐμοῦ ἔξεστιν.

Εἰ ἀνεκτὸν τὸ *μένος καὶ τὰ μένεα*, πῶς οὐ καὶ τὸ *μη-νίοντα*; Ἄμεινον μέντοι, *τὰ μηνύοντα*.

ΑΡΧ. ΙΗΤΡ.

2. Ὁμαλὸν εἶναι τὸ 'καταφανὲς ἔσται *ἀδύνατα ἐόντα* . . . . εὑρίσκεσθαι = (;) m. fiet nihil omnino . . . inveniri posse, οὐ πείθομαι· γράψαι μέντοι ἐνῆν ' κ. ἔσται ἀδύνατον ἐὸν (*τὰ*) *ἐόντα ἀ*. π. ε.

! Εἰ ἀπαράδεκτον δοκεῖ τὸ *οἱ* = ὑπὲρ ἑαυτοῦ, ἀνάγνωθι οὖν *οὕτως*.

3. Ἔγραψα *αὕτη διὰ τὸ ὅτι*· ψυχρὸν γὰρ ἐνταῦθα τὸ quia.

Καὶ τὸ ἀπόλυτον *ἰσχυρὰ* = ἰσχυρότερα τοῦ δέοντος.

4. Τοῦτο τὸ ζήτημα ἄλλοι διελέσθωσαν· οὐ γὰρ οἶδα, εἰ οἱ γυμνασταὶ ('Ορειβ. I, 654) ἐπεμελοῦντο τοιούτων ἀ-

ακτήσεων, όποίας νοεῖν ἔοικεν ὁ Κ. Ε. παραβάλλων αὐτὰς ... αῖς ἐν § 21 ἐκ τῶν νόσων ἀνακομιδαῖς.

5. Εἰ μὴ ἀρέσκει ἡ κατὰ Νόμ. 5 διασκευὴ, ἀνάγνωθι 'εἰ ... ρα κρατέειν καὶ αὕτη τῶν αὐτῶν ἐθέλει καὶ ὁπόθεν . . . - κάρτα γὰρ στρυφνὸν τὸ ἢ ῥά τι . . .

6. Ἦν μοι ὁ λογισμὸς ὅδε· οἷς μηδὲ τὰ ῥ. συμφέρει, οὗ... οι προσφερόμενοι ξηρὸν σιτίον μᾶλλον κακοῦνται ἢ ῥοφέον... ες, διὰ τὴν ἰσχὺν τοῦ ϐ. π. τ. δ. καὶ διὰ τὸν λόγον ὅτι ...όντως γε μᾶλλον συμφέρει ῥοφεῖν, ἢ ἐσθίειν· εἰ γὰρ [1]) . . ;

[1]) ἄνευ γε μὴν τοῦ γὰρ νοῦν οὐκ ἔχει τὸ ὅτι.

8. Δίαιτα κάμνοντος πρὸς διαίταν ὑγιαίνοντος = δίαιτα ...γιοῦς ἀνθρώπου πρὸς δίαιταν κτήνους· ὅ ἐστιν· ὅσον βλά... πτεται κάμνων χρώμενος διαίτῃ ὑγιαίνοντος, τόσον καὶ ...γιὴς ἄνθρωπος χρώμενος διαίτῃ κτήνους.

! ἴσως· ' . . . εὐηθέων, ἄλλο τι οὖν ἢ αὐτῷ ἐ. μ. ἐ. ...σεσθαι, εἰ . . . . ἠδύνατο; ἄλλος τε . . . . δύναιτο, ...οὐκ ἂν ἧσσον . . . . , nonne ei peccanti m. erit (τὸ ...πρόσθεν δόγμα δηλονότι), si . . . . poterat? Alius...que . . .

10. ! Πείθει μάλιστα ὑπὲρ τοῦ *δυσθυμίη* καὶ τὸ ἐν Διαίτ. ὀξ. « *δειλοὶ* ἐς πᾶν ἔργον. »

13. Γλαφυρόν γε μὴν οὐ πάνυ τὸ 'ὑπό τε χρόνου καὶ τῆς διαίτης.

14. ! Ὄντως ἐχρῆν ἢ = Α, ἢ ' Ὁ δὲ ταῦτα μὴ ἐπι...σκεπτόμενος, . . .

16. Εἰ βούλει· 'ἢ εἰ . . . διαπαύσαιτο, τῷ . . .

19. Ἄμεινον ἴσως 'καὶ λῆμαι ἀντ' αὐτῶν ἥκωσι· . . . Σόλοικον πάντως τὸ 'τῆς θέρμης εἰλικρινέος, ,ἀνθ' οὗ ἐχρῆν ...τῆς θ. τῆς εἰλικρινέος·' ὃ παριδὼν, 'διὸ οὐκ ἐσημείωται ἐν τῷ Ὀβελισμῷ' ,ἐπὶ τῆς διορθώσεως τῶν τυπογραφικῶν δο...κιμίων τῇ τοῦ ο εἰς ω τροπῇ ἠρκέσθην· ἄμεινον γὰρ ἦν ' . . . ...ς θέρμης τῆς εἰλικρινέος, ἢ ψύξιος, γίγνεται . . .

ʹ.

20. Τοῦ *Οὕτως* οὐχ ὁρῶ τὸ δῆθεν μοχθηρόν· ἄμεινον δὲ ὄντως σὺν τῷ *μοι*· Οὕτως αὖ σημεῖόν μοι ἔστω . . .

! Διαγραπτέον ἀληθῶς τὸ *καί*.

22. Βούλεταί μοι τὸ *οὖ γὰρ* . . . , τάδε· ὅσα γὰρ ἐν μιᾷ κοιλίᾳ περιέχει τὸ ὑγρὸν, τούτων οἷόν τε κενοῦσθαι καθ' ἑκάστην τὴν μίαν ταύτην κοιλίαν· ἀλλ' ὅσα εἰς πολλὰς κοιλότητας δέχεται . . . · — ὅπερ κατ' οὐσίαν ταὐτὸν ἂν εἴη τῇ τοῦ Κ. Ε. νῦν γραφῇ· ἐν ᾗ, οὐ σαφῶς ὁρῶ, διὰ τί *ἐνῆν*· χρῆναι γὰρ δοκεῖ μοι *ἐνείη*.

! ! Γεγράφθω τοιγαροῦν τῷ γράψαντι τὸ βιβλίον· *'τοῖσιν ἀποσφιγχθεῖσι*, .

« Quare πρὸς *αὐτοῦ* . . . ? » · — ὅρα 'Οβελισμόν.

* ; Τύπου παρόραμα ἐν σελ. VII, στ. 1· πολλὰ, ἀντὶ πολλὸν . . .

ΚΕΦ. ΤΡΩΜ.

Ὄντως τὸ « ἐν δὲ *τῶν τρόπων* ἑκάστῳ, μαρτυρεῖ ᾧ προτιμᾷ ὁ Κ. Ε. ἀριθμῷ, ἐὰν θῶμεν δηλαδὴ τοὺς ἐνταῦθα τρόπους ἴσους τοῖς γενικοῖς τρόποις· ἄλλως δὲ, ὑπολαμβάνοντες δηλονότι τούτους τοὺς τρόπους ὡς εἴδη τοῦ ἴσου τῷ γένει τετάρτου τρόπου, οὐκ ἀναγκάζει ἡμᾶς τοῦτο τὸ *τῶν τρόπων* εἰς ἀποδοχὴν ἑπτὰ τρόπων ὁμοτίμων.

« Sentio tamen . . . usurpatum fuit »· οὗτος ἦν ὁ λόγος ὁ πείσας με ὑπὲρ τῆς μεταθέσεως.

1. Ἄμεινον συστοιχεῖ Τ Ⅰ, ⌗, +, ἢ Τ Τ, ⌗, Χ.

3. Ἀγωγῇ χρῆται ὁ Κ. Ε. ἧσσον μὲν τῆς ἐμῆς αὐθαιρέτῳ, ἠπίᾳ δὲ οὐ μάλα.

4. Σαφέστερόν γε τὸ *ταύτῃ*· ἓν γὰρ τὸ ὀστέον.

Παρέλκει μέν πως τὸ *καὶ ὁμοίω*; *τ. κ. ἧσσον*, οὐ μὴν ἀκόμψως γε.

5. Πείσεσθαι ἐλπίζω τὸν Κ. Ε., ὡς ἀκόλουθόν ἐστι τῇ ὅλῃ διδασκαλίᾳ τό· ἐν αἷς (ταῖς πρώταις τρισὶν) τὸ προνοεῖν τοῦ θανάτου (=προβουλεύεσθαι πρὸς τὸν θάνατον, ὅ

τῆς πρίσιος εἰκότως-) ὄφελος ἂν γένοιτο τῷ ἀνθρώπῳ· γνόντες γὰρ ὕστερον, κἂν προνοήσωμεν καὶ τότε τοῦ θανάτου, οὐκέτι ὠφελοῦμεν τὸν ἄνθρωπον, πρίοντες.

! Ὁμαλώτερον ὄντως 'καὶ *πάνυ* καμπύλην..

7. Εἰ βούλει· *Καὶ* π. *τε* . . . ἢ ἄμφω· *Καὶ* π. *δέ* τε . . .

8. Ῥᾳδίως ὑπακούεται τῷ *γένηται* τὸ *πρός*, διὰ τὸ προηγούμενον *προσγένηται*.

Εἰ βούλει· *τούτου* τοῦ τ.

Ἐντονώτερον προφερομένου τοῦ *διὰ* τοῦ *αὐτό*, εὖ ἔχει τὸ *αὐτό*.

Αἱ δὲ *βλάπτουσιν* E. . . . *βλάπτουσιν* . . . *δέονται*. Q. γραφαί, ἆρα μηδὲν ὑποκρύπτουσιν;

12. Διὰ τὸ « Ταῦτα . . . λέξαι » προυτίμησα τὸ *φάναι κινδυνεύειν*.

! Ἄμεινον δι' ὃν λόγον φησὶν ὁ K. E.· *ὀστέον ἐὸν* . . .

Ἐὰν μὲν ἀντιθῶμεν τῷ διαγιγνώσκειν τὸ ἐλέγχειν, γραπτέον εἰκότως *ἐλέγχειν*· ᾧ μαρτυρεῖ πως καὶ τὸ *ἔπειτα δὲ*· ἐὰν δὲ μίαν θῶμεν τὴν διάγνωσιν, ἧς πρώτης χρόνος τὸ πυνθάνεσθαι, δεύτερος τὸ ἐλέγχειν, ἐπιείκειαν ἔχει τὸ *ἐλέγχοντα*.

13. Πᾶν τοὐναντίον, ἐν τῷ '*πρός* τε τὸ ὀστέον καὶ *ἐς* τὸ ὀστέον, ἐπιτείνειν δοκεῖ μοι τὸ *ἐς* τὸ *πρός*.

Εἰκότως '*ἐνίοτε* γ. *τῶν τρωμάτων* = ἐνίοτε τῶν τρωσίων = ἐνίοτε κατὰ τὰς τρώσεις.

14. Περιττὸν μὲν τὸ *ἐστι*, ἀνεκτὸν δέ.

Τί δὲ ποιητέον τὸ Ἐρωτιανοῦ; 152· « Ἐν γοῦν τῷ Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων αὐτὸς ἐξηγεῖται, λέγων Ἀιακοπὴ δὲ καὶ ἕδρη τὠυτό ἐστι· *φλᾷ* δὲ *οὐ μάλα*, καὶ *πολλάκις (;). »

16. Ἀμέλει, περὶ τῆς ἐν ῥαφῇ ἕδρης ὁ λόγος· ἣν δὲ ἤδη προτείνει γραφὴν ὁ K. E., διασκευάσαι ἔνι καὶ ὧδέ πως· ' . . . *τῇ ἐν αὐτῇσι* τῇσι ῥαφῇσι γιγνομένῃ, καὶ γί-

γνεται καὶ *αὐτὴ ἡ ῥῆξις χ. φ.*, [*ταύτῃ*] ἐῤῥωγότος τοῦ ὀστέου, διὰ τοῦτο ὅτι . . .

Χωλαίνει τὸ *ἔτι*· χωλαίνει δὲ καὶ τὸ *ἔστι*· ἀνθ' οὗ ἄμεινον ἴσως· *ἔς τι*.

17. Εἰ πρὸς τὸ 'εἰ μὴ καὶ τομῆς δέοιτο. τὴν ἀναφορὰν εἶχε τὰ ἔμοιγε νόθα, μᾶλλον ἂν ἔγραψεν ὁ παλαιὸς 'ἐνταῦθα γὰρ γενόμενα τὰ ἕλκεα *τομῆς* μᾶλλον κέχρηται ἢ . . . ὅπερ αὖ πρωθύστερον.

20. — ; — . . . , ἡ *προσμεμαγμένη* πρὸς τῷ ὀ. π.

21. 'Αμέλει κἀμοὶ *ἐοῦσαι* τοῦ βέλεος = ὡς γεγένηνται ὑπὸ τοῦ βέλεος.

Δύσπεπτον κάρτα ἔμοιγε τὸ *πολλάκις*, ἄνευ δὴ τοῦ α.

22. ! Πλεονάζει ὄντως τὸ *οὗ δεῖ*.

! ! 'ὅρα ἐπὶ τέλει.

23. Διὰ τί ἔμβλημα τὸ *ἰώμενον* ;

— ; — ' . . . , καὶ ἐκ τούτων *οἰδέον* ὑ. γ.

24. 'Αμέλει οὐ τῷ *ἀφίσταται* συζευκτέον τὸ *μάλιστα*, ἀλλὰ τῷ *κατ-απωστρακωμένον* = τελέως μάλιστα ἀπωστρακωμένον. — Τὸ δὲ *μάλα* ἀποβαλεῖν οὐ κωλύω.

25. 'Αναγκαῖον μὲν οὐκ ἔστι τὸ *ἔτι*, ἀλλ' οὐδὲ βλάπτει.

26. ! Εὖ ἔχει καὶ τὸ *σκληρά*.

! 'Ενδέχεται, μὴ πλεονάζειν τὸ *καὶ θᾶσσον*.

27. Πάντως γε δεινῶς ἀσαφὲς τὸ *ἐπ' ὀλίγον*.

28. Εἰ βούλει· *μὴ ἐννοήσας*.

Μοχθηρὸν ὄντως τὸ *μελανέον*· καὶ γὰρ γλώσσῃ μᾶλλον ἔοικεν. — Τὸ δὲ *ἔπωχρον* ἔτρεψα εἰς *ὕπωχρον* διὰ τὸ προσκείμενον *γενόμενον*· ὅπερ ἄμεινον ἡγούμην προσκεῖσθαι τῷ χρῶμα ἁπλῶς σημαίνοντι ὕπωχρον, ἢ τῷ τάσσοντι ἐπὶ χρῶμα *ἔπωχρον*· τοῦ γὰρ *ἔπωχρον* = ἐπιπολῆς ὠχρὸν, τῆς τοιαύτης δύο ἐννοιῶν συμπτύξεως ἡδέως ἂν ἴδοιμι παράδειγμα· ἀτὰρ καὶ ἀεί, οἶμαι, χρῶμά τι κατηγοροῦντες σώ-

ματός τινος μὴ διαφανοῦς, ὑπακούομεν τὸ τῆς ἐπιφάνειας χρῶμα· 'Αρετ. 125, 3· ἐπώχρους.

Εἰ βούλει· ὁμοῖα . . . *σημαίνει*.

Ἄμεινον ἴσως· *καπυρὸν δὲ* [*ἐὸν*] *εὔπριστον* γ. καὶ εὔξυστον . . .

29. Σαφέστερόν γε τὸ ἀνθρώπῳ.

30. Δεινῶς ἀσύντακτον ἔμοιγε τὸ *ἀλλὰ* . . ;

31. Τὸ ἴημα, οἶμαι, ὑστερίζει τῆς ἰήσιος, οὐχ ὁ ἰατρὸς ὁ λαμβάνων τὸ ἴημα.

! ' . . . , ἀλλ' [1]) ὅκη δοκέει (ἤ, ὅκη ἂν δοκέῃ) π. εἶναι τὸ ὀστέον, ἐς τοῦτο αἰεὶ . . .

[1]) ἐὰν δὲ σὺν τῷ Κ. Ε. ὑπολάβῃ τις τὸ *ἀλλ'* = ἀλλ' ἤ, οὗτος ὄντως δεῖται τοῦ *δὲ*, 'ἐς τοῦτο *δ'* αἰεὶ . . . . , εὖ δὲ ἔχει τότε τὸ δοκέῃ.

! ! 22. « Αἰνιγματωδέστερον ἡ λέξις σύγκειται καὶ διὰ τοῦτο καὶ γραφὰς αὐτῆς πλείονας ἐποιήσαντο καὶ ταῖς γραφαῖς οἰκείας ἐξηγήσεις· ἀληθέστερον δ' ἂν εἴποι τις, οὐ ταῖς γραφαῖς τὰς ἐξηγήσεις, ἀλλὰ ταῖς ἐπινοηθείσαις ἐξηγήσεσι προσαναπεπλάκασι τὰς γραφάς. » (Γαλ. XVII, B, 257)· ταύτης τῆς Γαληνοῦ μομφῆς ἀνεμνήσθην ἀναλεξάμενος τὴν τοῦ K. E m. δεῖξιν· οὐ γὰρ λέλυνται αὐτῇ οἱ τῆς διαφωνίας δεσμοί, αἱ Γαληνοῦ γλῶσσαι. Τῆς μὲν οὖν, τῆς *μέλανι φαρμάκῳ*], ἡδέως ἂν ἴδοιμι ἀνασκευὴν πειστικωτέραν· τῆς δὲ, τῆς *στεῖλαι*], τιμωρέων τῷ ἐναντίῳ λόγῳ, διόρθωσιν προτείνω· *στεῖλαι*] ἐπικαλύψαι, *ἐπικρύψαι*, ἧς δεκτῆς γενομένης, ἄσμενος μετασταίην ἂν τῆς ἀπὸ τοῦ *ἐπιχρῖσαι* μοχθηρίας. 'Επισκεπτέον μέντοι καὶ τὸ *τηκτὸν*· αὐτίκα γὰρ αὐτὸ τὸ Γαληνοῦ « Τηκτὰ καλῶ φάρμακα . . . » δεικνύειν ἔοικεν, 'Ιπποκράτειον μὴ εἶναι τὴν ὀνομασίαν· ἀλλὰ καὶ εἰ συγχωρήσαιμεν 'Ιπποκράτειον εἶναι, τί οὖν ὑπαινίττεται *τηκτὸν φάρμακον* ὁ παλαιός ;

Διὰ τούτους τοίνυν τοὺς λόγους ἀνθ' ἧς ἐποιήσατο ὁ Κ. Erm. γραφῆς μᾶλλον ἂν ποιησαίμην τοιάνδε·

' . . . ταῦτα, μήτι ὅλως ὀρέων, *θεῖναι* ἐπὶ τὸ ὀστέον *τιλτὸν ἀμαλώτατον* δεύσας τῷ μέλανι φαρμάκῳ τῷ τηκομένῳ· τό τε ἕλκος ςεῖλαι, ὑποτείνας τε ὀθόνιον ἐλαίῳ τέγξας, εἶτα . . . = Erm. ἤ, ' . . . ταῦτα, μήτι ὅλως ὀρέων, *θεὶς* ἐπὶ τὸ ὀστέον τιλτὸν ἀμαλώτατον [1]) δεύσας τῷ μ. φ. τῷ τηκομένῳ, *στεῖλαι τὸ ἕλκος*, ὑποτείνας *τε* . . . = Erm.

[1])· ἤ, *τίλμα λειότατον*, ἤ, *τρυχίον ἀμαλώτατον*, ἢ ὅ,τι ἂν ἄλλο ἐπινοήσῃ τις ὁμοιόφωνον τῷ *τηκτὸν μελάντατον*.[2])

[2])· ἤ, εἴ τις τοῦτο οἴεται τηρητέον εἶναι·

' . . . ταῦτα, μήτι ὅλως ὀρέων, *διεῖναι* ἐπὶ τὸ ὀστέον τηκτόν τι μέλαν, μοτὸν δεύσας . . . = Erm. ἤ, — ; — ' . . . ταῦτα, μήτι ὅ. ὀ., *διεὶς* ἐπὶ τὸ ὀστέον *τριπτὸν ἄμυλον* [1]) λειότατον δεύσας (*τε*) τῷ μ. φ. τῷ τηκομένῳ, στεῖλαι τὸ ἕλκος, ὑποτείνας τε ὀθόνιον ἐ. τέγξας, εἶτα . . . = Erm.

[1]). ἢ ἄλλο τι ἔχον τὸ *μ* γράμμα· οἷον, *μέλαν*.

Ἐσχάτως χωλαίνειν δοκεῖ μοι τὸ ψιλὸν *μέλαν ἐὸν*, ἄνευ τοῦ δῆθεν ἐμβλήματος τὸ *φάρμακον*.

Ι '*Ανάγνωθι*' σελ. 6, στ. 25· . . . ἢ ἀλουσίη, ἢ πόνοισιν ἢ ἡσυχίη, ἢ ὕπνοισιν ἢ ἀγρυπνίη, ἢ τῇ . . .
σελ. 6, στ. 27· . . . *τὸ ὠφελῆσαν*, . . ;
» 10, » 5-6· . . . *ἀναθετέον* . . .
» 15, » 16· . . . *ἐπανενέγκαντα* . . .
» 53, » 3· . . . καὶ ἤν τι τούτων πεπόνθῃ . . .

Ἐν Μουνυχίᾳ, φθίν. μην. Μεταγειτν. πέμπτῃ, **1864**.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

6.

Περὶ διαίτης ὀξέων.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 226.)

1864.


BIBLIOTHECA BODLEIANA

Τοῖς ἀπὸ Κνίδου εὖ πράττειν!

α Οὕτω δὲ καὶ ὁ Ἱπποκράτης, εὐθὺς ἐν τῷ περὶ διαίτης ὀξέων μεμψάμενος τοὺς Κνιδίους ἰατροὺς ὡς ἀγνοοῦντας τὰς κατ' εἴδη καὶ γένη διαφορὰς τῶν νοσημάτων, αὐτὸς δείκνυσι τοὺς διορισμοὺς καθ' οὓς τὸ δοκοῦν ἓν εἶναι πολλὰ γίγνεται τεμνόμενον, οὐκ ἐπὶ νοσημάτων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων· ἐν ᾧ τοὺς πλείστους τῶν ἐνδοξοτάτων ἰατρῶν εὑρεῖν ἔστιν ἐσφαλμένους ἄχρι καὶ τῶν βοηθημάτων. Ἔνιοι μὲν γὰρ ἐπὶ τὰς κατὰ μέρος αὐτῶν ἐλθόντες χρείας ἀμέθοδον εἰργάσαντο τὴν διδασκαλίαν, ἔνιοι δὲ τὸ κοινότατον εἰπόντες ἄχρι μὲν τῆς προχείρου φαντασίας μεθοδικώτατον ἐποιήσαντο τὸν λόγον, τῇ ἀληθείᾳ δὲ μοχθηρότατον· ἐντεῦθεν δὲ διεφώνησαν ἀλλήλοις, ἔνιοι μὲν ὡς οἰκεῖον βοήθημα τοῦδέ τινος τοῦ πάθους, οἷον, εἰ τύχοι, πλευρίτιδος, ἀποφηνάμενοι τὴν φλεβοτομίαν, ἔνιοι δὲ τὴν κάθαρσιν, ὥσπερ γε καὶ πυρίαν οἱ μὲν διὰ σπόγγων, οἱ δὲ διὰ τῶν καλουμένων ὑπὸ τῶν ἰατρῶν μαρσίπων ἤ τινος ἑτέρου· κατὰ ταὐτὰ δὲ καὶ περὶ λουτρῶν καὶ περὶ ἀλουτίας διηνέχθησαν, ὀξυμέλιτός τε καὶ μελικράτου, καὶ ὕδατος καὶ οἴνου, καὶ πτισάνης, ἤτοι τοῦ διηθημένου χυλοῦ μόνου διδόντες, ἢ τῆς κριθώδους μόνης, οἱ δὲ

καὶ σιτίων, ἄλλος ἄλλου. Διορισάμενος οὖν, και τὰς διαφορὰς τῶν καμνόντων ἑκάστου τῶν εἰρημένω ἔδειξε χρῆζον τὸ τῆς πλευρίτιδος πάθος. Ὅπως μὶ οὖν αὐτὸς διῆλθεν ἀτακτότερον πρῶτος εὑρίσκω ἐν τοῖς ὑπομνήμασιν ἐξήγημαι τοῦ περὶ διαίτ ὀξέων, ὅ τινες μὲν ἐπιγράφουσι Πρὸς τὰς Κνιδία γνώμας, ἔνιοι δὲ Περὶ πτισάνης· ἑκάτεροι μοχθηρῶ ἐγὼ δ', ἵνα καὶ τούτου τοῦ λόγου ἔχωσι διὰ συντ μων σαφῆ τὴν διδασκαλίαν οἱ φιλομαθεῖς, οὐκ ὀκν σω δηλῶσαι τὰ κεφάλαια. Τῶν γάρ τοι πλευριτικ ἄρτι μὲν ἀρχομένων ὀδυνᾶσθαι τὴν πλευρὰν, ὡς ι οὐδέπω τῆς διαθέσεως οὔσης σαφοῦς, ἀποπειρᾶσθ κελεύει τῶν πυριάσεών τε καὶ θερμασμάτων ὀνομαζ μένων, καὶ διῆλθεν αὐτὸς τὴν ὕλην· εἶτα, ἂν λύηται, σκεψάμενον εἴτε νεοβρῶτι ἐόντι εἴτε μὴ, κ εἴτε ὑποκεχωρηκυίας τῆς κοιλίας εἴτε μὴ, διδάσ τί ποιητέον ἐστίν· ἐὰν δὲ μὴ ὑπείκῃ πρὸς ταῦτα, δι ρισμοὺς ἔγραψε τῶν τε φλοβοτομίας δεομένων κ τῶν καθάρσεως, ἐπὶ τίνων τε χρὴ μελικράτῳ πο χρῆσθαι ἢ ὀξυμέλιτι ἢ ὕδατι μέχρι κρίσεως, μηδ μίαν διδόντα τροφὴν, ἐπὶ τίνων τε χυλῷ πτισάνης τῇ κριθῇ χρηστέον, τηνικαῦτα καὶ εἰ σιτία δοτέ ἐστί. Κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ περὶ οἴνου δόσεω διορίζεται, τίσι τε χρὴ διδόναι καὶ τίσι μὴ, καὶ ὁπό καὶ ὁποῖον· ὡσαύτως δὲ καὶ περὶ λουτρῶν, ὅσα τ' ἄλ λα τοιαῦτα. Διττῆς δ' οὔσης ἁμαρτίας ἐν ταῖς δια

ρέσεσι διὰ τὸ τοὺς μὲν ἐλλιπέστερον τέμνειν, τοὺς δὲ ὑπερβάλλειν εἰς οὐκ οἰκεῖον τῷ τεμνομένῳ πλῆθος, ἑκάτερον αὐτῶν ὁ Ἱπποκράτης μεμφόμενος ἐν ἀρχῇ μὲν τοῦ βιβλίου τάδε φησί· «Τὰς μέν τοι πολυτρο»πίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων καὶ τὴν πολυσχι»δίαν αὐτῶν οὐκ ἠγνόουν ἔνιοι, τοὺς δ' ἀριθμοὺς ἑκά»στου τῶν νοσημάτων σάφα ἐθέλοντες φράζειν οὐκ »ὀρθῶς ἔγραψαν· μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον ᾖ, ·εἰ »τουτέῳ τις σημανεῖται τὴν τῶν καμνόντων νοῦσον, »τῷ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι· ,τὸ μὴ τωὐτὸ »νόσημα δοκέον εἶναι ἢν μὴ τωὐτὸ οὔνομα ἔχῃ.» Ἐπὶ δὲ τῶν ἰημάτων ἔμπαλιν, ὡς ἐλλιπόντων αὐτῶν, ὧδέ πώς φησι· «καὶ οὐ μόνον διὰ τοῦτο οὐκ »ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἄκεσι χρέονται.» Μετὰ δὲ ταῦτα προβαλὼν τὸ ἐν τῷ προβλήματι χρησιμώτατον, οὐ σαφῶς αὐτοῦ τὴν λύσιν ἔγραψεν, καὶ διὰ τοῦτ' ἠγνοήθη πολλοῖς τῶν ἰατρῶν ὅλου τοῦ προβλήματος ἡ δύναμις. Ἐξηγησάμην μὲν οὖν ὅλον τὸν λόγον τοῦτον ἐν τῷ πρώτῳ τοῦ περὶ διαίτης ὀξέων ὑπομνήματι, συντόμως δ' αὐτοῦ καὶ νῦν εἰπεῖν ἀναγκαῖόν ἐστι τὴν δύναμιν. Αὐτὸ μὲν τὸ πρόβλημα κατὰ τήνδε τὴν λέξιν ἔγραψεν ὁ Ἱπποκράτης· «δοκεῖ δέ μοι ἄξια γραφῆς εἶναι ἐκεῖνα »μάλιστα ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖς ἰητροῖσιν »ἐπίκαιρά γ' ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφε»λείας φέρει ἢ μεγάλας βλάβας· ἀκαταμάθητα δ' ἐ-

»στὶ καὶ τάδε· διὰ τί δὴ ἄρα ἐν τῇσιν ὀξείῃσι νού-
»σοισιν οἱ μέν τινες τῶν ἰατρῶν ἐς αἰῶνα τὸν ἅπαντα
»διατελοῦσι πτισάνην διδόντες ἀήθητον καὶ νομίζουσιν
»ὀρθῶς ἰητρεύειν, οἱ δέ τινες περὶ παντὸς ποιοῦνται
»ὅπως κριθὴν μὲν μηδεμίαν καταπίνῃ ὁ κάμνων, μέ-
»γάλην γὰρ βλάβην ἡγέονται εἶναι, ἀλλὰ δι' ὀθονίου
»τὸν χυλὸν διηθέοντες διδόασιν· οἱ δ' αὖ τινες αὐτέων
»οὔτ' ἂν πτισάνην παχεῖαν δοῖεν, οὔτ' αὖ χυλόν, οἱ
»μὲν μέχρις ἂν ἑβδομαῖος ὁ κάμνων γένηται, οἱ δὲ
»καὶ διὰ τέλους ἄχρις ἂν κριθῇ ἡ νοῦσος. Μάλα μὲν
»οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθι-
»σμένοι εἰσὶν οἱ ἰητροί, ἴσως δ' οὐδὲ προβαλλόμενα
»εὑρίσκεται· καί τοι διαβολήν γ' ἔχει ὅλη ἡ τέχνη
»πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκεῖν ὅλως
»ἰητρικὴν εἶναι, ἕως τοι ἔν γε τοῖσιν ὀξυτάτοισι τῶν
»νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνα-
»κτες, ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγούμενος ἄριστα
»εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι.» Καὶ
μετ' ὀλίγα· «φημὶ δὴ πάγκαλον εἶναι τοῦτο τὸ σκέμ-
»μα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ
»τέχνῃ καὶ ἐπικαιροτάτοισι· καὶ γὰρ τοῖσι νοσέουσι
»πᾶσιν ἐς ὑγίειαν μέγα τι δύνασθαι καὶ τοῖσιν ὑγιαί-
»νουσιν ἐς ἀσφάλειαν καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐε-
»ξίην καὶ ἐς ὅ,τι ἕκαστος ἐθέλει.» Τὸ περὶ διαφωνίας,
φησί, τῶν τεχνιτῶν σκέμμα μεγίστην ἔχει δύναμιν,
οὐ μόνοις τοῖς νοσοῦσιν ἐς ὑγιείης κτῆσιν, ἀλλὰ καὶ

τοῖς ὑγιαίνουσιν ἐς φυλακὴν αὐτῆς καὶ τοῖς ἀσκοῦσιν ἐς εὐεξίαν τοῦ σώματος, πρός τε τὴν κτῆσιν αὐτῆς δηλονότι καὶ διαμονήν. Εἶτα προσέθηκε «καὶ ἐς ὅ,τι ἕκαστος ἐθέλει,» δηλῶν, οὐ μόνον εἰς ἰατρικὴν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας τέχνας ἐκτετάσθαι τὸ σκέμμα καὶ τὴν λύσιν αὐτοῦ. Θαυμάσαι γάρ ἐστι, διὰ τί τέχνην μετιόντες οἱ ἰατροὶ καθ' ἣν τῇ πείρᾳ τὰ προσφερόμενα βοηθήματα κριθῆναι δύναται, πότερον ὠφέλησεν ἢ ἔβλαψεν, ὅμως ἐναντιωτάτας ἀποφάσεις ἐποίησαν περὶ τῶν ὠφελούντων τε καὶ βλαπτόντων. Ἐν μὲν γὰρ φιλοσοφίᾳ μὴ πεπαῦσθαι τὰς πλείστας τῶν διαφωνιῶν οὐδὲν θαυμαστὸν, ὡς ἂν μὴ δυναμένων τῶν πραγμάτων ἐναργῶς κριθῆναι τῇ πείρᾳ, καὶ διὰ τοῦτο τινῶν μὲν ἀποφηναμένων ἀγέννητον εἶναι τὸν κόσμον, τινῶν δὲ γεννητὸν, ὥσπερ γε καὶ τινῶν μὲν οὐδὲν ἔξωθεν αὐτοῦ περιέχον εἶναι, τινῶν δὲ εἶναι λεγόντων, καὶ τούτων αὖ τῶν περιέχον εἶναί τι φάντων ἐνίων μὲν κενὸν ἀποφηναμένων εἶναι τοῦτο, μηδεμίαν οὐσίαν ἔχον ἐν ἑαυτῷ, τινῶν δὲ κόσμους ἄλλους ἀριθμῷ ἀπεριλήπτους ὡς εἰς ἄπειρον ἐκτετάσθαι πλῆθος· αἰσθήσει γὰρ ἐναργεῖ τὴν τοιαύτην διαφωνίαν ἀδύνατον κριθῆναι. Οὐ μὴν ὅμοιόν γε τὸ τῆς ὠφελείας καὶ βλάβης τῶν προσφερομένων τοῖς σώμασιν ἰαμάτων, εἰς διαφωνίαν ἀφικόμενον ἐν τοῖς ἰατροῖς, δυναμένων γε αὐτῶν κρῖναι τῇ πείρᾳ τό τ' ὠφελοῦν καὶ τὸ βλάπτον. Τούτου τοίνυν τοῦ ζητήματος ἡ

ϑ'.

λύσις οὐ πάνυ τι σαφῶς εἴρηται τῷ Ἱπποκράτει, καὶ διὰ τοῦτο σχεδὸν ἅπαντας ἔλαθε τοὺς ἐξηγησαμένους τὸ βιβλίον· ἔστι δὲ τοιάδε· τῶν νοσούντων ἔνιοι μὲν ἀσιτίας χρῄζουσιν ἄχρις ἂν ἡ νοῦσος κριθῇ, τινὲς δὲ τροφῆς, καὶ τούτων ἔνιοι μὲν τῆς κριθώδους πτισάνης, ἔνιοι δὲ τοῦ χυλοῦ μόνου, καθάπερ γε καὶ στερεωτέρας ἔνιοι, καὶ μέν τοι καὶ τινὲς μὲν ὀξυμέλιτος ἢ μελικράτου, τινὲς δ' ὕδατος ἢ οἴνου. Διὰ τοῦτο τοῖς ἰατροῖς, ὅσοι τῇ πείρᾳ μόνῃ τὴν τέχνην συνεστήσαντο, χρήσιμον ἔδοξεν ἐκεῖνο μόνον ὃ κατά τινα τύχην αὐτοῖς ἐφάνη πλεονάκις ὠφελῆσαν· οὐδὲ γὰρ ἐπ τοὐναντίον εἶδος ἀφικέσθαι τῆς διαίτης τολμῶσιν, ὡ κἀκείνου πειραθῆναι, τὴν ἀτυχίαν δεδιότες. Μόνος οὖ ὁ τήν τε φύσιν εἰδὼς τοῦ κάμνοντος καὶ τὴν τοῦ ν σήματος διάθεσιν καὶ τὴν τοῦ προσαχθησομένου βο θήματος δύναμιν, ἔτι τε τὸν καιρὸν ἐν ᾧ χρηστέ αὐτῷ, τολμῆσαι δυνήσεται χρησάμενος τῷ λογικ ἐπινοηθέντι βοηθήματι τῇ πείρᾳ βεβαιῶσαι τὴν ἐλπί δα· ὥστε μόνος εὑρήσει τῆς τε διαφωνίας τὴν αἰτίαν καὶ τοὺς διορισμοὺς οἷς προσέχων τις ἐπὶ τὸ τῷ κάμνοντι συμφέρον ἀφίξεται, τῶν δ' ἄλλων οὐδεὶς γνώσεται τοῦτο· τοῖς τε γὰρ ἐγνωσμένοις διὰ πείρας ἐπιμένοντες ἐκεῖνα μόνα παραλαμβάνουσιν, αἰτιώμενοι φύσιν ἢ τύχην ἤ τι τοιοῦτον τῆς βλάβης αἴτιον γενέσθαι. Τοῦτ' οὖν αὐτὸ καὶ κατὰ τὸ περὶ ἀγμῶν ἐδήλωσεν ὁ Ἱπποκράτης ... » Γαλ. π. Ἱπποκρ. καὶ Πλάτωνος δογμάτων Κεφ. ϛ'.—Kühn V, 760.

ΟΒΕΛΙΣΜΟΣ.

Οὕτω δὲ καὶ ὁ Ἱππ., εὐθὺς . . .

. . . , ἔνιοι μὲν ὡς *οἰκεῖον* βοήθημα . . .

. . . , οἱ δὲ καὶ σιτίων, *ἄλλος* ἄλλου. Διορισά*μενος οὖν*, *κατὰ τὰς* διαφορὰς τῶν καμνόντων, *ἑκάστου* . . .

. . . , ἐπὶ τίνων τε χυλῷ πτισάνης ἢ τῇ κριθῇ χρηστέον, τηνικαῦτα καὶ [*εἰ*] σιτία δοτέον ἐ.

. . . μὴ γὰρ οὐκ εὐαρίθμητον ᾖ, εἰ τουτέῳ τις σημανεῖται τὴν τῶν καμνόντων νοῦσον, τῷ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι· ,τὸ μὴ τωὐτὸ νούσημα δοκέον εἶναι ἢν μὴ (πω) τωὐτὸ οὔνομα ἔχῃ »

. . . *προβαλὼν* τὸ ἐν τῷ προβλήματι χ., . . .

. . . ὅ*λου* τοῦ προβλήματος ἡ δύναμις.

. . . ἐν τῷ πρώτῳ [*τοῦ*] π. διαίτης ὀξέων . . .

. . . ἄξια γραφῆς εἶναι *ἐκεῖνα* μάλιστα . . .

. . . διὰ τί *δὴ* ἄρα . . .

. . . ἐς αἰῶνα τὸν ἅπαντα . . .

. . . *ἕως τοι* ἕν γε . . .

. . . ἐς ὑγίειαν μέγα τι . . .

. . . ἐς φυλακὴν αὐτοῖς καὶ τοῖς ἀσκοῦσιν [*ἐς*] [*εὐ*]εξίαν τοῦ σ., πρός τε τὴν κτῆσιν αὐτῆς *δηλονότι* καὶ διαμονήν.

. . . , ἀλλὰ καὶ [*εἰς*) τὰς ἄλλας τέχνας ἐκτετάσθαι τὸ σκέμμα [*καὶ*] (;) τὴν λύσιν αὐτοῦ.

. . . , οὐδὲν ἔξωθεν αὐτοῦ περιέχον εἶναι, . . .

ϛ'.

. . . , καὶ τούτων αὖ τῶν περιέχον *εἶναί τι* φ.
. . . , δυνα*μένων* γε αὐτῶν κρῖναι . . .
. . . ὃ *κατά τινα* τύχην . . .
. . . τῆς τε [*δι*]αφωνίας τὴν αἰτίαν . . .
. . . φύσιν ἢ *τύχην* ἤ τι τοιοῦτον . . .

Ἐν Μουνυχίᾳ, φθίν. μην. Βοηδρομιῶνος ἐννάτῃ, **1864**.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ.

1. Οἱ ξυγγράψαντες τὰς Κνιδίας καλεομένας γνώμας, ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νοσημάτων ὀρθῶς ἔγραψαν καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτῶν· καὶ ἄχρι μὲν τούτου καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστων πύθοιτο ὁκοῖα πάσχουσιν· ὁκόσα δὲ προκαταμαθεῖν χρὴ τὸν ἰητρὸν, μὴ λέγοντος τοῦ κάμνοντος, τούτων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν.

2. Ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται, οἵως χρὴ ἕκαστα ἰητρεύειν, ἐν τούτοισι πολλὰ ἑτεροίως γιγνώσκω ἢ ὡς ἐκεῖνοι ἐπεξήεσαν· καὶ οὐ μοῦνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο· τὰ γὰρ πλεῖστα ὅτεων αὐτοῖσιν εἰρέαται, πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πιπίσκειν.

3. Εἰ μὲν οὖν ταῦτα ἀγαθὰ ἦν καὶ ἁρμόζοντα τοῖσι νοσήμασιν ἐφ' οἷσι παρήνεον διδόναι, ἔτι ἂν ἀξιώτερα ἐπαίνου ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκεά ἐστιν· νῦν δὲ οὐχ οὕτως ἔχει. Οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν. Ἀτὰρ οὐδὲ περὶ

διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου· καί τ
μέγα τοῦτο παρῆκαν· τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκ
στησι τῶν νούσων καὶ τὴν πολυσχιδίην αὐτέων οὐκ ἠγνόε
ἔνιοι· τοὺς δὲ ἀριθμοὺς ἑκάστου τῶν νοσημάτων σάφα φρ
ζειν ἐθέλοντες οὐκ ὀρθῶς ἔγραψαν· μὴ γὰρ οὐκ εὐαρίθμητ
ᾖ, εἰ τούτῳ τις σημανεῖται τὴν τῶν καμνόντων νοῦσον,
ἕτερον τοῦ ἑτέρου διαφέρειν τι, τὸ μὴ τωὐτὸ νούσημα δ
κέον εἶναι ἢν μὴ τωὐτὸ οὔνομα ἔχῃ.

2. L. 4. Ἐμοὶ δ' ἀνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προ
έχειν τὸν νόον· καὶ γὰρ ὁκόσα ἔργα καλῶς δεῖ ἥκειν
ὀρθῶς, καλῶς ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς, καὶ ὁκόσα τ
χέως ἔργα, ταχέως, καὶ ὁκόσα καθαρίως, καθαρίως, καὶ ὁκ
σα ἀνωδύνως δεῖ χειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν,
τἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας
τὸ βέλτιον ποιέειν χρή.

5. Μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅστις ἐν τοῖ
ὀξέσι νοσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει,
τούτοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. Ἔσ
δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν καὶ
περιπνευμονίην καὶ φρενῖτιν καὶ λήθαργον καὶ καῦσον, καὶ
τἄλλα νοσήματα ὁκόσα τούτων ἐχόμενά ἐστιν, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ἐόντες κτείνουσιν. Ὁκόταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι, αἱ παραπλήσιοι, ὑπὸ τούτων τῶν νοσημάτων ἀποθνήσκουσι μᾶλλον ἢ ὑπὸ τῶν ἄλλων νοσημάτων ξυμπάντων.

6. Οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γιγνώσκουσι τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας, ἑτεροίων τε μᾶλλον ἰημάτων

ἐπαινέεται καὶ ψέκται εἰσίν. Ἔπειτα μέγα σημεῖον τόδε ὅτι οἱ δημόται ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τούτων τῶν νοσημάτων εἰσὶν, ὥς τε μελετητέα ἂν εἴη· οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους· ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμαθεῖν, ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας. Ἢν γὰρ ὀνομάσῃ τις πτισάνης τε χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον καὶ μελίκρητον, ἅπαντα ταῦτα τοῖσι δημότῃσι δοκέουσιν οἱ ἰητροὶ τὰ αὐτὰ λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους· τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τούτοισι δὴ καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων.

3. L. 7. Δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν ἐπίκαιρα ἐόντα εἰδέναι καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει ἢ μεγάλας βλάβας. Ἀκαταμάθητα μὲν οὖν καὶ τάδε ἐστί· διὰ τί ἄρα ἐν τῇσιν ὀξέῃσι νούσοισιν οἱ μὲν τῶν ἰητρῶν ἅπαντα τὸν αἰῶνα διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν· οἱ δέ τινες περὶ παντὸς ποιέονται, ὅκως κριθὴν μηδεμίαν καταπίῃ ὁ κάμνων, μεγάλην γὰρ βλάβην ἡγεῦνται εἶναι, ἀλλὰ δι' ὀθονίου διηθεῦντες τὸν χυλὸν διδόασιν· οἱ δ' αὖ τινες αὐτῶν οὔτ' ἂν πτισάνην παχεῖαν δοῖεν οὔτε χυλόν· οἱ μὲν μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων, οἱ δὲ καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος.

8. Μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἴθισται τοῖσιν ἰητροῖσιν· ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται· καί τοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι, ἕως τοι ἔν γε τοῖσιν ὀξέσι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρωνάκται, ὥστε ἃ ὁ ἕτερος προσφέρει

ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι· καὶ σχεδὸν ἂν κατά γε τὸ τοιόνδε τὴν τέχνην φαῖεν ὡμοιῶσθαι μαντικῇ, ὅτι καὶ οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι, εἰ δὲ δεξιὸς, κακόν· ἔνιοι δὲ τῶν μαντίων τἀναντία τούτων· καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε εὕροι τις ἄν, ἄλλα ἐπ' ἄλλοισιν.

9. Φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισιν· καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγίειαν μέγα τι δύναται καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφάλειαν καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην καὶ ἐς ὅ,τι ἂν ἕκαστος ἐθέλοι.

4. L. 10. Πτισάνη μὲν οὖν μοι δοκέει ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων ἐν τούτοισι τοῖσι νοσήμασι, καὶ ἐπαινέω γε τοὺς προκρίναντας· τὸ γὰρ γλίσχρασμα αὐτῆς λεῖον καὶ ξυνεχὲς καὶ προσηνές ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ ἄδιψον καὶ εὐέκπλυτον, εἴ τι καὶ τούτου προσδέοι, καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακὸν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ· ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει ὁκόσον ἂν πλεῖστον ἐπεφύκει διογκοῦσθαι.

11. Ὁκόσοι μὲν οὖν πτισάνῃσι χρέονται ἐν τούτοισι τοῖσι νοσήμασιν, οὐδεμιῇ ἡμέρῃ κενεαγγητέον, ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ διὰ φαρμακείην ἢ κλύσιν διαλιπεῖν. Καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς δοτέον· τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δὲ ἐνδέχεται καὶ τούτοισι δὶς διδόναι, ἤν τι δοκέῃ προσδεῖν. Πλῆθος δὲ ἀρκέει κατ' ἀρχὰς διδόναι μὴ πουλὺ

μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκεν τοῦ ἔθεος ἐσιέναι τι καὶ κενεαγγείην μὴ γενέσθαι πολλήν.

12. Περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν ξηρότερον ᾖ τὸ νούσημα ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος ἢ μελίκρητον ἢ οἶνον, ὁκότερον ἂν ἁρμόζῃ· τὸ δ' ἁρμόζον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται. Ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἴῃ ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ἐς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι· τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα ταχυτῆτα κρίσιος σημαίνει, τὰ δὲ βραδύτερον καὶ ἧσσον, βραδυτέρην σημαίνει τὴν κρίσιν. Καὶ ταῦτα αὐτὰ μὲν καθ' ἑωυτὰ τοιάδε τὸ ἐπίπαν ἐστι.

13. Πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται οἷσι προσημαίνεσθαι δεῖ· ἃ εἰρήσεται ὕστερον. Καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίγνηται, τοσῷδε χρὴ πλέον ἐπιδιδόναι ἄχρι κρίσιος· καὶ μάλιστα δεῖ κρίσιος ὑπερβολῆς δύο ἡμερέων οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν ἢ ἐναταίοισι δοκέει κρίνεσθαι, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσὸν προμηθὲς ᾖ· μετὰ δὲ τοῦτο τῷ μὲν ῥοφήματι πρωῒ χρηστέον, ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν.

14. Ξυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πουλὺ τοῖσιν οὔλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν. Αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα παύονται αὐτόματοι, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι, αἵ τε καθάρσιες πολλῷ τελεώτεραί εἰσι, καὶ ἔμπυοι ἧσσον γίγνονται ἢ εἰ ἀλλοίως τις διαιτῴη, καὶ αἱ κρίσιες ἁπλούστεραι καὶ εὐκριτώτεραι καὶ ἧσσον ὑποστροφώδεες.

5. L. 15. Τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων τε ὡς βε-
τίστων εἶναι καὶ ὡς βέλτιστα ἡψῆσθαι, ἄλλως τε καὶ ἢν μ
τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι· μετὰ γὰρ τῆς ἄλλης ἀρ
τῆς τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομέν
ποιέει μὴ βλάπτειν· οὐδαμοῦ γὰρ προσίσχει τε οὔτε μέ
κατὰ τὴν τοῦ θώρηκος ἴξιν· ὀλισθηροτάτη δέ τε καὶ ἀδιψ
τάτη καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη ἐστὶν ἡ κάλλισ
ἑφθή· ὧν πάντων δεῖ.

16. Ἢν μὲν οὖν μὴ προστιμωρήσῃ τις ὁκόσων δέεται α
τάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανοῤῥοφίης, πο
λαχῇ βεβλάψεται· ὁκόσοισι γὰρ σῖτος αὐτίκα ἐγκαται
κλεισται, ἢν μή τις ὑποκενώσας δοίη τὸ ῥόφημα, τὴν ὀδ
νην ἐνεοῦσαν προσπαροξύνοιεν ἂν καὶ μὴ ἐνεοῦσαν εὐθὺς
ἐμποιήσειεν, καὶ πνεῦμα πυκνότερον γένοιτ' ἄν· κακὸν
τοῦτό ἐστιν· ξηραντικὸν γὰρ πνεύμονος καὶ κοπῶδες ὑ
χονδρίων καὶ ἤτρου καὶ φρενῶν· τοῦτο δὲ, ἢν ἔτι τῆς ὀδ
νης τοῦ πλευροῦ ξυνεχέος ἐούσης καὶ πρὸς τὰ θερμάσμα
μὴ χαλώσης, καὶ τοῦ πτυάλου μὴ ἀνιόντος, ἀλλὰ καταγλ
χραινομένου ἀσαπέως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην ἢ κ
λίην μαλθάξας ἢ φλέβα ταμὼν, ὁκότερον ἂν τούτων ξι
φέρῃ, τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷ, ταχέες
θάνατοι τῶν τοιούτων γίγνονται.

17. Διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύ
ἔτι μᾶλλον οἱ οὔλῃσι πτισάνῃσι χρεόμενοι ἑβδομαῖοι
ὀλιγημερώτεροι θνήσκουσιν· οἱ μέν τινες καὶ τὴν γνώ
βλαβέντες, οἱ δὲ ὑπό τε τῆς ὀρθοπνοίης καὶ τοῦ ῥέγχ
ἀποπνιγέντες· μάλα δὲ δὴ τοὺς τοιούτους οἱ ἀρχαῖοι β
τοὺς ἐνόμιζον εἶναι διὰ τόδε μάλιστα, οὐχ ἥκιστα δὲ,

καὶ ἀποθανόντων αὐτῶν ἡ πλευρὴ πελίη εὑρίσκεται, ἴκελόν τι πληγῇ· αἴτιον δὲ τούτου τόδε ἐστὶν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσιν· ταχέως γὰρ πνευματίαι γίγνονται· ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, καταγλισχραινόμενον τὸ πτύαλον ἀπέπτως, κωλύει τὴν ἄνοδον γίγνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πνεύμονος. Καὶ ὁκόταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πουλύ ἐστιν· καὶ γὰρ αὐτὸ τὸ πτύαλον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι· καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι ξυντιμωρέει· τό τε γὰρ πτύαλον ἐνισχόμενον πυκνὸν τὸ πνεῦμα ποιέει, τό τε πνεῦμα πυκνὸν ἐὸν ἐπιγλισχραίνει τὸ πτύαλον καὶ κωλύει ἀπολισθάνειν. Καταλαμβάνει δὲ ταῦτα οὐ μοῦνον ἢν πτισάνῃ ἀκαίρως χρέωνται, ἀλλὰ πουλὺ μᾶλλον καὶ ἤν τι ἄλλο φάγωσιν ἢ πίωσι πτισάνης ἀνεπιτηδειότερον.

6. L. 18. Μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι τοῖσί τε οὔλῃσι πτισάνῃσι χρεομένοισι τοῖσί τε τῷ χυλῷ αὐτέων· τοῖσι δὲ μηδετέρῳ τούτων, ἀλλὰ ποτῷ μοῦνον, ἔστιν ὅκῃ καὶ διαφερόντως τιμωρητέον. Χρὴ δὲ τό γε πάμπαν οὕτω ποιέειν·

19. · ἢν νεοβρῶτι ἐόντι αὐτῷ καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἔστ' ἂν μηνύηται ἀποκεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον· χρέεσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν θερμῷ, θέρεος δὲ ψυχρῷ· ἢν δὲ πολλὴ δίψα ᾖ, μελικρήτῳ καὶ ὕδατι. Ἔπειτα μέντοι, ἢν μὲν ἄλγημά τι ἐνῇ ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα

μήτε πουλὺ μήτε παχὺ, μετά τε τὴν ἑβδόμην, ἢν ἰσχύη. Ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι· ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.

20. Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος τόνδε μάλιστα φυλάσσεσθαι κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος· ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν, μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι· ὁκόταν δὲ ἡ θέρμη καταβῇ εἰς τοὺς πόδας, τότε διδόναι· καὶ νομίζειν μάλα μέγα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν πάσῃσι τῇσι νούσοισιν, οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξέῃσι, μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι καὶ ἐπικινδυνοτάτῃσιν. Χρέεσθαι δὲ μάλιστα πρῶτον μὲν χυλῷ, ἔπειτα δὲ πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβέως θεωρέων.

7. L. 21. Ὀδύνη δὲ πλευροῦ, ἤν τε κατ' ἀρχὰς γένηται ἤν τε ἐς ὕστερον, θερμάσμασι μὲν πρῶτον οὐκ ἄπο τρόπου ἐστὶ χρησάμενον πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. Θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ ἢ ἐν κύστι ἢ ἐν χαλκῷ ἀγγείῳ ἢ ἐν ὀστρακίνῳ· προϋποτιθέναι δὲ χρὴ μαλθακόν τι πρὸς τὴν πλευρὴν προσηνείης εἵνεκεν. Ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς μέγας ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι· περιστέγειν δὲ ἱματίῳ στεγανῷ τὴν θάλψιν χρὴ, ˙πλείω τε γὰρ χρόνον ἂν διακαὲς εἴη καὶ παραμένοι˙, καὶ ἅμα ὡς μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος προσφέρηται, ˙ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήσιμόν πρός τι εἶναι· ἔστι γὰρ ἔστιν ὅτε δὴ πρός τι. Ἔτι δὲ καὶ κριθαὶ ἢ καὶ ὄροβοι· ἐν ὄξεϊ κεκρημένῳ σμικρῷ ὀξύτε-

ερον ἢ ὡς ἄν τις πίοι, διέντα καὶ ἀναζέσαντα ἐς μαρσίπ-
πιά τε καταῤῥάψαντα προστιθέναι· καὶ πίτυρα τὸν αὐτὸν τρόπον. Πυρίη δὲ ξηρή· ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰριθέοισι μαρσιππίοισιν ἐπιτηδειότατοι· καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος.

22. Λύει δὲ μάλθαξις ἡ τοιήδε καὶ τὰς πρὸς κληῖδα περαινούσας ἀλγηδόνας, ἃς τομὴ μούνη γε οὔ· ὡς ὁμοίως λύει ὀδύνην, ἢ μὴ πρὸς κληῖδα περαίνει. Ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πουλὺν χρόνον θερμαίνειν· καὶ γὰρ ξηραντικὸν τοῦ πνεύμονος τοῦτό ἐστι καὶ ἐμπυητικόν· ἀλλ' ἢν μὲν σημαίνῃ ὀδύνη ἐς κληῖδα ἢ ἐς βραχίονα βάρος ἢ περὶ μαζὸν ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἀρήγει τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἔσω καὶ μὴ ὀκνέειν συχνὸν ἀφαιρέειν, ἔστ' ἂν ἐρυθρότερον πολλῷ ῥυῇ ἢ ἀντὶ καθαροῦ τε καὶ ἐρυθροῦ πέλιον· ἀμφετεροῖα γὰρ γίγνεται.

23. Ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκον ἢ σέσελι ἢ κύμινον ἢ ἄνησον ἢ ἄλλό τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου· ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν ὁμοιότροπα ταῦτά ἐστιν. Ἄγει δὲ μέλας μὲν καλλίω καὶ κρισιμώτερα πεπλίου, πέπλιον δὲ μέλανος μᾶλλον φυσέων καταῤῥηκτικόν ἐστιν· ἄμφω δὲ ταῦτα ὀδύνην παύει· παύει δὲ καὶ ἄλλα συχνὰ τῶν ὑπηλάτων· κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστίν· ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα ἀρήγει, ὁκόσα μὴ ἄγαν ἐστὶν ἀηδέα πιεῖν ἢ διὰ πικρότητα ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος ἢ χροιὴν ἢ ὑποψίην τινα.

24. Τῆς μέντοι πτισάνης, ὁκόταν πίῃ τὸ φάρμακον,

ἐπιῤῥοφέειν αὐτίκα χρὴ διδόναι μηδὲν ἔλασσον ἀξίως λέ
ἢ ὁκόσον εἴθιστο· ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ μεσηγὺ
καθάρσιος μὴ διδόναι ῥοφέειν· ὁκόταν δὲ λήξῃ ἡ κάθαρ
τότε ἔλασσον ῥοφεέτω ἢ ὁκόσον εἴθιστο· μετὰ δὲ τοῦτο ἀ
γέτω αἰεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥ τε ὀδύνη πεπαυμένη ᾖ
μηδὲν ἄλλο ἐναντιῶται.

25. Ωὑτὸς δέ μοι λόγος ἐστὶ καὶ ἢν χυλῷ δέῃ πτι
νης χρέεσθαι· φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι
φέειν τὸ ἐπίπαν μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι
ῥοφήματος τριταῖον ἢ τεταρταῖον ἢ πεμπταῖον ἢ ἑκταῖο
ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τούτῳ τῷ χρό
Αἱ δὲ προπαρασκευαὶ καὶ ἐπὶ τούτοισι παραπλήσιοι πε
τέαι, ὁκοῖαί περ εἴρηνται.

8. L. **26.** Περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω
γνώσκω· ἀτὰρ καὶ περὶ ποτοῦ, ὁκοῖον ἂν τις μέλλῃ πίνειν ·
πρόσω γραφησομένων, ωὑτός μοι λόγος τὸ ἐπίπαν ἐστίν.
δα δὲ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας· β
λονται γὰρ πάντες, ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχ
σαντες τοὺς ἀνθρώπους ἢ δύο ἢ τρεῖς ἢ καὶ πλέονας ἡμ
ρας, οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά· καὶ ἴσ
τι καὶ εἰκὸς δοκέει αὐτοῖσιν εἶναι, μεγάλης μεταβολῆς
γνομένης τῷ σώματι, μέγα τι κάρτα καὶ ἀντιμεταβάλλ
τόδε, εὖ ἔχειν, μὴ ὀλίγον.

27. Μεταβάλλειν μὲν δὴ, εὖ ἔχει, μὴ ὀλίγον· ὀρθῶς μ
τοι γε μεταβιβαστέη καὶ βεβαίως ἡ μεταβολὴ, καὶ ἐκ
τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλ
Μάλιστα μὲν οὖν βλάπτοιντο ἂν, εἰ μὴ ὀρθῶς μεταβάλλο
οἱ οὔλῃσι τῇσι πτισάνῃσι χρεόμενοι· βλάπτοιντο δ' ἂν

οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι· βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι, ἥκιστα δὲ οὗτοι.

9. L. 28. Χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων οἷα ξυμφέρει· εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα, καὶ μέγα μάλα, τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ ᾧ τινί που καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἔν γε τῇσι νούσοισι διαφέρει μέγα, καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα; Ἀλλὰ μὴν εὐκαταμάθητόν γέ ἐστιν ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ, ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγίειαν, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλως κρέσσονα· ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ βλάβας καὶ ἀῤῥωστίην παρέχουσιν· καὶ τοὺς μέν γε μεμαθηκότας ἀναριστᾷν, ἢν ἀριστήσωσιν, εὐθέως ἀῤῥώστους ποιέοι ἂν καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενέας καὶ ὀκνηρούς· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας, · ἐνίοισι δ' ἂν καὶ σπατίλη γένοιτο·, ὅτι παρὰ τὸ ἔθος ἠχθοφόρηκεν ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς ὀγκοῦσθαι, μηδὲ δὶς ἕψειν τὰ σιτία.

29. Ἀρήγει οὖν τούτοισιν ἀνασηκῶσαι τὴν μεταβολήν· ἐγκοιμηθῆναι γὰρ χρὴ, ὥσπερ νύκτα ἂν ἄγοντα μετὰ τόδε ὕπνον, τοῦ μὲν χειμῶνος ἀῤῥιγέως, τοῦ δὲ θέρεος ἀθαλπέως· ἢν δὲ καθεύδειν μὴ δύνηται, συχνὴν περίοδον πλανηθέντα ἀναισιμῶσαι· δειπνῆσαί τε μηδὲν ἢ ὀλίγα καὶ μὴ βλαβερά· ἔτι δὲ ἔλασσον πιεῖν ἀκρητέστερόν τε, καὶ μὴ ὑδαρές. Ἔτι δ' ἂν μᾶλλον πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς κόρον· ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις· καίτοι γε

πολλοί εἰσιν οἳ εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν.

30. Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄρρωστοί εἰσι καὶ δειλοὶ ἐς πᾶν ἔργον καὶ καρδιαλγέες· κρέμασθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτοῖσι, καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν, καὶ ἡ ἄφοδος ξυγκαίεται· ἔστι δὲ οἷσι καὶ τὸ στόμα πικραίνεται καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται καὶ τὰ ἄκρα διαψύχεται· καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον· δειπνήσαντες δὲ βαρύνονται τὴν κοιλίην καὶ δυσκοιτέουσι πουλὺ μᾶλλον ἢ εἰ καὶ προηριστήκεσαν.

31. Ὁκότε γ' οὖν ταῦτα τοιαῦτα γίγνεται τοῖσιν ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς, παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελέειν.

32. Εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτόν, εἰ τότε ἀνάριστος ἐὼν ἐπόνεε καὶ ἠρρώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πουλὺ μᾶλλον νῦν βαρύνεσθαι· εἰ δέ γε ἔτι πλείω χρόνον κενεαγγήσας ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο.

33. Τὸν μὲν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα ξυμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε· ἀρριγέως καὶ ἀθαλπέως καὶ ἀταλαιπώρως· ταῦτα γὰρ πάντα βαρέως ἂν ἐνέγκοι· τὸ δὲ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι ἢ ὅσον εἴθιστο, καὶ μὴ ξηρόν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου· καὶ πιεῖν μὴ ὑδαρές, μηδ' ἔλασσον ἢ κατὰ λόγον τοῦ βρώματος· καὶ τῇ ὑστεραίῃ ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος.

14. Αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ ῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω· τὴν δέ γε ἀσιτίην παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην τὴν παρὰ τὸ ἔθος ιρώτερον ἂν οὗτοι ἐνέγκοιεν.

15. Ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημήϊον ὅτι αἱ μέγισται κϐολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας ξυμϐαιων μάλιστα νοσοποιέουσιν· οὐδὲ δεῖ, εἰ οἷόν τε, παρὰ ὸν οὔτε σφοδρὰς τὰς κενεαγγείας ποιέειν, οὔτε ἀκμαζόντῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν, ἐξαπίνης, εἰ οἷόν τε, ὅλῳ τῷ πρήγματι μεταϐάλλειν ἐπὶ τὰ οὔτε ἐπὶ τά.

O. L 36. Πολλὰ δ' ἄν τις ἠδελφισμένα τούτοισι τῶν οιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώα ἃ εἰθίδαται, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσι, ˙ ὡσαύτως δὲ τὰ ποτά· δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ εἰθίαι, κἢν μὴ κακὰ ᾖ, ˙ ὡσαύτως δὲ καὶ τὰ ποτά.

17. Καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωα ποιέει ἢ σκόροδα ἢ σίλφιον· ἢ καυλὸς ἢ ὀπός· ἢ ἄλλα α τοιουτότροπα μεγάλας δυνάμιας ἔχοντα ἢ ἰδίας, ἦσἂν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει ἐν τῇσι ίῃσι μᾶλλον τῶν ἄλλων· μᾶλλον δὲ, εἰ καταμάθοι ὁκόμᾶζά τε ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ στρόφον τῇ ίῃ παρέχει παρὰ τὸ ἔθος βρωθεῖσα τῷ ἀρτοφαγέειν, μὴ οφαγέειν, εἰθισμένῳ, *ἢ ὁκοῖον ἄρτος βάρος καὶ τάσιν κοιτῷ μαζοφαγέειν εἰθισμένῳ* ˙ αὐτός τε ὁ ἄρτος θερμὸς ϑεὶς οἵην δίψαν παρέχει καὶ ἐξαπιναίην πληθώρην διὰ τὸ ιντικόν τε καὶ βραδύπορον· καὶ οἱ ἄγαν καθαροὶ, οἵ τε

ξυγκόμιστοι, παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιεῦσι· καὶ μᾶζά τε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη· καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι, καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι· καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος ἐς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς· ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δὲ παλμόν τε φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν· καὶ λευκός τε καὶ μέλας οἶνος, παρὰ τὸ ἔθος μεταβάλλοντι, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα· ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα.

11. L. 37. 6'. Τιμωρητέον μέντοι τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ· ὅτι ἡ μεταβολὴ τῆς διαίτης τούτοισιν ἐγένετο οὐ μεταβαλόντος τοῦ σώματος οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτε ἐπὶ τὴν ἀῤῥωστίην, ὥστε ἀφαιρεθῆναι.

38. Προστεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστοισι καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔτεος, καὶ τοῦ ἔθεος καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μοῦνον σιτίων, ἀλλὰ καὶ ποτῶν. Πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεί, τήν γε ἀφαίρεσιν, ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων μέχρις ὅ τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ· ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται.

39. Πολλὰ δ' ἂν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι· τό γε μὴν κρέσσον μαρτύριον, : οὐ γὰρ

ἠδελφισμένον μοῦνόν ἐστι τῷ πρήγματι, περὶ οὗ ὁ πλεῖστός μοι λόγος εἴρηται, ἀλλ' αὐτὸ τὸ πρῆγμα· ,ἐπικαιρότατόν τε διδακτήριον· οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νοσημάτων ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν ἠργμένοι ἤδη, οἱ δὲ καὶ τῇ ὑστεραίῃ, οἱ δὲ καὶ ἔπιον τὸ προστυχὸν, οἱ δὲ καὶ κυκεῶνα ἐῤῥόφεον· ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη· πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας δύο ἡμέρας ἢ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ἐὼν τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος· ἔτι μέντοι κάκιον, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον· οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, εἰ μὴ πάμπαν εὐήθης τις ἡ νοῦσος εἴη· αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. Τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον ὅτι οὐχὶ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ τοίου ἢ τοίου τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν ἢ τοίοισιν ἢ τοίοισι χρέεσθαι.

40. Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὐθ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτῇσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους, οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι γιγνώσκουσιν ὅτι αὐτῇσι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος· τόδε γε μὴν φυλάσσουσι καὶ γιγνώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι, κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι.

41. Πάντα οὖν ταῦτα μεγάλα μαρτύρια ὅτι οὐκ ὀρθῶς ἄγουσιν ἐς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας· ἀλλ' ἐν ᾗσί τε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν, ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι· καὶ ὡς ἐπὶ τὸ πουλὺ ἀπαρτὶ ἐν τούτοισι τοῖσι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷσι τὰ πολλὰ ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, ἣν οὕτω τύχῃ παροξυνομένη ἡ νοῦσος.

42. Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπό τε τῆς κεφαλῆς καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα· ἀγρυπνίαι τε ξυνεμπίπτουσιν αὐτοῖσι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος, περίλυποι τε καὶ πικροὶ γίγνονται καὶ παραφρονέουσι, καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα καὶ αἱ ἀκοαὶ ἤχου μεσταὶ καὶ τὰ ἀκρωτήρια κατεψυγμένα καὶ οὖρα ἄπεπτα καὶ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρὰ καὶ ἱδρῶτες περὶ τὸν τράχηλον καὶ διαπορήματα καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ πυκνὸν ἢ μέγα λίην, ὀφρύες δεινώσιος μετέχουσαι, λιποψυχώδεα πονηρὰ καὶ τῶν ἱματίων ἀποῤῥίψιες ἀπὸ τοῦ στήθεος καὶ χεῖρες τρομώδεες, ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται. Ταῦτα δὲ ἐν ἀρχῇσι ἐπιφαινόμενα παραφροσύνης δηλωτικά ἐστι σφοδρῆς, καὶ ὡς ἐπὶ τὸ πουλὺ ἀποθνήσκουσιν· οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀποστήματος ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς ἢ καὶ πῦον παχὺ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.

43. Οὐδὲ γὰρ τῶν τοιούτων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ διαγιγνώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε διὰ κενεαγγείην ἀσθενεῦνται, αἵ τε δι' ἄλλον τινὰ ἐρεθισμὸν

αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς νούσου, ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα· καίτοι σωτηρίην ἢ θάνατον φέρει γιγνωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα.

44. Μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσαίρῃ τις ποτὸν ἢ ῥόφημα πλεῖον ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν· ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ· φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτὰς, πολλῷ δὲ ἥσσονα τῆς ἑτέρης· καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης· εἰ γὰρ ἄλλος ἰητρὸς ἢ καὶ δημότης ἐσελθὼν καὶ γνοὺς τὰ ξυμβεβηκότα δῴη καὶ φαγεῖν καὶ πιεῖν ἃ ὁ ἕτερος ἐκώλυεν, ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι· τὰ δὲ τοιάδε μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων· δοκέει γὰρ αὐτοῖσιν ὁ ἐπεσελθὼν ἰητρὸς ἢ ἰδιώτης ὡσπερεὶ τεθνεῶτα ἀναστῆσαι. Γεγράψεται οὖν καὶ περὶ τούτου σημήϊα, οἷσι δὴ χρὴ ἕκαστα τούτων διαγιγνώσκειν.

12. L. 45. Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ ταῦτα· καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔῤῥωται μᾶλλον· ἢν δὲ δὴ καὶ πλείω χρόνον διελινύσαν ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξει ἐπιδήλως. Οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος· καὶ γὰρ ἂν οἱ πόδες τοιόνδε τι πρήξειαν καὶ τὰ ἄλλα ἄρθρα, μὴ εἰθισμένα πονέειν ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονέειν ἔλθῃ· ταὐτὰ δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ ὀφθαλμοὶ πάθοιεν, καὶ οὐδὲν ὅ,τι οὔ· ἐπεὶ καὶ κοίτη παρὰ τὸ ἔθος μαλθακὴ πόνον ἐμποιέει καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ ὕπαιθρος παρὰ τὸ ἔθος εὐνὴ σκληρύνει τὸ σῶμα.

46. Ἀτάρ τοι τῶν τοιῶνδε πάντων ἀρκέει παράδειγμά τι γράψαι· εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ μήτε λίην ἐπίκαιρον μήτε λίην εὔηθες, μήτε ἄγαν εὐελκὴς ἐὼν μήτε ἄγαν δυσελκὴς, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο καὶ μηδαμῇ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντον μὲν ἂν οὕτως εἴη μᾶλλον, καὶ ὑγιὴς πολλῷ θᾶσσον ἂν γένοιτο ἤπερ εἰ πλανώμενος ἰητρεύοιτο· εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἐὼν, ἢ καί τι ἀνωτέρω, ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο· εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονήσειεν ἢ εἰ ἐκείνως ἰητρευόμενος τὰ αὐτὰ ταῦτα ταλαιπωρήσειεν ἐν αὐτῇσι ταύτῃσι τῇσιν ἡμέρῃσιν. Διὰ τέλεος οὖν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν ὅτι πάντα ἐξαπίνης μέζον πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει.

47. Πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι· δεῖ μὲν δὴ καὶ τὸ σῶμα τούτοισιν ἐλινύειν· ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαπίνης ἐς πλείω πόνον ἔλθῃ, πουλὺ πλείω ἂν βλαβείη, ἢ εἰ ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐμπέσοι· δεῖ δὲ δὴ τούτοισι καὶ τὴν κοιλίην ἐλινύειν· εἰ δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει καὶ βάρος ὅλου τοῦ σώματος.

13. L. 48. Ὁ μὲν οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς μεταβολῆς, τῆς ἐπὶ τὰ καὶ ἐπὶ τὰ, τῆς διαίτης· ἐς πάντα δὲ εὔχρηστον ταῦτα εἰδέναι· ,ἀτὰρ καὶ, περὶ οὗ ὁ λόγος ἦν, ὅτι εἰκῇ ἐν τῇσιν ὀξέῃσι νούσοισιν ἐς τὰ ῥοφήματα με-

βάλλουσιν ἐκ τῆς κενεαγγείης· μεταβλητέον γὰρ, ὡς ἐγὼ λεύω, ἢ δεῖ· ἔπειτα οὐ χρηστέον ῥοφήμασι πρὶν ἡ νοῦσος πανθῇ ἢ ἄλλο τι σημήϊον φανῇ ἢ κατ' ἔντερον, κενεαγγι-ν ἢ ἐρεθιστικὸν, ἢ κατὰ τὰ ὑποχόνδρια· ὁκοῖα γεγράψεται μηΐα.

49. 'Αγρυπνίη ἰσχυρὴ πόμα καὶ σιτίον ἀπεπτότερα ποιέει, ὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ λύει τὸ σῶμα καὶ ἑφθότητα ὶ καρηβαρίην ἐμποιέει.

14. L. 50. Γλυκὸν δὲ οἶνον καὶ οἰνώδεα, καὶ λευκὸν ὶ μέλανα, καὶ μελίκρητον καὶ ὕδωρ καὶ ὀξύμελι τοισίδε μαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξέῃσι νούσοισιν. Ὁ ν γλυκὺς ἧσσόν ἐστι καρηβαρικὸς τοῦ ἑτέρου, τοῦ οἰνώ-δεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος τι τοῦ ἑτέρου κατ' ἔντερον, μεγαλόσπλαγχνος δὲ σπλη-καὶ ἥπατος· οὐκ ἐπιτήδειος δὲ οὐδὲ τοῖσι πικροχόλοισι· γὰρ οὖν καὶ διψώδης τοῖσί γε τοιούτοισίν ἐστιν· ἀτὰρ φυσώδης τοῦ ἐντέρου τοῦ ἄνω, οὐ μὴν πολέμιός γε αὖ ἐντέρῳ τῷ κάτω ὡς κατὰ λόγον τῆς φύσης· καίτοι γε πάνυ πορίμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' χρονίζει περὶ ὑποχόνδριον. Καὶ γὰρ οὖν ἧσσον οὗτος διου-ρητικός γίγνεται τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ· πτυάλου δὲ λλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς· καὶ οἷσι μὲν δι-δης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι ἢ ὁ ἕτερος ος, οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου.

51. Ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπῄνηται μὲν καὶ ἔψε-αι τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος νου διηγήσι· ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου αὶ διουρητικὸς δὴ οὖν, καὶ φυσέων καταῤῥηκτικὸς ἐὼν, αἰεὶ

πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι· καὶ γὰ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλ' ὅμως ἡ κατὰ κύστιν κάθαρσις ὑπ' αὐτοῦ γιγνομένη ῥύετα ἢν προτρέπηται ὁκοῖα δεῖ. Καλὰ δὲ ταῦτα τεκμήριά ἐσ τῆς παρὰ τοῦ οἴνου ὠφελείης καὶ βλάβης· ἅσσα ἀκαταμα θητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν.

52. Κιῤῥῷ δ' αὖ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃ τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη μὲν μὴ ἐνε μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύαλον κωλύοιτο τῆς ἀνόδο μηδὲ τὸ οὖρον ἴσχοιτο, διαχωρήματα δὲ πλαδαρώτερα κα ξυσματωδέστερα ἴοι, ἔν τε τοῖσι τοιούτοισι πρέποι ἂν μα λιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ καὶ ὁκόσα τούτοισιν ἐμ φερέα. Προσξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τ κατὰ κύστιν ἧσσον βλάψει ἢν ὑδαρέστερος ᾖ, τὰ δὲ κατ' ἔ τερον καὶ ὑποχόνδριον μᾶλλον ὀνήσει ἢν ἀκρητέστερος ᾖ.

15. L. 53. Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νο σου ἐν τῇσιν ὀξέῃσι νούσοισι τὸ ἐπίπαν μὲν τοῖσι πικροχ λοισι καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον ἢ τοῖσι μ τοιούτοισιν ἐοῦσιν· διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνο πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι καὶ πτυάλου ἀναγωγ μετρίως καὶ βηχὸς παρηγορικόν· ἔχει γὰρ σμηγματῶδές τ εἰ μᾶλλον τοῦ καιροῦ καταγλισχραίνοιτο τὸ πτύαλον. Ἔσ δὲ καὶ οὐρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπ σπλάγχνων κωλύῃ· καὶ διαχωρητικώτερον δὲ κάτω χολω δέων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε κατακορεστέρα μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων· μᾶλλον δὲ τὸ τοιοῦτ τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίγνεται.

54. Πτυάλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθα

ξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα καὶ μᾶλλον θερμὰ τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει· τὸ δὲ τοιόνδε διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα· οὔτε γὰρ ἐξ ὑποχονδρίου καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ, δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει ἑλκῶδές τέ ἐστι καὶ ἐντέρου καὶ ἕδρης. Ἀλεξιτήρια δὲ τούτων γεγράψεται.

55. Ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεόμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης· οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον.

56. Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται· ἐκλήϊσθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας, ἔνιοι γὰρ μελικρήτῳ μούνῳ ποτῷ χρέονται, ὡς τοιῷδε δῆθεν ἐόντι· τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει, ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, εἰ μὴ ταράσσοι τὴν κοιλίην· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόσμου ᾗ μὲν ἰσχυρότερον, ᾗ δὲ ἀσθενέστερον. Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχύν· ἀμφοῖν ὁμῶς τοίνυν, εἰ καὶ διπλάσιον μέτρον οἴνου, καὶ ἀκρήτου, πίνοι τις ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μούνου, εἰ μὴ ταράσσοι τὴν κοιλίην· πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτῷ. Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀξύμφορον· προπινόμενον μέντοι πρὸ

ῥοφήματος μελίκρητον οὐ βλάπτει ὅκως μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει.

57. Ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ· λαμπρόν τε γὰρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίγνεται· ἀρετὴν δὲ ἥν τινα αὐτῷ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ οὐκ ἔχω· οὐδὲ γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνῃ γε τὸ μέλι καλὸν ἐόν· ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν· ὧν οὐδετέρου ἐς τιμωρίην προσδέεται μελίκρητον· ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν καὶ ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτοῦ τουτέων τὰ πλέονα τοῦ αἴσχεος.

16. L. 58. Τὸ δὲ ὀξύμελι καλεύμενον ποτὸν πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι καὶ εὔπνοον· καιροὺς μέντοι τοιούσδε ἔχει· τὸ μὲν γὰρ κάρτα ὀξὺ οὐδὲν ἂν μέζον ποιήσειε πρὸς τὰ πτύαλα τὰ μὴ ῥηϊδίως ἀνιόντα· εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα καὶ ὄλισθον ἐμποιήσειε καὶ ὡσπερεὶ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν πνεύμονα· μαλθακτικὸν γὰρ αὐτοῦ· καὶ εἰ μὲν ταῦτα ξυγκυρήσειε, μεγάλην ἂν ὠφέλειαν ποιήσειεν· ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυάλου, ἀλλὰ προσεγλίσχρηνέ τε καὶ ἔβλαψεν· μάλιστα δὲ τοῦτο πάσχουσιν οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. Ἐς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος καὶ ἢν ἐλπίδα ἔχῃ διδόναι· διδόναι δὲ, ἢν διδῷς, ἀκροχλίαρον καὶ κατ' ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως.

θ. Τὸ μέντοι ὀλίγον ὀξὺ ὑγραίνει μὲν στόμα καὶ φά-
ε, ἀναγωγόν τε πτυάλου ἐστὶ καὶ ἄδιψον· ὑποχονδρίῳ
ι σπλάγχνοισι τῇσι τ' αὐτῇσιν αἰτίῃσι καὶ ταύτῃ εὐ-
;· καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας, ταύτας αὕτη κω-
τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται. Ἔστι δὲ καὶ
ων καταῤῥηκτικὸν καὶ ἐς οὔρησιν προτρεπτικόν· ἐντέρου
ι τῷ κάτω μέρεϊ πλαδαρώτερον καὶ ξύσματα ἐμποιέει·
δ' ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξέῃσι νούσοισι γί-
κι, μάλιστα μὲν ὅτι φῦσαν κωλύει περαιοῦσθαι, ἀλλὰ
νδρομέειν ποιέει· ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ τὰ ἀκρω-
ε ψύχει· ταύτην καὶ οἶδα μούνην βλάβην δι' ὀξυμέλιτος
μένην, ἥτις καὶ ἀξίη γραφῆς.

ι. Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστι
ῥοφήματος ἐπιτήδειον προπίνεσθαι· ἀτὰρ καί, ὁκόταν
ὺ ἢ τὸ μεταξύ, μετὰ ῥόφημα οὐδὲν κωλύει πίνειν. Τοῖσι
ποτῷ μοῦνον διαιτωμένοισιν ἄνευ ῥοφημάτων διὰ τόδε
ἐπιτήδειόν ἐστιν αἰεὶ καὶ διὰ παντὸς χρέεσθαι τούτῳ,
τα μὲν διὰ ξύσιν καὶ τρηχυσμὸν τοῦ ἐντέρου· ἀκόπρῳ
όντι μᾶλλον ἂν ἐμποιέοι ταῦτα, καὶ κενεαγγείης παρε-
· ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο
ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον
ῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν,
μοῦνον γιγνώσκεσθαι· οὕτω γὰρ ἂν καὶ ἃ φιλέει βλά-
, ἥκιστα ἂν βλάπτοι, καὶ ἃ ἥδεται προσωφελέειν, προσ-
είη ἄν.

ι. Ἐν κεφαλαίῳ δ' εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πι-
λοισι μᾶλλον ἢ μελαγχολικοῖσι ξυμφέρουσι· τὰ μὲν
πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται μετεωριζόμενα

ὑπ' αὐτοῦ· τὰ δὲ μέλανα ζυμοῦται καὶ μετεωρίζεται καὶ πο-
λαπλασιοῦται· ἀναγωγὸν γὰρ μελάνων ὄξος. Γυναιξὶ δὲ τὸ
ἐπίπαν πολεμιώτερον ἢ ἀνδράσιν ὄξος· ὑστεραλγὲς γάρ ἐστι.

17. L. 62. Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξέῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ,τι προσθέω· οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπνευμονικοῖσιν, οὔτε πτυάλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. Μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιῤῥοφεόμενον ὀλίγον πτυάλου ἀναγωγόν ἐστι διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν· πλημμυρίδα γάρ τινα ἐμποιέει. Ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ' ἐπιπικραίνει· χολῶδες γὰρ φύσι χολώδεϊ καὶ ὑποχονδρίῳ κακόν· κάκιστον δ' ἑωυτοῦ καὶ χολωδέστατον καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ· καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένα ᾖ· καὶ ἐγκλυδαστικὸν δέ τε καὶ ἐπιπολαστικόν· βραδύπορόν τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι, καὶ οὔτε διαχωρητικὸν οὔτε διουρητικόν· προσβλάπτει δ' ἔτι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσι· ἢν δὲ δὴ καὶ ποδῶν ποτε ψυχρῶν ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ,τι ἂν αὐτῶν ὁρμήσῃ.

63. Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ καρηβαρίην ἰσχυρὴν ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀποσχετέον· ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον ἢ ὑδαρέα καὶ κιῤῥὸν πάντως δοτέον οἶνον καὶ ἄοσμον παντάπασι καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον· οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο κεφαλῆς καὶ γνώμης· ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον καὶ ὁκότε, καὶ ὅκου πολλῷ κάρτα καὶ ὅκου μετρίῳ, καὶ ὅκου

ψυχρῷ καὶ ὅκου θερμῷ, τὰ μέν που πρόσθεν εἴρηται, τὰ δὲ ἐν αὐτοῖσι τοῖσι καιροῖσι ῥηθήσεται.

64. Κατὰ ταὐτὰ δὲ καὶ περὶ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον καὶ τὰ ἀπὸ χλοιῆς ποιεύμενα καὶ τὰ ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνήκου καὶ μύρτων καὶ ῥοιῆς καὶ τῶν ἄλλων. Ὅτε οὖν ἄν τινος αὐτῶν καιρὸς ᾖ, ἧ χρέεσθαι χρὴ, γεγράψεται παρ' αὐτῷ τῷ νοσήματι ἑκάστῳ· ὅκωσπερ καὶ τἄλλα τῶν ξυνθέτων φαρμάκων.

18. L. 65. Λουτρῶν δὲ, λουτρὸν μὲν ἐν συχνοῖσι τῶν νοσημάτων ἀρήγοι ἂν χρεομένοισιν ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δὲ οὔ· ἔστι δὲ ὅτε ἧσσον χρηστέον διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων· ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θεραπεύοντες ὡς δεῖ· εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτο ἂν οὐ σμικρά· καὶ γὰρ σκέπης ἀκάπνου δεῖ καὶ ὕδατος δαψιλέος καὶ τοῦ λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω δέῃ. Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτῷ καὶ πολλαπλασίῳ ἢ ὡς νομίζεται σμήγματι, καὶ προσκαταχέεσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μετακαταχέεσθαι. Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχέης ἐς τὴν πύαλον, καὶ ἐς εὐέμβατον καὶ ἐς εὐέκβατον· εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν, καὶ μηδὲν αὐτὸν προσεξεργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχέειν καὶ σμήχειν· καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι, καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι· καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στλεγγίδος, καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα, κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην· καὶ μὴ διαψύχεσθαι τὰ ἄκρα, μηδὲ τὴν κεφαλὴν μηδὲ τὸ ἄλλο σῶμα· καὶ μήτε νεοῤῥόφητον μήτε

νεόποτον λούεσθαι, μηδὲ ῥοφέειν μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν.

66. Αὐτίκα μέντοι μέγα δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν καὶ εἰθισμένος λούεσθαι· καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε καὶ ὠφελέονται λουσάμενοι καὶ βλάπτονται μὴ λουσάμενοι. Ἁρμόζει δὲ ἐν περιπνευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τὸ ἐπίπαν· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν καὶ στήθεα καὶ μετάφρενον παρηγορικόν ἐστι λουτρὸν καὶ πτυάλου πεπαντικὸν καὶ ἀναγωγὸν, καὶ εὔπνοον καὶ ἄκοπον· μαλθακτικὸν γὰρ καὶ ἄρθρων καὶ τοῦ ἐπιπολαίου δέρματος· καὶ οὐρητικὸν δὲ, καὶ καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει.

67. Ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ· ἢν μέντοι τῆς παρασκευῆς ἐνδεέα τις ᾖ ἑνὸς ἢ πλεόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν· ἓν γὰρ ἕκαστον αὐτῶν μεγάλην φέρει βλάβην μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ. Ἥκιστα δὲ λούειν καιρὸς οἷσιν ἂν ἡ κοιλίη ὑγροτέρη ᾖ τοῦ καιροῦ ἐν τῇσι νούσοισιν· ἀτὰρ οὐδὲ οἷσιν ἂν ἐστήκῃ μᾶλλον τοῦ καιροῦ καὶ μὴ προδιεληλύθῃ· ἀλλ' οὐδὲ δὴ τοὺς γεγυιωμένους χρὴ λούειν, οὐδὲ δὴ τοὺς ἀσώδεας ἢ * ἐμετικοὺς, οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες, οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμορραγέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι· ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέῃ, λούειν, ἢ ὅλον τὸ σῶμα, ἤν τι πρὸς τὰ ἄλλα ἀρήγῃ, ἢ τὴν κεφαλὴν μοῦνον.

68. Ἢν οὖν αἵ τε παρασκευαὶ ἔωσιν ἐπιτήδειαι καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης· τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λού-

οις, οὐδὲν ἂν βλάπτοις. Χρέεσθαι δὲ λουτροῖσι τοῖσιν οὔλῃσι πτισάνῃσι χρεομένοισι παραπουλὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μοῦνον χρεομένοισιν· ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε· ἥκιστα δὲ τοῖσι ποτῷ μοῦνον χρεομένοισιν· ἔστι δὲ οἷσι καὶ τούτων ἐνδέχεται· τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς τε μέλλει λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης οὕς τε μή· οἷσι μὲν γὰρ προσδεῖ τέ τινος κάρτα τούτων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει καὶ πρόσεστιν αὐτοῖσιν ὅσα ἂν λουτρῷ ὠφελέηται, δεῖ λούειν· οἷσι δὲ τούτων μηδενὸς προσδεῖ καὶ πρόσεστιν αὐτοῖσι τῶν σημείων ἐφ' οἷσι λούεσθαι οὐ ξυμφέρει, οὐ δεῖ λούειν.



ΝΟΘΑ.

—•••—

.. Καῦσος δὲ γίγνεται, ὁκόταν ἀναξηρανθέντα τὰ
6ια ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χο-
δέας ἰχῶρας ἐς ἑωυτά· καὶ πυρετὸς πουλὺς ἴσχει,
τε σῶμα ὡς ὑπό τευ κόπου ἐχόμενον κοπιᾷ καὶ
γέει. Γίγνεται δὲ ὡς ἐπὶ τὸ πουλὺ καὶ ἐκ πορείης
ιρῆς καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ
6ια δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. Γί-
ται δὲ ἡ γλῶσσα τρηχέα καὶ ξηρὴ καὶ μέλαινα
σα· καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει· τὰ
ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίγνεται, καὶ
ι σφοδραὶ ἔνεισι, καὶ ἀγρυπνίαι, ἐνίοτε δὲ καὶ
αλλάξιες φρενῶν. Τῷ τοιῷδε δίδου πίνειν ὕδωρ τε
μελίκρητον ἑφθὸν ὑδαρές, ὁκόσον ἐθέλει· καὶ ἢν
ὰν τὸ στόμα γίγνηται, ἐμέειν ξυμφέρει, καὶ τὴν
ἐὴν ὑποκλύσαι· ἢν δὲ μὴ πρὸς ταῦτα λύηται,
α ὄνου ἑψήσας κάθαιρε · ἁλμυρὸν δὲ μηδὲν μη-
δριμὺ προσφέρειν, · οὐ γὰρ ὑπείσει· ῥύφημα δὲ,
ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. Κἢν αἷ-
ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος, κἢν ἱδρῶτες
γένωνται κριτικοὶ γνήσιοι μετ' οὔρων παχέων,

λευκῶν καὶ λείων ὑφισταμένων, κῆν ἀπόστημά πο-
γένηται. Ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλι-
ἔσται τῆς ἀῤῥωστίης, ἢ ἰσχίου καὶ σκελέων ἄλγημα
ξυμβήσεται· καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς
ἔσεσθαι.

2. Καύσου γένος ἄλλο. Ἡ κοιλίη ὑπάγουσα δέ-
ψης ἐστὶ μεστὴ, γλῶσσα τρηχέα, ξηρὴ, ἁλυκώδης·
οὔρων ἀπόληψις, ἀγρυπνίη, ἀκρωτήρια ἐψυγμένα.
Τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ, ἢ πτύσματα
παχέα πτύσῃ, ἢ ἀπόστημα περὶ τράχηλον γένηται ἢ
σκελέων ἄλγημα ἢ ἰσχίου ὀδύνη ἢ αἰδοίου πελίωμα
ἢ ὄρχιος ἔντασις, · ταῦτα δὲ ξυστάσης τῆς κοιλίης
γίγνεται· , οὐ κρίνεται. Ῥυφήματα ἐπισπαστικὰ δίδου.

2. L. 3. Τὰ δ' ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυ-
ρὸν φαίνηται τὸ νούσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι
τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτοῖσιν. Ἢν μὲν οὖν
ξύναγχος ᾖ, καὶ ἐκλεικτοῖσιν ἀνακάθαιρε, ἤν τ' ἄλλο
τι τῶν πλευριτικῶν· ἢν δὲ ἀσθενέστεροι φαίνωνται,
ἢ καὶ πλέον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ τὴν
κοιλίην χρέεσθαι διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφα-
λείῃ γένηται ὁ νοσέων καὶ χυλοῦ χρήζῃ.

3. L. 4. Φλεγμαίνοντα ὑποχόνδρια ἐπὶ πνευμάτων
ἀπολήψι, φρενῶν ἐντάσιες, ἢ πνευμάτων προστάσιες
ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πῦον ὕπεστιν, ἀλλὰ ὑπὸ
πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ἐπιγίγνε-
ται, μάλιστα δὲ ἥπατος περιωδυνίαι καὶ σπληνὸς βά-

ρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι καὶ ξυστροφαὶ νοσημάτων, οὐ δύνανται λύεσθαι, ἤν τις πρῶτον ἐπιχειρέῃ φαρμακεύειν· ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν· ἔπειτα δὲ ἠπίων κλυσμῶν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νούσημα ᾖ, εἰ δὲ μὴ, ὕστερον καὶ φαρμακείης δεῖ · δέεται δὲ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.

5. Ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν· οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος· τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ ξυντήκουσιν· ἀσθενέος δὲ τοῦ σώματος γιγνομένου, τὸ νούσημα ἐπικρατέει· ὁκόταν δὲ τὸ νούσημα ἐπικρατέῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει.

4. L. 6. Τὸ δὲ ἄφωνόν τινα ἐξαίφνης γενέσθαι, φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς· φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν ἔσω φλέβα καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλέον καὶ τὸ ἔλασσον. Ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτῶν τοιάδε· ἐρυθήματα προσώπου, ὀμμάτων στάσιες, χειρῶν διατάσιες, τρισμοὶ ὀδόντων, σφυγμοὶ, σιηγόνων ξυναγωγὴ καὶ κατάψυξις ἀκρωτηρίων.

5. L. 7. Πνευμάτων ἀπολήψιος ἀνὰ τὰς φλέβας ὁκόταν ἀλγήματα προγένηται, μελαίνης χολῆς καὶ δριμέων ῥευμάτων ἐπιῤῥύσιες γίγνονται· ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενος· δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες ἐντείνονταί τε καὶ φλεγμαίνουσαι ἐπισπῶνται τὰ ἐπιῤῥέοντα· ὅθεν διαφθαρέντος τοῦ αἵματος καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιές τε γίγνονται ὑπὸ τῆς στάσιος καὶ σκοτώσιες καὶ ἀφωνίη καὶ καρηβαρίη ἢ καὶ σπασμοί, ἢν ἤδη ἐπὶ τὴν καρδίην ἢ τὸ ἧπαρ ἢ ἐπὶ τὴν φλέβα διέλθῃ· ἔνθεν ἐπίληπτοι γίγνονται ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι καταξηρανθῇ.

8. Ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντα φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων· εὐβοηθητότερα γάρ ἐστιν· καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιθεωρέοντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω· τὴν δὲ κάτω κοιλίην, ἢν μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου, καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν· ἢν δὲ ῥώμη περιέχῃ, πλέον ἑκκαίδεκα.

6. L. 9. Κύναγχος δὲ γίγνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες ὥρην χειμερινὴν ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας φλέβας ἐπιῤῥυῇ καὶ τὸ ῥεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται·

ταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ αὐ-
, τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵμα-
ἀποφράσσον, πήγνυσι τὸ ξύνεγγυς τοῦ αἵματος
ἀκίνητον καὶ στάσιμον ποιέει, φύσι ψυχρὸν ἐὸν
ἐμφρακτικόν. Διὰ τοῦτο πνίγονται, τῆς γλώσσης
ϊπελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμ-
ϊμένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν· *τῆς
ρ ὑποτεινομένης σταφύλης ἑκατέρωθεν φλὲψ πα-
ία* ·ὁκόταν οὖν πλήρεες αὗται ἐοῦσαι ἐς τὴν γλῶσ-
ν ἐναποστηρίζωνται ἀραιὴν ἐοῦσαν καὶ σπογγοει-
ι, διά γε τὴν ξηρασίην ἤδε ὑπὸ βίης τὸ ἐκ τῶν
εβῶν δεχομένη ὑγρὸν ἐκ πλατέης μὲν στρογγύλη
γνεται, ἐξ εὐχρόου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ
ληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος· ὥστε ταχέως
ιοπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ φλεβοτομίην τε
ιεύμενος ἀπὸ βραχιόνων καὶ τὰς ὑπὸ τὴν γλῶσ-
ιν φλέβας ὑποτάμνων καὶ φαρμακεύων τοῖσιν ἐκλει-
οῖσι καὶ ἀναγαργαρίζων θερμοῖσι καὶ τὴν κεφαλὴν
ιοξυρῶν· καὶ κήρωμα κεφαλῇ καὶ τραχήλῳ περιτι-
ναι καὶ εἰρίοισι περιελίσσειν καὶ σπόγγοισι μαλ-
κοῖσιν, ἐν ὕδατι θερμῷ ἐκπιεζεῦντα, πυριῆν· πίνειν
ὕδωρ καὶ μελίκρητον μὴ ψυχρά· χυλὸν δὲ προσ-
ρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

10. Ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κε-
λῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ καὶ νιτρῶδες ᾖ,
ε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον,

βάχνει τοιόνδε ἐὸν καὶ ἕλκοῖ καὶ πνεύματος ἐμπίπλη-σι, καὶ ὀρθόπνοια παραγίγνεται καὶ ξηρασίη πολλή, καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται, καὶ τοὺς ὄπισθεν τένοντας τοὺς ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέει οἱ οἷον τέτανος ἐντετάσθαι, καὶ ἡ φωνὴ ἀπέρρωγε καὶ τὸ πνεῦμα σμικρὸν καὶ ἡ ἀντίσπασις τοῦ πνεύμα-τος πυκνὴ καὶ βιαίη παραγίγνεται. Οἱ τοιοίδε τὴν ἀρ-τηρίην ἑλκοῦνται καὶ τὸν πλεύμονα πίμπρανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. Τοῖσι το-ούτοισιν ἢν μὴ ἐς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἐκοι-σίη ἀποφέρηται, δεινότερα καὶ ἀφυκτότερά ἐστι, καὶ διὰ τὴν ὥρην, ὅτι ἀπὸ θερμῶν καὶ δριμέων.

7. L. 11. Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου ὑπεούσης, νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ, ἤν τε μή, ἡσυχίην ἄγειν μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην· πόματι δὲ χρεέσθω ὀξυμέλιτι· ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ ἢ καθῆραι φαρμάκῳ· ὁκόταν δὲ κα-θαρθῇ, διαιτῆν ῥυφήματι πρῶτον καὶ πόματι μελι-κρήτῳ, ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσι καὶ οἴνῳ ὑδαρεῖ ἐς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ ὑδαρὲς μελίκρητον. Ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλά-νῳ ἢ κλυσμῷ· εἰ δὲ μή, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, εἶθ' οὕτω κλυ-σμῷ ὑπαγαγεῖν.

12. Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἢν

σοι δοκέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, ἔσω τριῶν ἡμερέων μὴ φαρμακεύειν. Ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥυφήμασι χρῶ, χρεόμενος διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσεις ἐόντων ἢ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων ἢ παυσαμένων καὶ ὡςποῤῥωτάτω ἀπὸ τῆς ἀρχῆς.

13. Ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν μήτε ῥύφημα μήτε ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγείου τοῦτ' εἶναι, διαφυλάσσεσθαι, ἕως ἂν διάθερμοι σφόδρα γένωνται· εἶθ' οὕτω τὸ ξυμφέρον πρόσφερε. Ὡς γὰρ ἐπὶ τὸ πουλὺ σημεῖόν ἐστι μέλλοντας παροξύνεσθαι τοῦ πυρετοῦ ψύξις ποδῶν· εἰ δ' ἐν τοιούτῳ καιρῷ προσοίσεις, ἅπαντα τὰ μέγιστα ἐξαμαρτήσεις· τὸ γὰρ νούσημα αὐξήσεις οὐ σμικρῶς. Ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίγνονται τοῦ ἄλλου σώματος· αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρακος καὶ ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα· ξυνδεδραμηκότος δὲ ἀλέος τοῦ θερμοῦ ἅπαντος ἄνω καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίγνονται, ἄσαρκες καὶ νευρώδεες φύσι ἐόντες· ἔτι δὲ καὶ πουλὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων ψύχονται, ξυναθροιζομένου τοῦ θερμοῦ ἐς τὸν θώρηκα· καὶ πάλιν ἀνὰ λόγον, λυομένου τοῦ πυρετοῦ καὶ καταχερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει· κατὰ δὲ τὸν χρόνον τοῦτον ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται.

14. Τοῦδ' οὖν εἵνεκα τότε οὐ προσαρτέον, ὅτι, ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι καὶ πολλῆς ἄσης μεστὴν, καὶ ὑποχόνδριον ἐντεταμένον, καὶ ῥιπτασμὸν τοῦ σώματος διὰ τὴν ἔνδον ταραχὴν, καὶ μετεωρισμὸν γνώμης, καὶ ἀλγήματα· καὶ ἕλκεται καὶ ἐμέειν ἐθέλει, καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται· θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας καὶ οὔρου διελθόντος, καὶ ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ· κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥύφημα διδόναι, τότε δὲ ὄλεθρος.

8. L. 15. Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τούτοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε, ὅκως μὴ ἔσονται ψυχρότεροι τοῦ ἄλλου σώματος· θερμοῖσι δ' ἐοῦσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσονται· πόματι δὲ χρέεσθαι ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ ἢ μελικρήτῳ.

16. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη, καὶ οἱ πολλοὶ τῶν τοιούτων τὰς κροκύδας ἀφαιρέουσι καὶ τὰς ῥῖνας σκάλλουσι καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον, αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον· δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι· ὡς δὲ τοιῶνδε ἐόντων, ἢν ἡ κοιλίη ὑγρὴ ᾖ καὶ ξυντήκῃ, δοκέει μοι τὰ ῥυφήματα ψυχρότερα καὶ παχύτερα προσ-

φέρειν, καὶ τὰ πόματα τὰ σταλτικὰ καὶ οἰνωδέστερα καὶ στυπτικώτερα.

17. Ὁκόσοισι δ' ἐν τῷ πυρετῷ δῖνοί τε ἀπ' ἀρχῆς καὶ σφυγμοὶ κεφαλῆς εἰσι καὶ οὖρα λεπτὰ, τούτοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνθησόμενον τὸν πυρετόν· οὐ θαυμάσαιμι δ' ἂν οὐδ' εἰ παραφρονήσειαν. Οἷσι δὲ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ· ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούτους, ἀλλ' ἢν δοκέῃ, κλύσαι. τούτους ξυμφέρει οὕτω θεραπεύεσθαι· τῷ σώματι ἡσυχίην ἄγοντας ἀλείφοντά τε καὶ περιστέλλοντα ὁμαλῶς· ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ καὶ ῥυφήματι χυλῷ πτισάνης ἐς ἑσπέρην· κοιλίην δὲ ὕπαγε κατ' ἀρχὰς κλυσμῷ· φάρμακα δὲ μὴ πρόσαγε τούτοισιν· ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ' ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πουλὺν χρόνον ἔσται. Τὰ δὲ ῥυφήματα, ὁκόταν ἐγγὺς τῶν κρισίων ᾖ, μὴ δίδου ἢν θορυβῆται, ἀλλ' ἢν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον · φυλάσσεσθαι δὲ χρὴ καὶ τῶν ἄλλων πυρετῶν τὰς κρίσιας καὶ ἀφαιρέειν τὰ ῥυφήματα κατὰ τοῦτον τὸν καιρόν. Μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίγνεσθαι καὶ ἀποσκήμματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον· ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἄλλας ἴσχει μεταβολάς· ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν καὶ αἱ κοιλίαι τοῖσι τοιούτοισιν ἐκταράσσονται.

18. Ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι καὶ ὑποχόνδρια ξυντείνουσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτῷ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείης καὶ φυλακῆς δέονται· διάγειν δὲ τούτοισι προσφέροντα μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές· ῥύφημα δὲ μὴ πρόσφερε, ἕως ἂν λήξῃ καὶ τὸ οὖρον πεπανθῇ· κατακλίνειν δὲ ἐς ζοφερὰ οἰκήματα, καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασιν, ὡς πλεῖστον χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν· μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελέει. Ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχρίων ἐπιτίθει, φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενος· ἔστω δὲ ἀκροχλίαρον, ἑφθὸν ἐν ὕδατι καὶ ἐλαίῳ.

19. Τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι· ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα· ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην.

20. Τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν ἐᾷν, μέχρις ἂν καταστῶσιν· ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων.

9. L. 21. Εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων· διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσει τί σε μήτε τῶν προφασίων, μήτε τῶν κατὰ λογισμὸ

ὁκόσα ἐς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι· μάλιστα μὲν οὖν δεῖ τὸν περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥοπέας ποιέουσι τοὺς κάμνοντας.

22. Φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ᾗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν ἐξ ὅ,του καὶ δι' ὅ,τι· ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. Ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ ταῦτα πάντα, πρῶτον μὲν κεφαλὴν ὅκως ἔχοι, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχοι ἐν ἑωυτῇ· ἔπειτα ὑποχόνδρια καὶ πλευρὰ, εἰ ἀνάλγητα· ὑποχόνδριον μὲν γὰρ ἢν ἐπίπονον ᾖ ἢ ἐπηρμένον ἢ ἔχῃ τινὰ σχολιότητα ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα τῷ ἀλγήματι ἢ βηχίον ἢ στρόφος ἢ πόνος κοιλίης· ὁκόταν τι τούτων παρῇ, ἐν ὑποχονδρίῳ μάλιστα, λύειν τὴν κοιλίην κλυσμοῖσιν· πινέτω δὲ μελίκρητον θερμὸν ἀφηψημένον. Καταμανθάνειν δὲ καὶ τάδε· ἐν τῇσιν ἐξαναστάσισιν εἰ λιποθυμέει, καὶ εἰ τοῦ πνεύματος εὐφορίη αὐτὸν ἔχει· ἰδεῖν δὲ καὶ τὴν διαχώρησιν, μή τι μέλαν ἰσχυρῶς διεχώρησε χρῶμα, καὶ εἰ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα, καὶ ὁ πυρετὸς εἰ ἐς τὴν τρίτην ἐπιπαροξυνόμενος· κατιδὼν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τ' ἄλλα ξυνορῇν· καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ οἷον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίγνεται.

4

23. Τὰ δὲ σημεῖα, ἡ μὲν μέλαινα διαχώρησις θάνατον σημαίνει, ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον· ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνεῖναι δὲ δοκέῃ τοῦ πνεύματος εὐφορίῃ, ἢν διαναστάσι ἐπὶ τὸν θρόνον ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἀψυχίη ἐγγένηται, ταῦτα ὁκόταν προσῇ τῷ κάμνοντι* ἢ τῇ καμνούσῃ* κατ' ἀρχὰς, παραφροσύνην οἴου ἐσομένην. Προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν· ἢν γὰρ τρομεραὶ ἔωσι, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος ἐκ ῥινῶν ἐσομένην· ὁρῆν δὲ χρὴ καὶ τοὺς μυκτῆρας· ᾧ ἂν γὰρ ἀνομοίως τὸ πνεῦμα δι' ἀμφοῖν ἕλκηται, καὶ ἢν πουλὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίγνεσθαι σπασμός· ἢν δὲ σπασμὸς γένηται, τῷ τοιῷδε θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν.

10. L. 24. Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχέα γένηται καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ· ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ καὶ τῇ ὑδατοποσίῃ καὶ μελικρήτου πόσι καὶ χυλοῖσι, μηδὲν πιστεύων τῇ ἀνέσι τῶν πυρετῶν, ὡς οἱ τοιάδε ἔχοντες σημεῖα ἐπικίνδυνοί εἰσι θνήσκειν· ὁκόταν δὲ ταῦτα ξυνίδῃς, οὕτω προλέγειν, ἤν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα.

25. Ὁκόταν δὲ ἐν πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, ἢν ἡ κοιλίη ἐξαίφνης ὑγρὰ δια-

χωρήσῃ καὶ ἀψυχίη γένηται ἢ ἀφωνίη ἐπιλάβῃ ἢ σπασμώδης γένηται ἢ λυγμώδης, ἐπὶ τούτοισιν ἀσώδεα φιλέει γίγνεσθαι καὶ περὶ ὑποῤῥίνιον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς· οἱ δὲ ταῦτα πάσχοντες θνήσκουσιν οὐκ ἐς μακρὸν πνευματωθέντες.

26. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίγνεται φυματώδεα καὶ ἐγχρονιζόμενα μὴ ἐκπεπαίνεται ἔτι ἐόντων ἐν πυρετοῖσιν, ἢν καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ τὴν φάρυγγα, καὶ μὴ πεπαίνηται, ἀλλὰ σβεσθῇ, φιλέει τῷ τοιῷδε αἷμα ῥέειν ἐκ ῥινῶν· κἢν μὲν πουλὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μὴ, μακρήν· ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χωρέει καὶ ἐπὶ μῆκος· ἢν δὲ τἄλλα ῥήϊστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα· ἢν δὲ ἅψηται τοῦ ποδὸς, καὶ ἐπώδυνος γενόμενος παραμένῃ περιφλεγὴς γιγνόμενος, καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα καὶ ἐς κληῖδα καὶ ἐς ὦμον καὶ ἐς στῆθος καὶ ἐς ἄρθρον, καὶ τοῦτο δεήσει φυματῶδες γενέσθαι· σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται ἢ τρομεραὶ γένωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη· ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν καὶ ἐρυθήματα ἴσχει, καὶ τὸ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, καὶ σκληρὴ φλεγμονὴ κατέχει καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμὸς, καὶ ἢ

παραφροσύνη μέγα ἐπιδιδοῖ· αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι τὰ περὶ τὴν παραφροσύνην. Τὰ δὲ σημεῖα μάλιστα γίγνεται τὰ πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν μᾶλλον ἢ ἐπὶ τὸν ἄρτιον· ὁκοτέρῳ δ' ἂν τῶν ἀριθμῶν τούτων γίγνηται, ὄλεθροι ἐπιγίγνονται.

27. Τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης, ἢν βορβορύζῃ ἡ κοιλίη· εἰ δὲ μή, ἐᾶν ἀφαρμακεύτους εἶναι· ἢν δὲ διαβορβορύζῃ καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῳ ὑποκάθαιρε μετρίως· τὴν δὲ ἄλλην θεραπείην, ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ ῥυφήματα αἰεὶ ἂν βελτιόνως ἔχοι, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες.

28. Ὁκόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει ἥκειν λύσις ταχέα οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίγνεσθαι, ἀλλ' ὁκόταν φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, χρόνον τῷ τοιῷδε μακρότερον ξυμμένει. Ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγηται καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρά, φιλέει παραληρεῖν ὁ τοιόσδε· ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσιν.

29. Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων αἵματος ἀπόσταξις ἐξαπίνης, ξυντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ καὶ ἐς τὴν ὑστε-

ραίην λεπτῶν οὔρων ἐπιφάσιας· καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐκ γυμνασίων οἱ εὖ εὐσαρκώτιος ἔχῃ, ἢ μελαγχολικὸς ᾖ, ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν ἢ σπασμόν· κἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον· ἐν κρισίμῃσι δὲ ὀλέθριον, ἢν μὴ ἀλὲς ἐπεσσυθὲν αἷμα ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας, ἢ κατὰ ἕδρην ἐμπλασθὲν ἐμποιήσῃ ἀπόστασιν, ἢ πόνους ἐν ὑποχονδρίῳ, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα· λυθέντων δὲ τούτων, πτυσμάτων πεπόνων γίγνονται πτυσμοὶ ἢ οὔρων παχέων λείων λευκῶν ἔξοδοι.

30. Πυρετῷ λυγγώδεϊ· ὀπὸν σιλφίου, ὀξύμελι δαῦκον τρίψας πιεῖν δίδου, καὶ χαλβάνην ἐν μέλιτι καὶ κύμινον ἐκλεικτὸν, καὶ χυλὸν πτισάνης ἐπὶ τούτοισι ῥυφῆν· ἄφυκτος δὲ ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται, καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ ἐς ἀπόστασιν στηρίξῃ· κόκκαλος καὶ σμύρνα ἐκλεικτόν· πίνειν δὲ τοῖσι τοιούτοισι διδόναι ὀξύμελι ὡς ἐλάχιστον· ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος.

11. L. 31. Τὰ δὲ περιπλευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι· ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ ἢ καὶ ἀμφοῖν, καὶ τοῦ πνεύματος δὲ ἄνω φερομένου ἢν πονέῃ καὶ βῆχες ἐνέωσι καὶ πτύσματα πτύῃ πυῤῥὰ ἢ πέλια ἢ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρὰ, καὶ εἴ τι ἄλλο διαφέρον ἔχοι παρὰ τὰ μεμαθηκότα, τούτοισιν οὕτω χρὴ

ἀρήγειν· ἢν μὲν ἡ ὀδύνη ἄνω περαίνῃ πρὸς κληῗδα ἢ περὶ μαζὸν ἢ περὶ βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν ἔσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε· ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν καὶ ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλέον, καὶ δὴ θαρσέειν, ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸς λιποψυχίην· ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. Ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα καὶ ξυντείνῃ λίην τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε· μεσηγὺ δὲ τῆς καθάρσιος μηδὲν δίδου· μετὰ κάθαρσιν δὲ ὀξύμελι· φαρμακεύειν δὲ τεταρταῖον· τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν, καὶ ἢν μὴ κουφίζῃ, οὕτως ὑποκάθαιρε· φυλακὴ δὲ ἔστω καὶ ἀπυρέτου ἕως ἑβδόμης· ἔπειτα ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλὸν ὀλίγον καὶ λεπτὸν τὸ πρῶτον ξὺν μέλιτι μίσγων δίδου· ἢν δὲ ἀνάγῃ τε ῥηϊδίως καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος τὰ πλευρὰ καὶ ἀπύρετος, κατὰ σμικρὸν παχύτερόν τε καὶ πλείονα καὶ δὶς τῆς ἡμέρης· ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα καὶ τὸ ῥύφημα, ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ καὶ ἐν ὁκοτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ· γνώσῃ δὲ ἐκ τῶν οὔρων.

32. Δεῖ δὲ τὸ ῥύφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα· ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον δὲ καὶ λεπτότερον· οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν

οὐδὲ πέσσειν ὁμοίως οὐδὲ τὰς κρίσιας ὑπομένειν· ἀλλ' ἐπειδὰν ξυντήξιες ὤμων γένωνται καὶ τὰ ἀντέχοντα ἀποβάλῃ, ἀνθέξει οὐδέν.

*Πέπονα δέ ἐστι τὰ μὲν πτύαλα, ὁκόταν γένηται ὅμοῖα πύῳ, τὰ δὲ οὖρα τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα, ὁκοῖον ὀρόβιον.

33. Οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων χλιάσματα προστιθέναι καὶ χηρώματα· ἀλείφειν δὲ σκέλεα καὶ ὀσφὺν θερμῷ καὶ λίπος ἐγκαταλείφειν· ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν· ἀκμαζούσης δὲ τῆς περιπλευμονίης ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ οὖρα λεπτὰ καὶ δριμέα, καὶ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίγνωνται· οἱ γὰρ τοιοῦτοι ἱδρῶτες πονηροί, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων, ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ καὶ πτύσματα πέπονα ἔλθῃ· ὅ,τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νούσημα.

34. Περιπλευμονίης ἔκλειχτόν· χαλβάνη καὶ κόκκαλος ἐν μέλιτι Ἀττικῷ· ἀβρότονον ἐν ὀξυμέλιτι, ἢ πέπερι· ἐλλέβορος μέλας· ·ἐλλέβορον μέλανα ἀποζέσας καὶ πλευριτικῷ ἐν ἀρχῇσι περιωδύνῳ ἐόντι δίδου· ·ἀγαθὸν δὲ καὶ τὸ πάναχες, ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν, καὶ ἡπατικοῖσι καὶ τῇσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσιν· καὶ ὁκόσα

δὴ ἐς κοιλίην, ἐν οἴνῳ καὶ μέλιτι, τὰ δὲ ἐς οὔρησι ξὺν ὑδαρέϊ μελικρήτῳ πίνειν πλείονι δίδου.

12. L. 35. Δυσεντερίη ἀπόστημα ἢ ἔπαρμά παυσαμένη ποιήσει, ἢν μή τις πυρετὸς, ἢ ἱδρῶτε ἢ οὖρα παχέα καὶ λευκὰ καὶ λεῖα ἐπιφανῇ, ἤ τις τρ ταῖος ἤ τις κιρσὸς, ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα ἢ ἐς ἰσχί στηρίξῃ ὀδύνη.

36. Ἐν πυρετῷ χολώδεϊ πρὸ τῆς ἑβδόμης μετ ῥίγεος ἴκτερος ἐπιγενόμενος λύει τὸν πυρετόν· ἄνι δὲ ῥίγεος, ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον.

14. L. 37. Τέτανοι δὲ ὀσφύος καὶ ἀπὸ μελαγχολ κῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὁκόταν ἕωσ φλεβοτομίη ῥύεται. Ὁκόταν δὲ ὑπὸ τῶν τενόντων σφε δρῶς ἔμπροσθεν ἀντισπῶνται καὶ ἱδρῶτες περὶ τράχη λον καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξη ραινομένων τῶν τενόντων τῶν ὀῤῥωδέων, οἳ παχύτατ τὴν ῥάχιν ξυνέχουσιν, *ᾗ οἱ μέγιστοι ξύνδεσμοι κατε πεφυκότες ἕως ἐς πόδας ἀποτελευτῶσι*· τῷ τοιῷδ ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ τὰ ἑπόμεν οὖρα πέψιν ἔχοντα ἔλθῃ καὶ ἱδρῶτες κριτικοί, πίνε οἶνον Κρητικὸν οἰνώδεα καὶ ἄλητον ἑφθὸν ἐσθίειν καὶ κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν, τά τε σκέλεα πε ριελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προβρέχων ἐν σκά φῃ, καὶ βραχίονας ἕως δακτύλων κατελίσσειν, κα ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων, λάσιι ἐγκηρώσας, μαλακῷ δέρματι, ὅκως καὶ τὰ ἔμπροσθ

περιέξει, καὶ διαλιπὼν πυρία τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτείνων σινδόνιον ἐπανάκλινε αὐτόν.

(38.) Κοιλίην δὲ μὴ λύειν, ἢν μὴ βαλάνῳ, ἢν πουλὺς χρόνος ᾖ ἀδιαχωρήτῳ ἐούσῃ· καὶ ἢν μέν τί σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μὴ, τοῦ μάδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδεϊ καὶ τοῦ δαύκου, πίνειν δίδου πρωὶ νήστι πρὸ τοῦ βρέχειν, καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον καὶ οἶνον, ὁκόταν βούληται, εὔκρητον ἐπιπινέτω· καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· εἰ δὲ μὴ, προλέγειν.

15. L. 39. Τὰ δὲ νοσήματα πάντα λύεται ἢ κατὰ στόμα ἢ κατὰ κοιλίην ἢ κατὰ κύστιν· ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὸν ἁπάντων.

16. L. 40. Ἐλλεβορίζειν δὲ χρὴ οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα· ὁκόσοι δὲ ἐξ ἀποστημάτων ἢ φλεβοῤῥαγίης ἢ δι' ἀκρησίην ἢ δι' ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίγνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιούτοισιν· οὐδὲν γὰρ ὠφελήσει, καὶ ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ὁ ἐλλέβορος· ἢν δὲ διαλύηται τὸ σῶμα ἢ πόνος ἐν κεφαλῇ ᾖ ἢ ἐμπεπλασμένα τὰ οὔατα ἢ ἡ ῥὶς, ἢ πτυαλιασμὸς ἢ γουνάτων βάρος ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ,τι ἂν ξυμβαίνῃ μήτε ὑπὸ ποτῶν μήτε ὑπὸ ἀφροδισίων μήτε ὑπὸ λύπης μήτε ὑπὸ φροντίδων μήτε ὑπὸ ἀγρυπνιῶν· κἢν μέν τι τού-

των ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην.

41. Τὰ δὲ ἐκ πορείης ἀλγήματα πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες· πολλάκις γὰρ μεμάθηκε φορτὴν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα καὶ ἐς ὀσφὺν καὶ ἐς ἰσχία· οἶσι δ' ἂν αὐτῶν ᾖ τοιάδε, δυσουρέεται· τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων.

18. L. 42. Ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλά, ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ μάλιστα, ἐπισημαίνει. Καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστῆν ἀριστήσωσιν, ὄγκος πουλὺς αὐτοῖσι τῆς γαστρὸς καὶ νυσταγμὸς καὶ πληθώρη· ἢν δὲ ἐπιδειπνήσωσιν, ἡ κοιλίη ἐκταράσσεται· ξυμφέρει δὲ τούτοισιν ἐκδυσαμένοισι καθεύδειν· κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον· κἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον· ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ· καὶ ὑδαρέα οἶνον λευκὸν ἢ γλυκὺν, ἢν διψῇ, ἐπιπιόντα ἀναπαύεσθαι· ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι· τὰ δ' ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω.

43. Τὰ δὲ ἀπὸ πομάτων· ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι καὶ ἐγκυκλέεται καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια καὶ ἐς οὔρησιν οὐ κατατρέχει· τοιούτου δὲ πόματος πληρωθεὶς μηδὲν ἔργον ὀξέως διαπρήξῃ,

ὁκόσα τῷ σώματι ξυνταθέντι βίῃ ἢ τάχει πονέειν ξυμβαίνει· ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῇ μετὰ τῶν σιτίων. Ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει· τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι καὶ θερμόν τι ἐπιῤῥυφῆν, πρὸς ἅπερ μάλιστα ἡδίστως ἔχουσιν· νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην καὶ κραιπάλην.

44. Ὁκόσοι δὲ μονοσιτεῦσι, παρὰ τὸ ἔθος κενεαγγέοντες, κενοὶ καὶ ἀδύνατοί εἰσι καὶ οὐρέουσι θερμόν· γίγνεται δὲ καὶ τὸ στόμα ἁλυκὸν καὶ πικρὸν, καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ, καὶ κροτάφους ἐπιξυντείνονται, καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκωσπερ ἢν ἠριστηκότες ἔωσιν. Τούτους δὲ χρὴ δειπνέειν ἔλασσον ἢ μεμαθήκασι καὶ ὑγρότερα, ἀντὶ ἄρτου ἢ μάζης πτισάνην, καὶ λαχάνων λάπαθον ἢ μαλάχην ἢ σεῦτλα· πίνειν δὲ κατὰ τὸ σιτίον οἶνον, ὁκόσον ξύμμετρον, καὶ ὑδαρέστερον· καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως ἂν οὖρα καταδράμῃ καὶ οὐρήσῃ· χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν.

45. Βρώματα δὲ μάλιστα ἐπισημαίνει· σκόροδον φῦσαν ἐμποιέει καὶ θέρμην περὶ τὸν θώρηκα καὶ κεφαλῆς βάρος καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν ἄν· οὐρητικὸν δὲ, καὶ τοῦτο ἔχει ἀγαθόν· ἄριστον δὲ αὐτοῦ φαγέειν μέλλοντι ἐς πόσιν ἰέναι ἢ μεθύοντι.

46. Τυρὸς δὲ φῦσαν ἐμποιέει καὶ στεγνότητα, καὶ [redacted] σιτίων ἔξαυσιν ποιέει· τό τε ὠμὸν καὶ ἄπεπτον· κάκιστον δὲ ἐν ποτῷ φαγέειν πεπληρωμένοισιν.

47. Ὄσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ, καὶ βεβρεγμένα καὶ χλωρὰ, ἥκιστα δὲ ἑφθὰ καὶ πεφρυγμένα· τούτοισι δὲ μὴ χρέεσθαι, ἢν μὴ μετὰ σιτίων. Ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτῶν· ἐρέβινθος μὲν φῦσαν, καὶ ὠμὸς καὶ πεφρυγμένος, καὶ [redacted] πόνον ἐμποιέει· φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιέει, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ· θέρμος δὲ ἥκιστα τὰ τούτω[redacted]ν κακὰ ἔχει.

48. Σίλφιον δὲ καὶ καυλὸς, καὶ σιλφίου καὶ καυλοῦ [redacted] ὀπὸς, ἔστι μὲν οἷσι, μάλιστα δὲ τοῖσιν ἀπείροισιν οὐ[redacted] διέρχεται τῇ κοιλίῃ, ἀλλ' ἐκκαλέεται ξηρὴν χολέρην· μάλιστα δὲ γίγνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ [redacted] ἢ κρεηφαγίης κρεῶν βοείων· τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξυνθείη ἂν ὑπὸ βοείων κρεῶν· ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτῶν, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι· βέλτιστα δ' ἂν ἀπαλλάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισιν.

49. Αἴγεια δὲ κρέα ἀξυμφορώτερα πάλιν· ἐπεὶ ὅσα τε βοείοισιν ἔνι κακὰ, πάντα ἔχει, καὶ φυσωδέστερα καὶ ἐρευγματώδεα καὶ χολέρης γεννητικά ἐστιν· ἔστι δὲ τὰ μὲν εὐωδέστατα καὶ τέρενα καὶ ἥδιστα,· ταῦτα ἄριστα, διέφθα καὶ ψυχρά· τὰ δὲ ἀηδέστατα καὶ δυσώδεα καὶ σκληρὰ, · ταῦτα κάκιστα, καὶ

τὰ πρόσφατα *· βέλτιστα δέ ἐστι τῇ θερινῇ, μετοσωρινῇ δὲ κάκιστα.

50. Χοίρου δὲ πονηρὰ, ὁκόταν ἐνωμότερα ᾖ, καὶ περικαῆ δὲ χολερώδεα ἂν εἴη καὶ ἐκταρακτικά. Ὕεια δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων· κράτιστα δὲ τὰ μήτε ἰσχυρῶς πίονα μήτε πάλιν ἰσχυρῶς λεπτὰ, μήτε ἡλικίην φέροντα παλαιοῦ ἱερείου· ἐσθίειν δὲ ἄνευ τῆς φορίνης αἰεὶ καὶ ὑπόψυχρα.

19. L. 51. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται, καὶ ψόφοι ἔνεισι καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος, διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται. Τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμέεται, ἀλλ' ἡ κοιλίη ὑπελεύσεται· κλύσον οὖν ὅτι τάχιστα θερμῷ καὶ ὡς λιπαρωτάτῳ· καὶ ἐς ὕδωρ, ἀλείφων ὡς πλείστῳ, κάθιε θερμὸν, ἐν σκάφῃ κατακλίνων, καὶ τοῦ θερμοῦ παράχεε κατὰ σμικρόν· καὶ ἢν θερμαινομένῳ αὐτῷ ἡ κοιλίη ὑπίῃ, λέλυται. Ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον· καὶ ἔλαιον δὲ δίδου, ἕως ἂν ἡσυχῇ οἱ ἡ κοιλίη ὑπίῃ· καὶ λέλυται· σίτων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. Ἢν δὲ μὴ ὀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ· ἢν δὲ ὑγρὴ ᾖ ἡ κοιλίη καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι καὶ ἔμετοι καὶ πνιγμοὶ καὶ δηγμοὶ, τούτοισι κράτιστον ἀτρεμίζειν· πίνειν δὲ μελίκρητον καὶ ἐξεμέειν.

σας τῇ βελόνῃ ὡς παχύτατον εἰρίου οἰσυπηροῦ ῥάμμα καὶ ὡς μέγιστον, ἀποδήσεις· ἀσφαλεστέρη γὰρ γίγνεται ἡ θεραπείη· εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέο, καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ· καὶ αἰεὶ μίαν καταλίμπανε· καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι· εἶτα γυμναζέσθω καὶ ἀφιδρούτω· γυμνασίου δὲ τρίψις, πάλη ἀπὸ ὀρθοῦ· δρόμου δὲ ἀπεχέσθω καὶ μέθης καὶ τῶν δριμέων ἔξω ὀριγάνου· ἐμεέτω δὲ δι' ἑπτὰ ἡμερέων ἢ τρίς ἐν τῷ μηνί ·οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα· οἶνον δὲ κιῤῥὸν αὐστηρὸν ὑδαρέα, καὶ ὀλίγον τὸ ποτὸν πινέτω.

63. Τοῖσι δὲ ἐμπύοισι σκίλλης καταταμὼν κυκλίσκους ἕψε ἐν ὕδατι, καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον, καὶ ἐπιχέας ἄλλο ἕψε ἕως ἂν ἁπτομένῳ δέεφθον καὶ μαλθακὸν φανῇ· εἶτα τρίψας λεῖον ξύμμισγε κύμινον πεφρυγμένον καὶ λευκὰ σήσαμα καὶ ἀμυγδάλας λείας τρίψας ἐν μέλιτι ἐκλεικτὸν δίδου, καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν· ῥυφήματα δὲ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι διεὶς, εἶτα σιτανίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιαρὸν ἐπιῤῥυφῶν, οὕτω διαγέτω τὴν ἡμέρην· εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου.

64. Δυσεντερίης· κυάμων καθαρῶν τεταρτημόριον καὶ ἐρυθροδάνου δώδεκα κάρφεα λεῖα ξυμμίξαντα καὶ ἑψήσαντα, λιπαρὸν διδόναι ἐκλείχειν.

κρὰ, καταλέσας, ἐπιπάσσων πινέτω· καὶ ὠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτὰ καὶ σεμίδαλιν καὶ κέγχρον καὶ χόνδρον ἐφθὸν ἐν γάλακτι· ταῦτα ψυχρὰ ἐσθίειν, καὶ τὰ τούτοισιν ὁμοῖα καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω.

22, L. 54. Τῆς διαιτητικῆς ἐστι μέγιστον παρατηρέειν καὶ παραφυλάσσειν ἐν τοῖσι μακροῖσιν ἀῤῥωστήμασι καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν, καὶ ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν εἰδέναι· ἐς ὃ ὁκότε πλεῖστον ἀπέχουσι τῆς ἐπιτάσιος εἰδέναι δεῖ.

23. L. 55. Τοὺς κεφαλαλγικοὺς ἐκ γυμνασίων ἢ δρόμων ἢ πορειῶν ἢ κυνηγεσίων ἢ ἄλλου τινὸς πόνου ἀκαίρου, ἢ ἐξ ἀφροδισίων, τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας, τοὺς ξηρὰ βήσσοντας καὶ διψώδεας, τοὺς φυσώδεας καὶ φλεβῶν ἀπολήψιας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, τοὺς ἀπονεναρκωμένους, καὶ ἀμαυρὰ βλέποντας, καὶ οἷσιν ἦχοι τῶν οὐάτων ἐμπίπτουσι, καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους, τοὺς ἰκτεριώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι, καὶ αἱμοῤῥαγέοντας ἐκ ῥινῶν ἢ καθ' ἕδρην σφοδρῶς, ἢ ἐν ἐμφυσήμασιν ἐόντας, ἢν πόνος αὐτοῖσιν ἐπιτρέχῃ σφοδρὸς καὶ μὴ ἐπικρατέωσιν· τῶν τοιῶνδε μηδένα φαρμακεύειν·

κίνδυνόν τε γὰρ ἕξει, καὶ οὐδὲν ὀνήσεις, τάς τε ἀπὸ τοῦ αὐτομάτου ἀπαλλάξιας καὶ κρίσιας ἀφαιρήσεις.

24. L. 56. Ἢν δὲ αἷμά τινι ξυμφέρει ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν, καὶ λιμοκτονέειν καὶ οἶνον ἀφαιρέειν αὐτοῦ· ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπίλοιπα αὐτὸν καὶ πυρίησιν ἐνίκμοισι θεράπευε· ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκέῃ εἶναι, μαλθακῷ κλύσματι ὑποκλυζε.

25. L. 57. Ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε· κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. Κράτιστον δὲ ἐς οὔρησιν καὶ ἐς ἱδρῶτας καὶ ἐς περιπάτους ἄγειν· καὶ τρίψι ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν· ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν· κ'ἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις, καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅ,τε δυνατοί εἰσιν· καὶ καθίζοντα ἀνατρίβειν μιν πουλὺν χρόνον πολλῷ θερμῷ· ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχῃ τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει καὶ μηδεμίαν κίνησιν κινέεσθαι· τῷ τοιῷδε τῷ σώματι ξυμφέρει μηδὲν προσφέρεσθαι ἔξω τῆς ἀνατρίψιος· τὰ δὲ ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λυέται, τὰ σμικρά ·τὰ σφοδρὰ δὲ πονηρόν· οἱ τοιοῦτοι γὰρ ἢ ἀπόλλυνται, ἢ ἄνευ ἄλλων κακῶν

οὐ γίγνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει κου τὰ τοιουτότροπα.

26. L. 58. Πόμα ὑδρωπιῶντι· κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης καὶ πόδας καὶ πτερὰ, τρίψας ἐν τρισὶ κυάθοισιν ὕδατος τὰ σώματα, νῆστις πινέτω ·ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω, ὑπαλειψάμενος πρότερον· ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος.

59. Ἴσχαιμον· ὀπὸν συκῆς ἐν εἰρίῳ προσθεῖναι ἔσω πρὸς τὴν φλέβα, ἢ πυτίην ξυστρέψαντα ἐμβῆσαι ἐς τὸν μυκτῆρα, ·ἢ χαλκίτιδος τῷ δακτύλῳ ἐπισπασάμενος προσπίεσον·, καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν· καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ, καὶ τὴν κεφαλὴν ξυρῶν ψυκτικὰ πρόσφερε, ἢν ἐν ὥρῃ θερμῇ γίγνηται.

60. Σησαμοειδὲς ἄνω καθαίρει· ἡ πόσις, ἡμιόλιον δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένον· ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι, ·καὶ ἧσσον πνίγει·, τὸ τρίτον μέρος τῆς πόσιος.

29. L. 61. Τριχώσιος· ὑποκείσθω· ῥάμμα, τῇ βελόνῃ, τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τῆς ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὰ κάτω διακεντήσας δίες, καὶ ἄλλο ὑποκάτω τούτου· ἀνατείνας δὲ τὰ ῥάμματα ῥάψον, καὶ κατάδει ἕως ἂν ἀποπέσῃ· κἢν μὲν ἱκανῶς ἔχῃ· ἢν δὲ μὴ, ὀπίσω ποιέειν τὰ αὐτά.

62. Καὶ τὰς αἱμοῤῥοΐδας τὸν αὐτὸν τρόπον, διώ-

19. . . . , ἔστ' ἂν [μην]ύηται ἀποκεχωρηκέναι . . .
. . . , μετά τε τὴν ἑβδόμην, . . .
21. . . . περιστέγειν δὲ ἱματίῳ [στεγ]ανῷ . . .
. . . ἂν διακαὲς εἴη καὶ παραμένοι· , . . .
. . . ἔστι γὰρ [ἔστιν] ὅτε δὴ . . .
22. . . . ἀλγηδόνας, [ἃς] τομὴ *μούνη* [1]) γε οὐ . . .
ὁμοίως λύει ὀδύνην, ἢ μὴ πρὸς κληῖδα περαίνει.

[1]). Νούσ. Α, 28. Erm.— Διαίτ. ὀξ., νόθ. 8.

. . . , ἔστ' ἂν [1]) ἐρυθρότερον . . .

[1]). donec! · 'Ορειβ. II, 23—24.

. . . ἀμφοτεροῖα γὰρ γ.
23. : ἀμέλει E. Peplis, οὐ Peplus.
. . . ἀηδέα *πιεῖν* . . .
26. . . . τῶν *πρόσω* γραφησομένων . . .
. . . ἀντιμεταβάλλειν τόδε, εὖ ἔχειν, μὴ ὀλίγον.
27. Μεταβάλλειν μὲν *δὴ*, εὖ ἔχει, μὴ ὀλίγον· ὀρθῶ
μέντοι . . .
28. . . . διαφέροντα, καὶ *μέγα μάλα*, τὰ τοῖα . . .
. . . ἐν ἄλλῳ ᾧ τινί που . . .
. . . ἐς ἄλλως κρέσσονα.
. . . ποιέοι *ἂν* καὶ βαρέας . . .
. . . δὶς *ὀγκοῦσθαι*, . . .
29. . . . , ὥσπερ νύκτα ἂν ἄγοντα μετὰ *τόδε* [1]) . . .
πνον, . . .

[1]). = τόδε - ιπνον = τὸ δεῖπνον.

. . . μὴ δύνηται, (βραδεῖαν) [1]) συχνὴν περίοδον πλ . . .
. . . νηθέντα *ἀναισιμῶσαι*· δειπνῆσαί τε . . .

[1]). γλ. ἂν εἴη, καὶ τὸ β ρ α δ ε ῖ α ν, καὶ τὸ μ ὴ σ τ . . .

ΟΒΕΛΙΣΜΟΣ.

1. . . . παρὰ τῶν καμνόντων ἑκάστων . . .
2. . . . οἵως χρὴ ἕκαστα . . .
. . . . τὰ γὰρ πλεῖστα ὅτεων αὐτοῖσιν . . .
3. . . . νοῦσον, τῷ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι, τὸ τωὐτὸ νούσημα δοκέον εἶναι ἢν μὴ τωὐτὸ οὔνομα ἔχῃ.
4. . . . καλῶς δεῖ ἥκειν καὶ ὀρθῶς, . . .
. . . ἀνωδύνως δεῖ χειρίζεσθαι, . . .
5. . . . αἱ νοῦσοι, αἱ παραπλήσιοι [1], . . .
[1]. πλευρίτιδι δηλονότι καὶ τοῖς τοιούτοις.
6. . . . , ὥς τε μελετητέα ἂν εἴη· . . .
8. . . . , ἕως [1]) τοι . . .
[1]. οὔτε γάρ, ἐν δὴ τούτῳ τῷ βιβλίῳ, ὥστε = ἅτε, εἰ ἦν, εὖ ἔχει ἡ σύνταξις.
11. . . . δέῃ (ἢ) διὰ φ. ἢ κλύσιν . . .
. . . τὴν πρώτην, ἐκ προσαγωγῆς δὲ ἐνδέχεται καὶ ἔτοισι δὶς διδόναι, . . .
13. . . . καὶ μάλιστα δεῖ κρίσιος ὑπερβολῆς δ. ἢ ἔ γε . . .
15. . . . , ἄλλως τε καὶ ἢν . . .
. . . προσίσχει τε οὔτε μένει . . .
17. . . . οἱ μέν τινες καὶ . . . , οἱ δὲ ὑπό τε τῆς καὶ τῆς ῥ.

δ.

. . . , οἱ δὲ καὶ *ἔπιον* τὸ προστυχὸν, οἱ δὲ καὶ κ. [illegible]ῥόφεον . . .

. . . πάμπαν εὐήθης *τις* ἢ ν. εἴη . . .

40. . . . τόδε γε μὴν φυλάσσουσι [1]) καὶ γιγν.

[1]). observant δήπου, οὐ cavent.

41. . . . ἐν *τούτοισι* τοῖσι καιροῖσιν, ἐν οἷσι *τὰ* π[illegible]λ-*λὰ* (*καὶ*) ἀρήγει . . .

44. . . . , οἷσι *δὴ* χρὴ . . .

46. 'Ατάρ [1]) *τοι* . . . . παράδειγμά τι . . .

[1]). ἀνθ' οὗ ἴσως ἑτέρᾳ γραφῇ Κ α ί τ ο ι· ἐξ ἧς τὸ κ[illegible]αὶ τά.

. . . *ἤπερ εἰ* πλανώμενος . . .

. . . , ἢ *καί τι* ἀνωτέρω, . . .

. . . ἐν *αὐτῇσι* ταύτῃσι τῇσιν ἡμέρῃσιν.

47. . . . δεῖ μὲν *δὴ* καὶ τὸ σῶμα . . .

. . . *ἐξαπίνης* [1]) ἐς πλείω πόνον . . .

[1]). οὐ γὰρ σύνηθες τῷ ἡμετέρῳ τὸ ἐξ α ί φ ν η ς.

. . . , πουλὺ πλείω [*ἂν*] βλαβείη, . . .

. . . δεῖ δὲ δὴ τούτοισι *καὶ* τὴν κοιλίην ἐλιν[illegible]ύειν (πλήθεος βρώμης) [1]). . . .

[1]). ἅπερ οὐ πάνυ 'Ιπποκράτεια· ἀτὰρ καὶ περιττὴ [redacted] νὴ πρὸς Γαληνοῦ ἐξήγησις, 620 . . . τοὺς δ' εἰς [redacted]συ-χίην ἐκ πολλῆς ταλαιπωρίας, ὀλιγώτερα προσφέρεσθαι, [redacted]οὔ-το δ' αὖ πάλιν ἐστὶν ἐ λ ι ν ύ ε ι ν τὴν κοιλίην . . .

48. Ὁ *μὲν* οὖν πλεῖστος . . .

. . . ἐς πάντα *δὲ* εὔχρηστον . . .

. . . , ὅτι *εἰκῇ* ἐν τῇσιν . . . . . , ἢ *δεῖ* . . .

50. . . . ἧσσόν ἐστι καρηβαρικὸς [*τοῦ*] *ἑτέρου*, . . .

51. . . . καὶ διουρητικὸς δὴ οὖν , καὶ [φυσέων] 1) καθαρρηκτικὸς ἐών, . . .

1). τοῦτο γὰρ ἀεὶ πρόσκειται τῷ κ.

52. . . . ἴσχοιτο, (τὰ) διαχωρήματα δὲ . . . ἴοι, ἐν τοῖσι τοιούτοισι . . .

. . . τὰ δὲ κατ' ἔντερον καὶ [ὑποχόνδριον] μᾶλλον νήσει, . . .

1). συνήθης γε ἡ δυὰς αὕτη Ἱπποκράτει.

53. . . . τοῖσι μὴ τοιούτοισιν ἐοῦσιν . . .

! . . . ἔχει γὰρ σμηγματῶδές τι, εἰ μᾶλλον τοῦ καιοῦ καταγλισχραίνοιτο τὸ πτύαλον.

56. . . . ἐκληίσθη δὲ τοῦτο . . .

. . . ἐς ἰσχύν· ἀμφοῖν ὁμῶς τοίνυν, . . .

. . . ὑπὸ τοῦ μέλιτος μούνου, εἰ μὴ . . .

57. . . . τῶν κακοτήτων αὐτοῦ τουτέων . . .

58. . . . καὶ ὡσπερεὶ διαπτερώσειε 1) . . .

1). ἥκιστα ἂν '. ac veluti si (;) g. dilataret, ἀλλὰ 'il nettoie· σημαίνει δηλονότι τὸ δ ι α π τ ε ρ ο ῦ ν pennâ εἰκότως vexillo pennæ) everrere· καὶ μὴν διαπτεροῦντες καθαρίζομεν οὐ μόνον ὦτα καὶ αὐλούς, ἀλλ' οἱασδήποτε ύριγγας, αἷς τε τὴν νικοτιανὴν ῥοφοῦμεν καὶ ἄλλας. Ἄριστα οὖν σαφηνίζει τὸ ἡμέτερον δ ι α π τ ε ρ ώ σ ε ι ε ἡ ᾿ρωτιανοῦ ἐξήγησις, 130.

59. * . . . (τὸ) 1) στόμα καὶ φάρυγγα, . . .

1). ἤ, 'τὸ στόμα καὶ [τὴν] φ. . = 'Ορειβ. I, 392.

. . . τῇσι τ'αὐτῇσιν αἰτίῃσι 1) . . . αὕτη . . .

1). ἤ, ἀρετῇσι.

ϛʹ.

60. . . . ˙ ἀτὰρ καὶ ὅταν πουλὺ [ᾖ *τὸ μεταξὺ*], μετὰ ῥόφημα οὐδὲν κωλύει π.

. . . ἐμποιέοι ταῦτα, *καὶ* κενεαγγείης π.

. . . , καὶ ἃ *ἥδεται* προσωφελέειν, . . .

62. . . . , ὁκόταν πεπυρωμένα[1]) ᾖ ˙ . . .

[1]). ὅρα γὰρ Ὀρειβ. I, 320.

63. . . . ἢ ὑ. καὶ κ. πάντως δοτέον οἶνον . . .

. . . ˙ ἐν οἷσι δὲ . . . καὶ ὁκότε, [*καὶ ὅκου*] πολλῷ κάρτα καὶ ὅκου μ. , . . .

64. . . . καὶ τῶν ἄλλων. Ὅτε οὖν ἄν τινος αὐτῶν καιρὸς ᾖ, [ᾖ] χρέεσθαι *χρὴ*, γεγράψεται παρ᾽ αὐτῷ τῷ νοσήματι *ἑκάστῳ*˙ ὁκώσπερ καὶ . . .

65. Λουτρῶν δὲ, λουτρὸν μὲν . . .

66. Αὐτίκα μέντοι, μέγα δὴ μέρος . . .

67. . . . οἷσιν [*ἂν*] ἡ κοιλίη ὑ. ᾖ . . .

. . . οἷσιν [*ἂν*] ἑστήκῃ . . .

. . . , οὐδὲ *δὴ* τοὺς ἀσώδεας ἢ *ἐμετικοὺς[1]), . . .

[1]). ὄντως ὕποπτον τὸ ἐ μ ε τ ι κ ο ὺ ς τοῦτο.

. . . ˙ (τοὺς δὲ καιροὺς οἶδας˙) . . .

. . . λούειν ἢ ὅλον τὸ σῶμα, ἤν τι πρὸς τὰ ἄλλα ἀρήγῃ, ἢ τὴν κεφαλὴν μ.

68. . . . ˙ οἷσι μὲν γὰρ *προσδεῖ τέ* τινος . . . καὶ πρόσεστιν . . .

ΝΟΘΑ.

2. . . . ἢ αἰδοίου πελίωμα, ἢ *ὄρχιος ἔντασις* [1), . . .

[1]). Γαλ. 759 » . . . . · γίνεται δ' ἔντασις ὄρχεως... ».

3. . . . καὶ *χυλοῦ* [1]) χρήζῃ.

[1]). = § 9.

4. Φλεγμαίνοντα ὑποχόνδρια *ἐπὶ* [1]) π. ἀπολήψι, . . .

[1]). Γαλ. 771 · « . . . · τίνα γὰρ ἕξει νοῦν τὸ προσκείμενον αὐτῇ ' *ἐπὶ* πνευμάτων ἀπολήψει, , τῆς φλογώδους θερμασίας ἐν ὑποχονδρίοις, ἄν τε μετὰ πνεύματος ἢ ἄν τε μὴ, τὴν αὐτὴν ἔνδειξιν ἐχούσης· οὐ μὴν οὐδ' οὕτως ἔοικεν εἰπεῖν, ὡς ἐπὶ συνόδου λέγεσθαι φλογώσεώς τε καὶ πνευμάτων ἀπολήψεως γιγνομένων, · ὅπερ ἐστὶ ψεῦδος · οὐδέποτε γὰρ ἡ τοῦ πνεύματος ἀπόληψις ἐπιφέρει φλογώδη διάθεσιν ἐν ὑποχονδρίῳ. Ἔοικεν οὖν . . . « · ἅπερ δεικνύειν οἶμαι Γαληνόν γε ἀνεγνωκέναι *ἐπὶ*, οὐ *μή*.

. . . · ἔπειτα δὲ *ἠπίων* κλυσμῶν, . . .

6. . . . ἢ ἄλλης αἰτίης [1]) . . .

[1]). ὅρα γὰρ Γαλ. 775.

7. Π. ἀπολήψιος . . . προγένηται, . . .

9. . . . ἐμφράξῃ [αὐτὰς], τοῦ τε . . .

. . . τὸ ξύνεγγυς . . .

. . . · * τῆς · γὰρ ὑποτεινομένης σταφύλης [1]) ἑκατέρωθεν φλὲψ παχεῖα * . . .

η.

1). τούτῳ τῷ ὅλῳ παρεμβλήματι ἕτερος αὖ, ὑπολαβὼν τὸ σταφύλης ὡς σταφυλῆς, παρενέβαλε τὸ ἔτι ἐμπληκτότερον μερικὸν 'οἱ δὲ κιονίδα καλοῦσιν..

. . . , διά γε τὴν ξηρασίην ἤδε ὑπὸ βίης . . .

10. . . . , καὶ δοκέει *οἱ οἷον* τέτανος ἐντετάσθαι, . . .

12. . . . ἔχειν, ἔσω τριῶν ἡμερέων 1) μὴ 2) φαρμακεύειν.

1). ἤ, ὅπερ ταὐτὸ, ἄνευ δὴ τοῦ ἔ σ ω τ ρ ι ῶ ν ἡ μ ε ρ έ ω ν, '. . . ἔχειν, μὴ 2) φαρμακεύειν, *ἀλλ' ἢ* τεταρταῖον 3)..

2). ἤ, κατὰ τὴν ἑτέραν γραφὴν '. . . ἔχειν, ἔσω τριῶν ἡμερέων φαρμακεύειν..

3). εἰκὸς μέντοι πρόσγραμμα εἰς τὸ 'ἔ σ ω τ ρ ι ῶ ν ἡ. εἶναι τὸ '*μὴ* (*δὲ*) *τεταρταῖον*. Πάντως δὲ ἀντὶ τῆς συνήθους γραφῆς' ἔσω τ. ἡ. μὴ φ., *ἀλλ' ἢ τ.*. ἐχρῆν ἤτοι 'ἔσω τ. ἡ. μὴ φ., ἀλλὰ τ.., ἤ, 'ἔσω τ. ἡ. μὴ φ., ἀλλὰ ἢ τεταρταῖον [ἢ πεμπταῖον]. . . Ἄμεινον οὖν ἀρκεῖσθαι ταῖς ἄνευ προσθήκης γραφαῖς' Γαλ. 798.

. . . ἐόντων ἢ μελλόντων . . .

14. *Τοῦδ' οὖν* εἵνεκα . . .

16. . . . 'ὡς δὲ τοιῶνδε ἐόντων, ἢν . . .

. . . , καὶ τὰ πόματα [*τὰ*] σταλτικὰ (*καὶ*) οἰνωδέστερα καὶ στυπτικώτερα 1).

1). Γαλ. 803' ". . . , ' ἣν δ' οὗτος ἔγραψε θεραπείαν, οὐδ' ὅλως στοχάζεται τῆς φρενίτιδος, ἀλλὰ . . .

17. 'Οκόσοισι δ' *ἐν* τῷ πυρετῷ . . .

. . . ἢν θορυβῆται, ἀλλ' *ἢν* ἀνῇ καὶ . . .

18. . . . [ὡς] πλεῖστον χρόνον . . .

. . . προστιθέμενος 1).

1). ἀμέλει, dum ei apponitur · οὐ γάρ φησιν ὁ π., is
i apponitur.

21. . . . , ὅκως μὴ διαλήσει τί σε μήτε τῶν προφα-
ιν, μήτε τῶν κατὰ λογισμόν, ὁκόσα 1) . . .

1). ἐσχάτως γὰρ ἐπιτετηδευμένη ἐστὶν ἡ Γαληνοῦ ἐξή-
γις· 821.

22. . . . ἐξ ὅ,του καὶ δι' ὅ,τι· . . .

. . . Καταμανθάνειν δὲ καὶ τάδε· ἐν . . .

23. . . . , ἐνεῖναι δὲ δοκέῃ τοῦ πνεύματος εὐφορίη,
διαναστάσι ἐπὶ . . . ἀψυχίη . . .

. . . · ὁρῆν δὲ χρὴ καὶ τοὺς μυκτῆρας· ᾧ ἂν γὰρ [ἀν]
ιίως τὸ π. δι' ἀμφοῖν ἕλκηται, καὶ ἦν πουλὺ φ. ἐκ τῶν
φιλέει γ. σπασμός 1).

1). ; ἆρά γε Γαληνοῦ φῶμεν εἶναι τὰ ἐν 827· «εἴωθε
ὕτω καλεῖν τὴν σπασμώδη διάθεσιν, [τὴν] γινομένην κατὰ
(;) τὰ πτερύγια τῆς ῥινὸς κινούντων μυῶν» — ἢ μᾶλ-
νεωτέρου τινὸς σχόλιον ἱκανῶς ἔμπληκτον;

24. . . . χυλοῖσιν 1) , . . .

1). ἀηδῶς γὰρ παρέλκει μετὰ τὸ παραφυλάσσειν
παραφύλασσε.

26. . . . , τοσῷδε χωρέει καὶ ἐπὶ μῆκος· . . .

. . . , καὶ ἐπώδυνος γενόμενος παραμένῃ πυριφλεγὴς
γόμενος, . . .

. . . καὶ ἐς ἄρθρον 1), . . .

1). τοῦ ἰσχίου δηλονότι. Foes. Oecon.

. . . Τὰ δὲ σ. μάλιστα γ. τὰ πολλὰ ἐπὶ τὸν π. ἀριθ-
[μᾶλλον] ἢ . . .

27. . . . · τὴν δὲ ἄλλην θεραπείην, . . .

: : : *αἰεὶ ἂν βελτιόνως* ἔχοι, : : :

28. . . . , ἀλλ' ὁκόταν φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, χρόνον τῷ τοιῷδε μακρότερον *ξυμμένει.*

29. . . , καὶ τὸ σῶμα ἐκ γυμνασίων *οἱ* [εὖ] *εὐσαρκώσιος* ἔχῃ, ἢ . . .

: : . , ἢν μὴ ἁλὲς 1) . . . .

1). οὗ γλ. τὸ π ο υ λ ύ.

. . . *ἐμπλασθὲν* ἐμποιήσῃ 1) . : .

1). ἤ, *ποιήσῃ.*

: . . · λυθέντων δὲ τούτων, [*πτυσμάτων πεπόνων*] γ. πτυσμοὶ ἢ οὔρων παχέων λείων λευκῶν ἔξοδοι.

30. . . . Ἄφυκτος 1) . . .

1). κατά γε τὸ ἐν § 52 ' . . . , ὧν ὁ μὲν ὑποσαρκίδιος ἄφυκτος., κἀνταῦθα ἂν ἐπὶ τοῦ πυρετοῦ εἴη ἀκουστέον, μὴ ἐπὶ τοῦ πυρεταίνοντος.

— Γαλ. 848· . . . Εἰώθα*μεν* δὲ ἐξ αὐτοῦ σκευάζειν ἐκλεικτὸν, ὅταν . . . . · *ἕψομεν* δ' αὐτὸν ἐν . . . . , ἕψοντές τε . . .

31. . . . Τούτοισιν οὕτω χρὴ ἀρήγειν (—;—)· . : :

. . . , καὶ *δὴ* θαρσέειν, . . .

. . . · φυλακὴ δὲ ἔστω καὶ ἀπυρέτου ἕως ἑβδόμης· . :

32. . . . , ὁκοῖον ὀρόβ*ιον* 1).

1). καθάπερ φάκιον καὶ τὰ τοιαῦτα.

34. . . . · ἀβρότονον ἐν ὀξυμέλιτι, [ἢ] πέπερι· . : :

. . . · καὶ ὁκόσα *δὴ* ἐς *κοιλίην*, ἐν οἴνῳ καὶ μέλιτι, τὰ δὲ ἐς *οὔρησιν*, ξὺν ὑδαρέϊ μελικρήτῳ πίνειν πλείονι δίδου.

35. . . . , ἢν μή τις πυρετὸς ἢ ἱδρῶτες ἢ οὖρα π.

λευκὰ καὶ λεῖα ἐπιφανῆ ἤ τις τριταῖος ἤ τις κιρσὸς, ἢ
ὄρχιν ἢ . . .

37. . . . , * ἢ οἱ μέγιστοι . . . ἀποτελευτῶσιν * 1). . . .

1). παρέγγραπτος ἂν εἴη ἡ προσθήκη αὕτη.

40. . . . δι' ἀκρησίην 1) . . .

1). Γαλ. 866· « . . . · οἱ δὲ δι' ἀκρασίαν ἔμπυοι κακῶς τῷ νῦν εἴρηνται καταλόγῳ, τῆς ἀκρασίας αὐτῆς καθ' ἑαυ- βλαπτούσης τοὺς ἀκρατεῖς, οἷον πλησμονῆς, ἀπεψίας, φλυγίας, ἀφροδισίων πολλῶν καὶ ἀγρυπνιῶν, ὅσα τε ἄλλα ῦτα».

. . ἢ [ἡ] ῥίς, . . .

41. Ἀκέφαλος μὲν ὁ λόγος, οὐ μὴν ἀδιανόητος.

42. . . . ξυμφέρει δὲ τούτοισιν ἐκδυσαμένοισι 1) κα-δειν· . . .

1). = Α, 29· . . . , ὥσπερ νύκτα ἂν ἄγοντα μετὰ ἐς ὕπνον, . . .

44. Ὁκόσοι δὲ μονοσιτεῦσι, παρὰ τὸ ἔθος κενεαγγέον-, κενοὶ καὶ . . .

. . . Τούτους δὲ χρὴ δειπνέειν ἔλασσον ἢ μεμαθήκασι ὑγρότερα, ἀντὶ ἄρτου ἢ μάζης πτισάνην 1), καὶ λα-νων . . .

1). εἰκότως γὰρ τῷ ἀρτοφαγέειν εἰθισμένῳ μᾶζα οὐ συμ-ρει· εἰ δ' αὖ περὶ μαζοφαγέειν εἰθισμένου ἀκούσειέ τις τὴν σιν, ἐπιεικῶς μὲν ἔχει τὸ ὑ γ ρ ο τ έ ρ η ν μ ᾶ ζ α ν, ἐμ-ήκτως δὲ τότε πρόσκειται τὸ ἀ ν τ ὶ ἄ ρ τ ο υ.—Α, 33.

45. . . . · σκόροδον φῦσαν [ἐμποιέει] καὶ . . .

46. Τυρὸς δὲ φῦσαν ἐμποιέει καὶ στεγνότητα, καὶ σι-ων ἔξαυσιν 1) ποιέει· . . .

[1]) ἀνθ' ἧς γραφῆς ἴσως ἦν καὶ ἑτέρα, ἀφαυσίς.

47. . . . φυσώδεα καὶ ὠμὰ [1]), . . .

[1]) ὠμὸν ἔδεσμα δηλογότι.

. . . θέρμος δὲ ἥκιστα [τὰ] τούτων κ. ἑ.

48. Σίλφιον δὲ καὶ καυλὸς, καὶ σιλφίου καὶ καυλοῦ ὀπὸς, ἔστι μὲν οἷσι [1]), μάλιστα δὲ τοῖσιν ἀπείροισιν οὐ διέρχεται, ἀλλ' *ἐκκαλέεται* [2]) ξ. χ.

[1]) οὕτω γοῦν λόγον τινὰ ἔχει τὸ Γαληνοῦ «Τί δὴ οὖν σημαίνει τὸ ἔ σ τ ι μ ὲ ν ο ἷ σ ι ν ; οὐδὲν . . . .» [2]) Γαλ. « . . . ταύτην δέ φησι . . . . ξηρὰν ἐ ρ γ ά ζ ε σ θ α ι χολέραν ' . . .

— Γαλ. 880. « . . . μεταθεὶς οὖν τὸ ' β έ λ τ ι σ τ α [*δ' ἂν ἀπαλλάσσοιεν*]. καὶ ποιήσας ' ἥ κ ι σ τ α [*δ' ἂν βλάπτοιντο*]., τὸν λόγον ἄμεμπτον ἐργάσῃ».

49. Αἴγεια δὲ κρέα [ἀ]ξυμφορώτερα [1]). *ἐπεὶ* ὅσα τε βοείοισιν ἔνι κακὰ, πάντα ἔχει [2]), καὶ φυσωδέστερα καὶ ἑ. καὶ χ. γεννητικά [ἐστιν]· ἔστι δὲ . . . , καὶ τὰ πρόσφατα [3])· βέλτιστα δὲ . . .

[1]) οὐ μέντοι ἀπεικὸς, γεγράφθαι ψιλῶς ' Αἴγεια δὲ κρέα ὅσα τε βοείοισιν . . ., τὰ δὲ λοιπὰ, τὸ δὴ ἀ ξ υ μ φ ο ρ ώ τ ε ρ α π ά λ ι ν, παρεγγραφῆναί ποτε κατὰ τὰ Γαληνοῦ, 881· «Κἀνταῦθα π ά λ ι ν εἶπε τὴν αἰτίαν τοῦ τῶν βοείων κρεῶν εἶναι φ α υ λ ό τ ε ρ α τὰ αἴγεια· δύσπεπτα γὰρ ὁμοίως ὄντα . . .

[2]) δύσπεπτον ἔμοιγε καὶ τὸ ψιλὸν, ἄνευ δὴ τοῦ ἤ γ ο υ ν, ' τ ή ν τ ε ἀ π ε ψ ί η ν..

[3]) οὕτω γὰρ ἰσόρροπος φαίνεται ἡ ῥῆσις κατὰ τὰ ἀντικείμενα ἀλλήλοις μέλη.

50. . . . ἤ, *καὶ περικαῆ δὲ* [1]) χ. ἂν εἴη . . .

[1]) Γαλ. 884 · . . . · καὶ τὰ περικεκαυμένα δὲ κατὰ ὄπτησιν ἀνεπιτήδεια πρὸς εὐχυμίαν τε καὶ πέψιν ἐστὶ χολέρας ποιητικά, . . .

51. . . . , ἕως ἂν ἡσυχῇ *οἱ* (καὶ) ἡ κοιλίη ὑπίῃ· καὶ υται.

52. . . . · μάλιστα μὲν *δεῖ* ταλαιπωρίης . . .

53. Ἢν δὲ πυρετός τέ *μιν* ἔχῃ καὶ στρόφοι ἔωσι, γάλα ιον [1]) . . .

[1]) = § 1· ἀτὰρ καὶ τὰ ἄλλα, κατά γε Γαληνόν, ψυκὰ τὸ ἐπίπαν· ἔτι δέ, εἰ περὶ ἀπυρέτου ὁ λόγος ἦν, μᾶλἂν ἔγραψεν ʼἨν δὲ πυρετὸς *μὴ* ἔχῃ, στρόφοι *δὲ* ἔωσι ἔχωσι —), γάλα ὄνειον [2]) . . .

[2]) Γαληνοῦ ὀνείου γάλακτος μνημονεύοντος, οὐ βοείου, τέρων φαίην ἂν δῆθεν διόρθωσιν εἶναι τό τε β ό ε ι ο ν, τε μ ή.

54. . . . , καὶ ἀσφαλέως ὁκότε δεῖ προσενέγκεῖν εἰδέ· ές δ' ὁκότε πλεῖςον ἀπέχουσι τῆς ἐπιτάσιος *εἰδέναι δεῖ*.

55. . . . , τοὺς φυσώδεας *καὶ* φλεβῶν ἀπολήψιας [1]), εταμένους . . .

[1]) Γαλ. 906· . . . Οὕτως δὲ καὶ οἱ φυσώδεις πρῶτον οἵτινες ὑπ' αὐτοῦ λέγονται ἀγνοῶ [1]), [*εἶτα*] εἰ σὺν τῷ ε β ῶ ν ἀ π ο λ ή ψ ι α ς τοὺς γεγονότας φυσώδεις ἀκούεν, ἐνίων ἀναγινωσκόντων καθ' ἑαυτό· . . .»· ἅπερ Γαοῦ ῥήματα ἑτέραν τῆς ἀπολήψιας γραφὴν οὐ πάνυ προσ:ι.

[1]) Ἀρετ. 67, 1· «Διὰ τόδε καὶ μελαγχολικούς, καὶ σ ώ δ ε α ς τούσδε ἐκίκλησκον οἱ πρόσθεν».

ιδ'.

57. . . . . ' τῷ τοιῷδε [τῷ] σώματι ξυμφέρει μηδὲν προσφέρεσθαι ἔξω . . .

58. . . . , νῆστις (δὲ) πινέτω' . . .

61. —;— Τριχώσιος' ὑποκείσθω [1]' ῥάμμα . . :

[1]) ἢ, ὑποτεθείσθω. — Ἀρετ. 227, 9. « . . . , ὁκοίοισι χρὴ ἐπιπλάσμασι ἠδὲ φαρμάκοισι χρέεσθαι, ἐπὶ πολλοῖσι μὲν καὶ πρόσθεν *ὑποκέεται* [2])».

[2]). ἀντὶ τῆς ὑπερ κέεται γραφῆς τῶν ἀντιγράφων, διορθώσει τοῦ Κ. Ε.

. . . ῥάψον' καὶ κατάδει [1]) ἕως ἂν . . .

[1]). καταδέσμει gl. F. G. = et tenez [l'œil] bandé jusqu'à . . . ' ταύτης οὖν τῆς ἐν τῇ Ἱπποκρατείῳ συλλογῇ τοῦ καταδέειν = zu — ἢ ver-binden ἐκδοχῆς οὐδὲν ἂν εἴη χεῖρον παραδείγματα παραθέσθαι' Litt. IV, 152' . . . , κἄπειτα περὶ τὸ μέτωπον ὀθωνίῳ καταδῆσαι, ...— V, 256 ' . . . 'τῷ δὲ ἐναίμῳ καταδεθεὶς ἰάθη ' . . .— 434 ' . . . , ἐπικαταδεῖν δὲ εἰρίοισιν ' . . .— VI, 426' . . . , ἄνωθεν δὲ τῆς σκίλλης τὴν ῥίζαν δ. καὶ π. καταδεῖν, . . .— 460 ' . . . , ἐς ῥάκος ἐναλείψας, ἐντιθέναι καὶ καταδεῖν. — VII, 32 ' . . . , εἴριον πινόεν ἐπιτιθείς, καταδῆσαι, καὶ μὴ λῦσαι ἄχρις . . . 40 ' . . . , συνθεὶς τὰ χείλεα, ἰῆσθαι καὶ καταδῆσαι ' . . . — 226 ' . . . ' εἶτα καταδῆσαι ὅκως μὴ ἐμπέσῃ ὁ μοτός ' . . .— VIII, 424 ' . . . , κεκρυφάλῳ π. μ. ὅ. καταδῆσαι, . . .= 488 ' . . . μ. ὁ. καταδησάσθω, . . .

62. Καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον [5]) [,] διώσας [1]) τῇ βελόνῃ ὡς π. ἑ. ὁ. ῥάμμα καὶ ὡς μέγιστον, ἀποδήσεις [2]) . . .

[1]). διωθοῦμεν τὸ ῥάμμα διὰ τῆς αἱμοῤῥοΐδος, οὐ τῷ ῥάμματι τὴν αἱμοῤῥοΐδα· διωθέειν γὰρ=pousser à travers, =percer.

[2]). ἐνταῦθα δ' αὖ τὸ ἀνάπαλιν· οὐ τὸ ῥάμμα ἀποδέομεν, λὰ τῷ ῥάμματι ἀποδέομεν [3]) τὴν αἱμοῤῥοΐδα.

[3]). οὗ παραδείγματα· VIII, 500 · . . . , τὸν δὲ ὄρχιν δ. ἀποδῆσαι (ab-binden) . . . — 430 · . . . , ἐπειν δὲ πλήσῃς τὴν κύστιν, ἀποδῆσαι, καὶ . . . — 90 · . . . τρυχίον ἀποδήσας . . . — 434 · . . . ἐς ὀθόνιον ἀ. — 8· . . . ἐς ῥάκος ἀ. — 358 . . . ἐν ὀθονίῳ . . ἀποδήσασα, . — 428 · . . . ἐν ῥάκει λιναίῳ ἀ. — 508 · . . . , ἐν ιει ἀ. — 502 · . . . · βάψασα δὲ τὸ ῥάκος ἐν . . . καὶ ἀ. φ, . . . — VII, 34 · . . . καὶ ἀποδείτω τὰς φλέβας . . . VI, 132. — VIII, 314. 272. 426. — VII, 70.

[5]). τίς δὲ ἀκριβῶς ἦν οὗτος ὁ τρόπος, πρόβλημα ἔτι καὶ ἐστιν, οὗ τὴν μετ' ἀποδείξεως λύσιν ποιησάσθω ὁ δυνος.

63. . . . διεὶς, *εἶτα* . . .

65. . . . · ὁκόταν δ' *αὖθις* ξηρὸν γ., τρίψας λεῖον (καὶ) ῷ παράπασσε . . .

67. . . . *δραχμὴν*, . . .

. . . περκαζούσης [1]) . . .

[1]). οὐ ἴσως γλ. τὸ 'ὁκόταν ἔν *τισι μέρεσι* πεφθῇ. A. R'. τὸ' ὁκόταν *τινὰ μέρεα λειφθῇ*. vulg.

68. . . . , [1]) ὑστερικά ἐστιν . . . .

[1]). ἄνευ δὴ τοῦ τ ὰ ἢ τ α ῦ τ α.

69. 70. Γαλ. 918 · . . . · εἶτα περὶ ὑστερικῶν γινοων, εἶτα περὶ τοῦ μηκωνίου [1]), εἶθ' ἑξῆς ὑδραγωγὸν φάρ-

μακον, εἶτ' ἐκκοπρωτικὸν, εἶθ' *ἕτερον*, ὃ *τοῖς* ὑδερικ
δωσι, *τὸ διὰ* μηκωνίου ἴτριον.

[1]). οὐκ οἰκεία ἄρα ἐνταῦθα ἡ Τοῖσιν ὑδρω
δεσι [2]) ἐπιγραφὴ, οἰκεία δὲ ἐπὶ § 70.

[2]). τὸ δὲ Τοῖσιν ὑπνωτικοῖσιν Α., μῶ
νεν ἔκ τινος γλώσσης '*τῆς ὑπνωτικῆς*, , μήκωνος δη
ὑπολαβόντος τινὸς τὸ μηκώνιον ὡς μηκώνειον, μο
γε μήν.

. . . ' λεπίδος, [*ὅσον*] μήλης [*αἵρεται*] τῷ πλ
καὶ * * * * · πάντα ταῦτα λεῖα τρίψας, ἀλήτου σ
κόλλη κολλήσας, ...

[1]). Γαλ. γλ. ' μήλης τῷ πλατέϊ [2])] τῷ κυαθίσκ
ὀφθαλμικῆς μήλης [3]).

[2]). ἄκρῳ δηλονότι, κατ' ἀντίθεσιν πρὸς τὸ ὀξὺ ἄκρ

[3]). τὸ δὲ μηλαὶ τρεῖς [4]) = ; μηλωτρὶς, γ
μήλης.

[4]). ἀρκοίη γ' ἂν ἡ δόσις ἑνὸς κυαθίσκου.— 'Αρετ.
5 ' . . . , χαλκοῦ κερ. ά.

71. . . . τὸ εἰρημένον . . .



ΕΠΙΜΕΤΡΟΝ.

Β′.

. . . ὅ,τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπει,
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρὸν,
δυσπαλές, . . .   Πινδ., Ὀλυμπ. ή.

ΑΈΡ. ΫΔ. ΤΌΠ.

Σελ. 57, 16· προτιμητέα ἴσως ἣν ὁ Κ. Ε. νῦν ποιεῖται διασκευήν.

58, 3· μᾶλλον μέντοι ἀντιστοιχεῖ τῷ *ἀριστηταὶ* τὸ *εὐδίαιτοι*, ἢ τὸ *οὐκ ἐδωδοί*.

„ **10**· πῶς δή; τὸ ʼπρόφρων. σημαίνει ʼπρότερον εἰδώς.;

„ **11**· προσιόντος vulg.

59, 2· δῆλον μὲν *τὰ μετέωρα* opponi *τοῖσι ἐκ βαθυτέτων πηγέων*, οὐ μὴν ὁμοίως γε δῆλον, e sublimi scaturire ταῦτα· ἕτερον γὰρ τὸ μετέωρον, sublime, ἐπὶ χωρίων λεγόμενον, ἕτερον τὸ μετέωρον, sublime, ἐπὶ ὑδάτων· τῷ μὲν δηλονότι συνώνυμον τὸ ὑψηλὸν, τῷ δὲ τὸ ἐπιπόλαιον.

„ **14**· ἐπισκέψασθαι δέομαι τοῦ Κ. Erm. τὸν αὐτοῦ Ἱπποκρ., II, vi.—I, 558, N.

60, 5· ὅρα Lobeck ἐν Φρυνίχ. 536. 89.

61, 22· μένειν δηλονότι κωλύει τὸν ἠέρα ὁ ἥλιος.

, 24· ἀνεκτὸν καὶ τὸ ἄλλη.

62, 11· διὰ τὸ ὅστις.

, 15· penetrans ἔσω, εἰς τὰ οἰκήματα εἰκότως· ὅρα Ὀρειβ. II, 300. 308. 856.

, 16· τὸ μὲν τε ἔχειν τι μέμψεως ἄξιον ὁμολογῶ, οὐ μὴν τὴν γ' ὅλην λέξιν. Θεοφρ. φ. ἱστ. III, 15· . . .— φύσει γὰρ καὶ τοῦτ' ἄγριον τῷ τε μηδὲν [1]) ἢ μὴ [1]) πολὺ χείρω γίνεσθαι . . . Wimmer.

[1]). χρῆναι δοκεῖ μοι ' . . . τῷ τε μηδένα ἢ *πολὺ* χείρω γ.

64, 10· τοῦ *εἶεν* ἔτι δυσπεπτότερον ἔμοιγε τὸ *εἶεν ἂν* B.

, 24· ἐγγὺς τῷ *τῷ μὲν πάντα* vulg.

65, 5· ὅρα, ὡς πρὸς τὸ *ἐν*, Ὀρειβ. I, 327.

, 11· ! · ὄντως ὑπόπτον τὸ *ἃ ἔνι*.

, 19· τὸ μὲν αἰνιγματῶδες *ψευσάμενοί εἰσι* ἔτι καὶ νῦν λύσεως δεῖσθαι δοκεῖ μοι, πιθανωτέρας δὴ τῆς εἴτε *ἐψευσμένοι εἰσι* Erm., εἴτε *ἐψευσμένα ἴσασιν*·— τοῦ δὲ καὶ ὅτι οὐχ ὁρῶ τὸ δῆθεν μοχθηρόν· λέγειν γὰρ οἶμαι τὸν παλαιόν, ὡς ἀπατῶνται οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ὑδάτων πέρι διὰ δύο αἰτίας, πρῶτον μὲν δι' ἀπειρίαν, ἔπειτα δὲ διὰ τὴν ψευδῆ περὶ τῶν ἁλυκῶν, ὡς δῆθεν διαχωρητικῶν, δόξαν.

66, 8· εἴπερ πλημμελείᾳ τῶν βιβλιογράφων ἐν ἅπασι τοῖς ἀντιγράφοις παραλέλειπται τὸ *γάρ*, προστεθήτω οὖν.

, 17· οὐκ ἀπεικός, μὴ εἶναι ἔμβλημα.

, 27· τοῦ 'τότε καταῤῥήγνυται ᾗ ἂν τύχῃ πλεῖστον ξυ-

στραφὲν. ἐπεξήγησιν ὑποπτεύω εἶναι τὰ ἔμοιγε κίβδηλα εἶναι δοκοῦντα.

67, 1· τούτου τοὺς λόγους ἐξέθηκα ἐν τῷ εἰς Oeuvres ch. d'Hipp. p. Ch. Dar. ἐνδοιασμῶν ὁρμαθίῳ ζ' (Ἀσκληπ. **1862**, Z, A, 13).

, **7**· προτιμητέον δὲ τὸ *βούλοιο*.

68, 15· ῥήματος δεῖ; τίνος οὖν;

, **17**· σμικρὰ ἡ διαφορά.

, **24**· integerrimam ! = Littré, N.

70, 11· διὰ τὸ *ζῶσι* vulg.

, **22**· γράψαι ἐνῆν, κατὰ τὸ 'et calido corpore non consistente sanguine neque venis. '. . . , τοῦ *σώματος μὴ ξυνίστηται αἷμα μηδὲ φλέβες*..

72, 8· στικτέον ἀμέλει '. . . ἑκόντα [,] ὅ,τι ἐς κοιλίην, ...— Διαίτ. ὀξ. νόθ. 3'.

73, 17· τοῦ μὲν *καὶ μάλιστα*, atque adeo, voire même, οὐχ ὁρῶ τὸ δυσχερές· τὸ δὲ *τὰ* προσθεῖναι οὐδὲν ἐκώλυεν.

74, 2· κἂν σχόλιον ᾖ, ὅμως μενέτω.

, **4**· τοῦτο τὸ «Manifesto . . . , ἔχειν οἶμαί τινα ἀμφισβήτησιν.

, **27**· ἤγουν, διττὴν ὑποπτεύω γραφήν· ἤτοι 'τὴν κεφαλὴν αὐτοῦ ἔτι *ἁπαλὴν ἐοῦσαν* ἀναπλάσσουσι . . . . , ἢ 'τὴν κ. αὐτοῦ ἔτι *μαλακοῦ ἐόντος* ἀναπλάσσουσι . . . . — τοῦτο βούλεταί μοι τὸ =.

77, 8· ὅρα μέντοι τὴν εἰς τὸ *πολεμίων* τοῦ K. Littré N.

, **17**· εἴτε κίβδηλος Ἰωνισμὸς τὸ *τουτέων*, γεν. πλ., εἴτε

μὴ, φυλάσσειν αὐτὸ ἔδοξέ μοι εὐλαβουμένῳ τὰ τοῦ Lobec (Litt. ἐν Hipp. X).

, 26· μὴ προτιμητέον εἶναι τὸν ἀόριστον, οὐκ ἀρνοῦμαι.

, 27· οὔτε βέβαιον φαίνεταί μοι οὔτε κομψὸν τὸ *εἴρηται*.

78, 5· διὰ τί ἀπαράδεκτον τὸ *ἐκδιδόναι*;

; 21· ὅτι προσθήκη Κοραῆ.

, 22· χαρίεις γ' ὁ πλεονασμὸς οὗτος.

: τὸ μὲν *τὰ* πρὸ τοῦ *ἐόντα* οὐ πάνυ προσίεμαι, τὸ δὲ *καὶ* φυλάσσειν οὐδὲν κωλύει.

79, 13· γράψαι ἐνῆν ' ἠήρ τε κατέχει πουλὺ τῆς ἡμέρης τὰ πεδία, ἐν *οἷσι* [1] διαιτεῦνται ' . . .

[1]. ἢ· ' . . . τὰ πεδία, 'ἐν *οἷσι* [2] *καὶ δ*.

[2]. τί γὰρ βούλεται ἐνταῦθα τὸ ἀόριστον *ὅτοισι*;

, 16· αὐτόθι δηλαδή, ἄλλοθι οὐδαμοῦ.

, 19· ἄμεινον ἂν '*καθότι* οὐκ ἔςιν ἀλέη [1] οὐδὲ σκέπη [2],

[1]. calor· διὰ τὸ συνεχὲς τοῦ χειμῶνος.

[2]. διὰ τὴν ψιλότητα τῆς γῆς.

80, 4· ! 'ὄντως μοχθηρὸν τὸ *τε*.

, 6=83, 27· ποικιλμοί · ἤπερ ἐξήγησις ἴσως τολμηροτέρα.— Προγνωστ. 47.

, 18· ὅρα Foes. Oecon. — Hipp., Erm., II, 546.

Γυν. Α, 11·

. . . τὸ πτύαλον . . . [2] πλαδαρώτερον . . .

[2]. πλαδωδέστερον. « = Litt.

· ἡγοῦμαι τοίνυν διαλλάσσειν τι τὸ *πλαδαρὸν* τοῦ *πλαδώδους*· ἐπὶ μὲν γὰρ πτυάλου ὄντως ἀπίθανον τὸ *πλαδῶδες*, οὐκ ἀπίθανον δὲ ἐπὶ τῆς τοῦ ὅλου σώματος ἕξεως.

, 22· ἤτοι οὕτως, ἢ 'βραχέ(ι)η τῇ β. = 22· . . . ὀλίγῃ τε τῇ β. . .

(* 81, 2· '. . . dedit ἀφ' ὅτων ἥκιστα ἄνδρα . . . γρ. . . . ἥκιστα εἰκὸς ἄνδρα . . .).

81, 16· καὶ ἄνευ του *τε*.

, 21· ἔν γε μὴν τῷ 'At mea quidem sententia, οὐκ ἐμφαίνεται τὸ *καὶ αὐτῷ*· ἀνθ' οὗ ἴσως ἀναγνωστέον *καὶ αὖθις* (—*αὖτις*—).

, 27· ἢ —;—' ' ἅτε . . . ἵππων [*ἐν*] τοῖσι ποσίν'. . .

, 28· ὄντως ἀσαφὲς τὸ *ἕλκονται*, τὸ δ' αὖ *ἑλκοῦνται* ἐπί γε κεδμάτων ποσῶς ἀμφισβητήσιμον· ἐπισκεψάσθω τοίνυν ὁ Κ. Ε. ἑτέραν διόρθωσιν (—;—) τήνδε· 'ἔπειτα *ἀγκυλοῦται* [1]) τὰ ἰσχία, καὶ ἀποχωλοῦνται οἳ ἂν σφόδρα νοσήσωσιν. . '— ὅπερ τῇ πείρᾳ συνῳδόν. [1]). Γαλ. IV, 4.

82, 3· γραφικώτατον τὸ *ὑπολαμβάνει*, ἐπὶ ὕπνου ἠρέμα λαμβάνοντος.

, 19· εἰρωνικώτερον μέντοι τὸ θετικὸν *ἐπεί*.

84, 14. εἴτε σὺν τῷ *καί*, εἴτε ἄνευ τοῦ *καί*, ὀλίγον διαφέρει.

, 17· εἴτε οὕτως, εἴτε ἐκείνως, ἡ διάνοια ἡ αὐτή.

85, 18· οὐ σαφῶς ὁρῶ τὸ δῆθεν φθαρτικὸν τοῦ *εὔκρυπτα*.

, 25· *αὗται*, ἀμέλει αἱ μεταβολαὶ τῶν ὡρέων' ' μέγισται μὲν οὖν εἰσι τῆς φύσιος διαλλαγαὶ αὗται· ἔπειτα δὲ ...

86, 5· γραφὴ *κάκιστοι*, παρά γε Litt., οὐδ' ὑπάρχει ὅλως.

Π. ἹΕΡΗ͂Σ ΝΟΥ͂ΣΟΥ.

89, 8· πλεονασμὸς μέν, οὐ μὴν ἀηδής γε.

, 11· ἀμφίλογον ποσῶς ἄνευ τοῦ *ἧσσον* τὸ *οὐδὲ τ.*

, 21· ἴσως· ' ἐόντας τε *αὖθις* (—αὖτις—)..

91, 20· ἤτοι οὕτως, ἢ ' . . . · πάντως [*γοῦν*] ἐν [1]) τούτῳ . . . .

[1]). τὸ γὰρ *ἐν* ἔμοιγε ἱκανῶς εὔπεπτον.

92, 8· συμμεμίχθαι ὑποπτεύω δισσὴν γραφήν· ' πῶς [*οὖν*] οὐ δεινοὶ αὐτοῖσίν εἰσιν;, καὶ ' δεινοὶ *ἄρ'* αὐτοῖσίν εἰσιν. . . . . ·— ἐν ᾗ γὰρ προαιρεῖται ὁ Κ. Ε. διασκευῇ τοῦ μὲν *δ'* οὐχ ὁρῶ τὸν λόγον, τοῦ δὲ *ἄρ'* ἡ θέσις οὐ πάνυ συνήθης.

, 17· σαφὴς δὲ οὐ *μάλα* ἡ ἑτέρα γραφή, οὐδὲ τοῦ κ[illegible]ῆν ὁ λόγος.

, 23· εἰ μὲν κοινόν τι ἔχει ἡ τοῦ c. M. γραφὴ τῇ Ἐρωτιανοῦ γλώσσῃ· εἰ δὲ μή, τί τὸ ἀπίθανον τοῦ *'Ιδαίης*;

, 26=104, 4· ! · ὄντως γλῶσσα τὸ ' *καὶ φόβοι*..

93, 2· σφόδρα ἀμφισβητήσιμον ἂν εἴη τὸ absolute ε[illegible]u-mendum εἶναι τὸ ' ἀ. τε καὶ ἀ. ποιέουσι..

, 11· τοῦ τυπογράφου ἡ καινοτομία αὕτη· αὐτὸς γὰρ οὐχ ἡψάμην τοῦ ἄψεται.

95, 1· σμικρὰ ἡ διαφορά.

, 15· εἰ βούλει, *καθ' ὅ,τι*·—ἐς ταὐτὸ συμβαίνει.

! · οὐκ εὐλόγως ἐνταῦθα παρελείφθη μοι τὸ *γὰρ* vulg.

, 21· ἄπορος ἔμοιγε ἡ τοῦ Κ. Littré ὑπὲρ τοῦ *ἀνθέ*[illegible]δεῖξις· φησὶ γάρ· » . . . ; *ἀνθέει* est assuré et expl[illegible]qué par . . . V, p. 476.« ·— ἀλλὰ μὴν ἐκεῖ τῆς ἀνθέ[illegible] γραφῆς προυτίμησεν ὁ Κ. L., καὶ ὁ Κ. Ε., τὴν ἀνθέων, διὰ τὸν λόγον, ὡς ἔοικεν, ὅτι ὄνομα ἐξηγεῖται τὸ ὑπόμνημα (Κ. XVI, 60), οὐ ῥῆμα· τί οὖν δύναται ἡ ἐξήγησις

ἐκείνη τοῦ *ἀνθέων* ὑπὲρ τοῦ ἡμετέρου *ἀνθέει*, καὶ εἰ Γαληνοῦ ἦν; οὐκ ἔστι δέ· κἂν γὰρ δῶ ὀλίγιστά τινα τοῦ ὑπομνήματος Γαληνοῦ εἶναι, τά γε πλεῖστα ἡ οὐ κατὰ Γαληνὸν ἑρμηνεία προδήλως ἐλέγχει κίβδηλα ὄντα. — Τὸ δὲ ἐν **Χυμ. 8**· «Τοὺς μὲν οὖν χυμοὺς εἰδέναι, ἐν ᾗσιν ὥρῃσιν *ἀνθέουσι* . . .» οὐκ οἶδα, εἰ φῶς ἐπιχέει τῷ σκοτεινῷ '. . . *ἀνθέει* . . . ὁ ἐγκέφαλος . .

97, 5· τῆς κόπρου *τι* δηλαδή.

100, 1· κρείσσων ἴσως ἦν αἰτεῖ ὁ Κ. Ε. τάξιν.

, 10· γραφικώτερον μέντοι τὸ *μεταλάβῃ*.

101, 17· ! · προστεθήτω οὖν κἀνταῦθα τὸ *γάρ*.

, 19· ! · ἄμεινον ὄντως ἤτοι *τούτῳ* ἢ *ἐκ τούτου*· ἀλλὰ καὶ τὸ *γνώσῃ ὅτι* ὑποπτεύω ἤδη, μὴ ᾖ ἑτέρα γραφὴ ἀντὶ τοῦ *δῆλον ὅτι*· πάντως γὰρ γλαφυρωτέρα ἂν εἴη ἡ ῥῆσις γραφομένη ὧδε· '. . . ὄζοντα· καὶ *τούτῳ δῆλον* [1]) *ὅτι* οὐχ ὁ θεὸς . . .

[1]). ἧσσον γὰρ κομψὸν τὸ '*Γνοίη δ'* ἄν τις τόδε μάλιστα . . . αἰξίν· . . . . . ὄζοντα· καὶ ἐκ τούτου *γνώσῃ* ὅτι οὐχ ὁ θεὸς . . .

102, 11· ! ·ὄντως ἤτοι ἀποβλητέον ἦν τὸ 'π. *ὄντες* ., ἢ γραπτέον 'π. *ἐόντες* . .

, 16· χωλαίνει ἀληθῶς ὁ λογισμός· ἐν δ' αὖ τῇ τοῦ Κ. Ε. διορθώσει προσκόπτω τῷ ἀρξάμενος· πῶς γὰρ οὐ μᾶλλον ἐρχόμενος; Ἡγοῦμαι τοίνυν ἤτοι οὕτως γραπτέον εἶναι, ἢ, ἀποβολῇ τοῦ ὀχληροῦ *ἀρξάμενα* [1]), ἑτέρως διασκευαστέον τὴν ῥῆσιν, ὧδέ πως· '. . . ·κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τἄλλα πάντα· ἐκκρίνει γὰρ ἐξ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερὸν, ἐκ τῆς θαλάσσης καὶ τῶν ἄλλων ὑδάτων, καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων. . .

[1]. καὶ γὰρ οἷόν τε κατ' αὐτὴν τὴν ἡμαρτημένην μετάφρασιν (ὅρα Litt. ἐν Note) πλασθῆναι ὑπό τινος ἐξηγητοῦ τὴν τῆς vulg. γραφήν ' . . . πάντα [τὰ] ἐκ τῆς θαλάσσης [ἀρξάμενα] καὶ . . . . ' — καίτοι εἴ τις πιθανωτέραν ἐξεύροι τοῦ ἀπορήματος τούτου λύσιν, ἄσμενος δέξομαι αὐτήν.

, 26· δεινῶς ὕποπτον ἔμοιγε τὸ *λαγαρίζει*· — εἰ δὲ πράγματα παρέχει τὸ γαληνίζει, τί κωλύει ἀντεμβαλεῖν γαληνῆς ; ' ' . . . , καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ *γαληνῆς* πρῶτον, ...

103, 9· εἰ λυπεῖ τὸ *τε*, ἀπίτω !

, 13· περὶ μὲν τῆς γραφῆς ' *ἐν* τῶν ἀ. τ. *τῆσι μ.*, ταύτην ἔχει ὁ cod. μ. Litt. ' — περὶ δὲ τῆς ἀποδόσεως, πάντως γε χωλαίνει πως ἡ τοῦ Κ. Ε. διασκευὴ κατὰ τὸ *ποιέει*· ἤρκει γὰρ ' . . . ἐπικρατέει, καὶ τὸ σῶμα αἰσθάνεσθαι καὶ μεταβάλλειν ἐκ τῶν ἀνέμων τούτων ἐν τῇσι μεταλλαγῇσι ἀνάγκη καὶ . . . . .

, 17· εἰ βούλει, *διαγιγνώσκομεν*.

104, 2· οὐδέτερον γλαφυρόν, οὔτε τὸ ' *διαγιγνώσκουσιν οὐ* . . . , οὔτε τὸ ' *διαγιγνώσκομεν καὶ οὐ* . . . . .

, 28· ἐπὶ τίνας οὖν φλέβας ;

105, 6· »θερμαίνεται δὲ, ἔφη, ὑπὸ τῆς χολῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐ. . . . . ' νῦν δὲ» διαθερμαίνεται δὲ *καί*, φησίν, ἐπὴν τὸ αἷμα ἐπέλθῃ . . . . .

106, 2· εἰ εἰς τὸ σῶμα πρῶτον ἀφικνεῖτο ὁ ἀήρ, ἅτε ἐν τούτῳ θερμανθεὶς, εἰς τὸν ἐγκέφαλον ἂν ἥει θερμὸς *ἔτι ἐὼν* ὑπὸ ταύτης τῆς θερμάνσεως· — εἰκός γε μὴν γεγράφθαι 'θερμός *τε* ἐών. . . .

, 21· ὑφηγήσατό μοι τὸ ξυγκλύσιας ἡ Π. καρδίας 8· εἰ δέ τινι εὐληπτότερον τὸ ὑπὸ τῶν ξυγκλεισίων αἰσθάνεσθαι τὴν καρδίαν, οὐδεὶς φθόνος.

, 23· ὁμαλύνει γέ τοι τὴν φράσιν ἡ δοτική. — ὅτι (quia) ἡ καρδία αἰσθάνεταί τι [1]) . . . .

[1]. οὗ ἐμοὶ αὖ χεῖρον φαίνεται τό τε.

, 25· τοῦ ' *διὰ τοῦτον* « μᾶλλον παρέλκειν δοκεῖ μοι τὸ ' *πρῶτος* « ·— ἄλλως δὲ ἀποδέχομαι ἣν ποιεῖται ὁ Κ. Ε. διόρθωσιν.

107, 10· καθολικὸν τὸ δόγμα· τί οὖν βούλεται τὸ *τὸ*;

, 17· δηλαδὴ, τοῦ μὲν τὴν ἔνδειξιν ἐκτελέσει δι' αὐξήσεώς τε καὶ θρέψεως, τοῦ δὲ δι' ἀφαιρέσεώς τε καὶ κακώσεως.

ΠΡΟΓΝΩΣΤΙΚΌΝ.

121, 4· ἀμέλει, εἰ γραφὴ ὑπῆρχε *διηγεύμενοι*, ἡδέως ἂν ἔγραφον *διηγεύμενοι* ἐκδιηγεύμενος· ἀλλ' οὐ γὰρ ὑπάρχει.

, 8· ἔμοιγε τὸ τ ὰ ἐ σ ό μ ε ν α ταὐτόν ἐστι τῷ τ ὰ μ έ λ λ ο ν τ α ἀ π ο β ή σ ε σ θ α ι· οὔκουν, ἔμοιγε, τὰ ἐσόμενα ἐ κ τ ῶ ν παθημάτων = τὰ ἐσόμενα τῶν π.

, 10· ὄντως εὖ ἔχει καὶ τὸ ' κ α ὶ τοῦ π. « = καὶ αὐτοῦ τοῦ π. « :— οὐ μὴν ἀπέδωκεν αὐτὸ ὁ Κ. Ε. ἐν τῇ μεταφράσει.

122, 8· οὐδαμῶς συνώνυμα ποιοῦμαι τό τε ὠ χ ρ ὸ ν καὶ τὸ μ ο λ ι β δ ῶ δ ε ς, ἀλλ' ἀντικεῖσθαί φημι ἐνταῦθα τῷ πελίῳ τὸ μολιβδῶδες, ὥσπερ ἐν § 6 ἀντίκειται τῷ αὐτῷ τὸ ὠχρόν· καὶ μὴν ἀμφοτέρων αἱ ἰδέαι, ἐπί γε προσώπου νοούμεναι, κοινὴν ἔχουσι τὴν ἐπὶ τὸ ἀχροώτερον (pallidum κατὰ μεῖζον πλάτος) μετάπτωσιν τῆς κατὰ φύσιν χροιᾶς·— τὸ δὲ π έ λ ι ο ν, Ἱπποκράτει γε, ἐρυθροῦν ἐστιν ἐπὶ τὸ μελάντερον ἀλλοιωθέν· ἥν περ ἰδέαν ἀλλοτρίαν εἰκότως φήσομεν εἶναι τοῦ μ ο λ ι β δ ώ δ ο υ ς, τουτέστι τοῦ κυανίζοντος πολιοῦ.

123, 22· τὸ μὲν τοῦ Κ. Ε. «Quodsi pronus ad pedes de lecto delabatur» οὐ πάνυ συνῳδόν ἐστι τῇ πείρᾳ· τὸ δ' αὖ τοῦ Κ. L. «La tendance à s'affaisser dans le lit et à glisser vers les pieds» οἱονεὶ δὶς ταὐτόν.— Ἀρετ. 160, 5.

, 24˙ ! ·ἡδέως εἶδον τὰ περὶ τοῦ ἐ ρ ε ύ θ ε ι. — Καὶ οὖν; Hipp. I, 485˙ . . . , ἐρεῦθον τὸ πρόσωπον (— ἐρεύθοντα πρόσωπα—).

140, 2˙ ! ·ἐπιμαρτυρεῖν μάλιστα δοκεῖ μοι τῇ τοῦ K. E. εἰκασίᾳ τὸ Γαληνοῦ, 269˙ ' ·εἰ δὲ μετὰ τοῦ φῦμα μὲν ἐκτὸς γενέσθαι ῥ ᾳ δ ί ω ς τ ε ἀ π ο β ή τ τ ε ι ν, . . . « · ἀντιστοιχεῖν γὰρ ἔοικε τῷ ἐναντίῳ, τῷ δὴ ἐπὶ μὴ κρισίμων ἡμερῶν, ' μήτε φ. ξ. ἐν τῷ ἔξω χ., μ ή τ ε ἀ π ο β ή σ σ ῃ ῥ η ϊ δ ί ω ς τ ε καὶ ἀπόνως, θάνατον . . . ».

, 6˙ τούτοις ἐκ διαμέτρου ἀντίθετά ἐστι τὰ ἐν τῷ εἰς τὸ προκείμενον χωρίον ἐν Hipp. τοῦ K. E. σχολίῳ˙ ᾧ πεισθεὶς ἔγραψα ἐν 'Οβελισμῷ τὸ ' [1]) ὄ ν τ ω ς οἱονεὶ χάσμα φαίνεται..

141, 3˙ παραδείγμασι πιστωσάτω ὁ K. E. ταύτην τὴν ἠθεν συνωνυμίαν, τοῦ τε λ α μ β ά ν ε ι ν καὶ τοῦ κ α τ α λαμβάνειν.

, 8˙— ὅρα σελ. 136, 10.

142, 26˙ ; εἰ εὔληπτον τὸ χ ρ ὴ ; . . δ ύ ν α σ θ α ι, πῶς οὖν οὐκ ἀπέδωκεν ὁ K. E. ἐν τῇ μεταφράσει τὸ δ ύ ν α σ θ α ι τοῦτο ;

143, 3˙ τὸ καὶ ἐνταῦθα γραφόμενον ' κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν. [37]) L. ἔτρεψα εἰς τὸ '(καὶ) *ἐκμανθάνειν* [τε].— οὐ γὰρ πιστεύω τῷ κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν. = mini meque ignorare.

, 5˙ ; πῶς οὖν ὁ K. E. οὐκ ἐτήρησε καὶ τὸ ' . ; . ἐνθυμέεσθαι, κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν τὴν τῆς ὥρας κατάστασιν,. ;

, 8˙ ἴσως διssῶς ἔγραψαν, ἄλλοι μὲν ' *οὐδὲν δεινὸν μὴ οὐ*., ἄλλοι δὲ ' *οὐδὲ δυνατὸν μὴ οὐ*. .

Ἐν Μουνυχίᾳ, ἱσταμ. μην. Γαμηλ. πρώτῃ, 1865.

Dr. C. H. Th. Reinhold.

¹). Γαλ. IV, 8· » . . . , οἷον-στοιβῆς²) . . .

²). οὐ μὴν = »duvet du Poterium spinosum« Dar. ἐν Gal. II, 6.

, 16· ! ·ἀληθῶς πραγμάτων ἀπαλλάσσει ἡμᾶς ἡ τοῦ . . α ἔκθλιψις.

, 18· —;— ἴσως· ' ·ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσιν *ἐγκέηται* ¹), καὶ . . . διατείνῃ, ἐς τὰς ἑ. ἡ. (ἀγχοῦ) ². . .

¹). = ξύντονος ᾖ.

²). παρέλκει γε τὸ *ἀγχοῦ*, προσκειμένου τοῦ 'καί τι π..

135, 19· Γαλ. **212**· . . . ·Τὸ δὲ ἐφεξῆς τῶδε τινὲς μὲν οὕτω γράφουσι· ' μηδ' εὔλυτοι καὶ ἄκρητοι γίνωνται.. [ὡς εἰ] ἔφη, [ὥσπερ] μηδὲ χολώδεες αἱ τ. κ. δ., οὕτω μηδὲ εὔλυτοι καὶ ἄκρητοι γ.. ·τοῦ μὲν ἄκρητοι . . . . , τοῦ δὲ (μηδ') *εὔλυτοι* πρὸς τὸ π. τ. ἐκκρίσεων, ὡς, εἰ (τε) χολώδεες εἶεν καὶ εὔλυτοι, δι' ἐκκρίσεως . . . κρίσεως. Ἔνιοι δὲ . . . ,εὔλυτοι ¹) δὲ καὶ ἄκρητοι . . . .«.

¹). συνδυάσας τοίνυν τὰς ἀντιθέτους ταύτας γραφὰς, καὶ γράψας ἄλυτοι, πιθανὴν ἔμοιγε κατεσκεύασα τὴν τοῦ δόγματος ἔννοιαν· ἀκούω δηλονότι τοῦ *ἄλυτοι* = μὴ λελυμέναι, δι' αὐτὴν ἀπαρτὶ τὴν τῆς χολῆς ἔλλειψιν. Καίτοι κἀγὼ τῷ μὴ πειθομένῳ τῇ πρὸς ἐμοῦ ἐξηγήσει ἐπαναλαμβάνω τὰ Γαληνοῦ· » ἀλλὰ περὶ μὲν τῆς ἐν ταῖς εἰρημέναις γραφαῖς διαφορᾶς ἔνεστί σοι καὶ αὖθις ἐπισκέψασθαι κατὰ πολλὴν σχολήν· ἐν δὲ . . .«.

136, 6· ! ·κρείσσων ἴσως ἡ παλαιὰ γραφή.

138, 19· παρόραμα τοῦτο· πρόσθες τὸ ἢ ὀ δ ύ ν η.

, **21**· ἀμέλει παρὰ τῷ Κ. Ε., οὐ μὴν vulgo, ἔχει ἣν φησι θέσιν τὸ ' ἢ ἐ κ π ύ η σ ι ν..

, **22**· εἴγε δισσογραφεῖται ταῦτα πολλαχόθι, πιθανώτερον ἔμοιγε, κἀνταῦθα βιβλιογράφων πλημμελείᾳ ἀντεμβληθῆναι τὸ ἕτερον ἀντὶ τοῦ ἑτέρου.

139, 11· πῶς οὖν οὐ μᾶλλον, κατὰ τὴν Not.; ' · ἐπεί, *ἥν γε* . . . . περιγενέσθαι, ἥν τι καὶ ἄλλο αὐτῷ , . ,

, 24· ! ἡδέως εἶδον τὰ περὶ τοῦ ἐ ρ ε ύ θ ε ι. — Καὶ οὖν; Hipp. I, 485· . . . , *ἐρεῦθον τὸ* πρόσωπον (— ἐρεύθοντά πρόσωπα —).

140, 2· ! ἐπιμαρτυρεῖν μάλιστα δοκεῖ μοι τῇ τοῦ Κ. Ε. εἰκασίᾳ τὸ Γαληνοῦ, 269· ʼ εἰ δὲ μετὰ τοῦ φῦμα μὲν ἐκτὸς γενέσθαι ῥ ᾳ δ ί ω ς τ ε ἀ π ο β ή τ τ ε ι ν, . . . « ʼ ἀντιστοιχεῖν γὰρ ἔοικε τῷ ἐναντίῳ, τῷ δὴ ἐπὶ μὴ κρισίμων ἡμερῶν, ʼ μήτε φ. ξ. ἐν τῷ ἔξω χ., μ ή τ ε ἀ π ο β ή σ σ η ῥ η ϊ δ ί ω ς τ ε καὶ ἀπόνως, θάνατον . . . ».

, 6· τούτοις ἐκ διαμέτρου ἀντίθετά ἐστι τὰ ἐν τῷ εἰς τὸ προκείμενον χωρίον ἐν Hipp. τοῦ Κ. Ε. σχολίῳ· ᾧ πεισθεὶς ἔγραψα ἐν ʼΟβελισμῷ τὸ ʼ [1]) ὄ ν τ ω ς οἱονεὶ χάσμα φαίνεται..

141, 3· παραδείγμασι πιστωσάτω ὁ Κ. Ε. ταύτην τὴν δῆθεν συνωνυμίαν, τοῦ τε λ α μ β ά ν ε ι ν καὶ τοῦ κ α τ α λαμβάνειν.

, 8· — ὅρα σελ. 136, 10.

142, 26· ; εἰ εὔληπτον τὸ χ ρ ὴ . . . δ ύ ν α σ θ α ι, πῶς οὖν οὐκ ἀπέδωκεν ὁ Κ. Ε. ἐν τῇ μεταφράσει τὸ δ ύ ν α σ θ α ι τοῦτο;

143, 3· τὸ καὶ ἐνταῦθα γραφόμενον ʼ κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν. [37]) L. ἔτρεψα εἰς τὸ ʼ(*καὶ*) *ἐκμανθάνειν* [τε]. — οὐ γὰρ πιστεύω τῷ κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν. = mihi neque ignorare.

, 5· ; πῶς οὖν ὁ Κ. Ε. οὐκ ἐτήρησε καὶ τὸ ʼ. . . ἐνθυμέεσθαι, κ α ὶ μ ὴ λ α ν θ ά ν ε ι ν τὴν τῆς ὥρας κατάστασιν,. ;

, 8· ἴσως δισσῶς ἔγραψαν, ἄλλοι μὲν ʼ *οὐδὲν δεινὸν μὴ* οὐ, ἄλλοι δὲ ʼ *οὐδὲ δυνατὸν μὴ* οὐ, .

Ἐν Μουνυχίᾳ, ἱσταμ. μην. Γαμηλ. πρώτῃ, 1865.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῆ

CAROLI H. TH. REINHOLD.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.



Ἐτιμήθη ἡ βίβλος τῷ βραβείῳ

Συμβουλίδου.



"Quid autem medicus, qui Hippocratis quæ vocant opera cognoscere velit? Loquor jam de illo, qui res, ut ajunt, curans scire velit, quid vetere illo ævo in arte medica et doctrinis medicis factum sit. . . . .

Hic incipiat a vere Hippocrateis[1]): videat quomodo in Epid. I. et III. Hippocrates morbos epidemios, singulares depingat; quomodo geographiæ medicæ fundamenta in libro de Aëre, aquis, locis jecerit; quæ præcepta tum nosologica, tum therapeutica in libro de Victu acutorum reliquerit; quid de Capitis vulneribus scripserit et quo modo anatomicam partium cognitionem substernat vulnerum cognitioni et curationi. Comparet hæc cum Cnidiorum[2]) methodo et artis ratione omni. Videat quam a medicis practicis utriusque scholæ differant sophistæ[3]); quomodo . . . .

Ermerins, Hipp. III, Præf., XVII.

1) ! *Ἐπιδ. Α'. Γ'. — Π. ἀέρ., ὑδ., τόπων. — Π. διαίτης ὀξέων. — Π. τῶν ἐν κεφ. τρωμ.*[4])
οἷς ἀκόλουθά γε:
* Ὅρκος. — ** Προγνωστ. — *** Ἀφορισμοί.

2) — ; — Κατ' ἰητρεῖον. — ; —

3) Περὶ ἱερ. νούσ. — Νόμος. — Π. τέχνης. — Π. ἀρχαίης ἰητρικῆς.

* * *

! 4) ! τέσσαρα ἄρα τὰ πάντα ἐστὶ τὰ γνήσια *Ἱπποκράτους συγγράμματα.*

*

Ἔνεστι τάδε·

7.	Ἀφορισμοί	Σελ.	1
8.	Κατ' ἰητρεῖον Α'.	»	47
9.	» » Β'.	»	105
10.	» » Γ'.	»	167
11. 12.	Ἐπιδημιῶν Α'. Γ'.	»	237

Insunt:

7.	Aphorismi	Pag.	1
8.	De officina medici I.	»	47
9.	» » II.	»	105
10.	» » III.	»	167
11. 12.	Epidemion I. III.	»	273

A′, 144, 9. Ὀκόταν δὲ λέγηται ὅκως . . .
— 169, 3. . . . . μέγα τι . . . .
B′, 6, 7. Καὶ οἷσιν, ἅπαξ . . . .
— 12, 2. . . . [καὶ πρὸς χώρας δὲ . . .
— 13, 9. . . . *βροτοῖσι* . . . .
— 15, 14. . . . ,*στραγγουρίαι*, ...
— 38, 2°. . . . ,οἷα οὐκ ἔχον . . . .

A′, 163, 15. . . . ὀνήσει, ἣν . . .
— 190, 23. . . . πτυαλισμὸς . . .
— 193, 13. . . . ἀπείροισιν, οὐ . , .
B′, 4, 1. . . . κενώσιες . . .
— 16, 7. . . . ,ἴλιγγοι, . . .
— 30, 24. . . . ἀραιὰ, ξὺν . . .
— 34, 17. . . . ῥέγκουσιν, ἀπόλλυνται . . .
— 41, 9. . . . οἱ . . . .
— δ′, 9. . . . ἀποδείπνῳ· ὃ . . .
— 52, 18. . . . ῥᾷστα, φανεῖται . . . .
— 54, 17. . . . ἀπεφήνατο . . . .
— 27. . . . ἀφικνούμενος . . . .
— 56, 4. . . . πεπονθυῖαν . . . .
— 12. . . . ἀπόσπασμα . . . .
— 64, 17. . . . ποιηταί· περιττὸν . . . .
— 65, 5. . . . γεγονυῖαν . . . .
— 11. . . . ,καθάπερ . . . .
— 66, 20. . . . γιγνωσκόμενα . . . .

ΙΠΠΟΚΡΑΤΗΣ.

Κόμιδῇ

CAROLI H. TH. REINHOLD.

7.

Ἀφορισμοί.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1865.

ΙΠΠΟΚΡΑΤΟΥΣ

ΑΦΟΡΙΣΜΟΙ.

ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

1. Ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. Δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα καὶ τοὺς παρεόντας καὶ τὰ ἔξωθεν.

2. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γιγνομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. Οὕτω δὲ καὶ κενεαγγείη· ἢν μὲν οἵην δεῖ γίγνεσθαι γίγνηται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. Ἐπιβλέπειν οὖν δεῖ καὶ χώρην καὶ ὥρην καὶ ἡλικίην καὶ νούσους, ἐν ᾗσι δεῖ ἢ οὔ.

3. Ἐν τοῖσι γυμναστικοῖσιν αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραὶ, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν· οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτῷ οὐδὲ ἀτρεμέειν· ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν οὐδ' ἔτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι, λείπεται οὖν ἐπὶ τὸ χεῖρον· τούτων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λαμβάνῃ τὸ σῶμα· μηδὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γὰρ, ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν.

Ὡσαύτως δὲ καὶ αἱ κενώσεις αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραί· καὶ πάλιν αἱ ἀναλήψιες αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί.

4. Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται καὶ ἐν τοῖσι μακροῖσι αἰεὶ πάθεσι καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐνδέχεται, σφαλεραί· αἱ δ' ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται χαλεπαί· καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι χαλεπαί.

5. Ἐν τῇσι λεπτῇσι διαίτῃσι τὰ πολλὰ ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται· πᾶν γὰρ ἁμάρτημα ὃ ἂν γίγνηται, μέγα γίγνεται μᾶλλον ἢ ἐν τῇσιν ὀλίγον ἀδροτέρῃσι διαίτῃσιν· διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσιν. Διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται μᾶλλον σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρῷ ἀδροτέρων.

6. Ἐς δὲ τὰ ἔσχατα νοσήματα αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβίην κράτισται.

7. Ὅκου μὲν κάτοξυ τὸ νούσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι· ὅκου δὲ μή, ἀλλ' ἐνδέχεται ἀδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

8. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νούσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

9. Ξυντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται.

10. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾷν· ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου σμικρὸν, ἀφαιρετέον· ἔμπροσθεν δὲ πιοτέρως διαιτᾷν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων.

11. Ἐν δὲ τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη· καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

12. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι καὶ αἱ ὧραι τοῦ ἔτεος καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην ἤν τε παρ' ἡμέρην ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται· ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον ἢν μὲν αὐτίκα-ἐπιφαίνηται, ἀρχομένου, βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει· καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες, καὶ δύσκριτα καὶ εὔκριτα καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα, δηλοῖ.

13. Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα μειράκια, πάντων δὲ μάλιστα παιδία, τούτων δὲ αὐτῶν ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

14. Τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν· πλείστης οὖν δεῖται τροφῆς· εἰ δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται· γέρουσι δὲ ὀλίγον τὸ θερμὸν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ὑπὸ πολλῶν γὰρ ἀποσβέννυται· διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα.

15. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει καὶ οἱ ὕπνοι μακρότατοι· ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι καὶ τὰ

προσάρματα πλείω δοτέον· καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πλεῖόν ἐστι· τροφῆς οὖν πλείονος δεῖται· σημεῖον αἱ ἡλικίαι καὶ οἱ ἀθληταί.

16. Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισιν τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

17. Καὶ οἷσιν ἅπαξ ἢ δὶς, καὶ πλείω ἢ ἐλάσσω, καὶ κατὰ μέρος· δοτέον δέ τι καὶ τῷ ἔθεϊ καὶ τῇ ὥρῃ καὶ τῇ χώρῃ καὶ τῇ ἡλικίῃ.

18. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι, χειμῶνος ῥήιστα, ἦρος δεύτερον.

19. Τοῖσιν ἐν τακτῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων, πρὸ τῶν κρισίων.

20. Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακείῃσι μήτ' ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾷν.

21. Ἃ δεῖ ἄγειν, ὅκῃ ἂν μάλιστα ῥέπῃ ἡ φύσις, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων.

22. Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πολλὰ οὐκ ὀργᾷ.

23. Τὰ χωρέοντα μὴ τὸ πλήθεϊ τεκμαίρεσθαι, ἀλλ' ὅσα ἂν χωρέῃ, εἰ οἷα δεῖ, καὶ φέρει εὐφόρως· καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων.

24. Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντα ποιέειν·

25. Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· τὰ δ' ἐναντία, δυσχερῶς.

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

1. Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

2. Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν.

3. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γενόμενα, κακόν.

4. Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' ἄλλο οὐδὲν ἀγαθὸν, ὅ,τι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

5. Κόποι αὐτόματοι φράζουσι νούσους.

6. Ὁκόσοι πονέοντές τι τοῦ σώματος τῶν πόνων οὐκ αἰσθάνονται, τούτοισι τὰ πολλὰ ἡ γνώμη νοσέει.

7. Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα νωθρῶς ἐπανατρέφειν, τὰ δὲ ἐν ὀλίγῳ, ἀλέως.

8. Ἢν ἐκ νούσου τροφὴν λαμβάνοντος μὴ ἰσχύῃ τὸ σῶμα, πλείονι τροφῇ χρέεται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνηται, κενώσιος δέεται.

9. Τὰ σώματα χρὴ, ὅκου ἄν τις βούληται καθαίρειν, εὔροα ποιέειν.

10. Τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσῳ ἂν μᾶλλον τρέφῃς, μᾶλλον βλάψεις.

11. Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίου.

12. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφώδεα.

13. Ὁκόσοισι κρίσις γίγνεται, τούτοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, ἡ δὲ ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πουλύ.

14. Ἐν τῇσι τῆς κοιλίης ῥύσισιν αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

15. Ὅκου φάρυγξ νοσέει ἢ φύματα ἐν τῷ σώματι ἐκφύει, τὰς ἐκκρίσιας σκέπτεσθαι· ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ, ὁκοῖαι τοῖσιν ὑγιαίνουσι γίγνονται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

16. Ὅκου λιμὸς, οὐ δεῖ πονέειν.

17. Ὅκου ἂν τροφὴ πλείων παρὰ φύσιν ἐσέλθῃ, τοῦτο νοῦσον ποιέει· δηλοῖ δὲ ἡ ἴησις.

18. Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσιες γίγνονται.

19. Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης.

20. Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τούτοισιν ἀπογηράσκουσι ξηραίνονται· ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, τούτοισι πρεσβυτέροισι γενομένοισιν ὑγραίνονται.

21. Λιμὸν θώρηξις λύει.

22. Ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται, καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονὴ, καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

23. Τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν.

24. Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος· ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχὴ, θεωρητὴ δὲ ἡ ἑνδεκάτη, αὕτη γάρ ἐστι τετάρτη τῆς δευτέρης ἑβδομάδος· θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη, αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

25. Οἱ θερινοὶ τεταρταῖοι ὡς τὰ πολλὰ γίγνονται βραχέες, οἱ δὲ φθινοπωρινοὶ μακροί, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα ξυνάπτοντες.

26. Πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ.

27. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβέεσθαι λίην τὰ μοχθηρὰ, γιγνόμενα παρὰ λόγον· τὰ γὰρ πολλὰ τῶν τοιούτων ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν οὐδ' ἐγχρονίζειν εἴωθεν.

28. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν· τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

29. Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσέων δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

30. Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστερα, περὶ δὲ τὰς ἀκμὰς ἰσχυρότερα.

31. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτεῦντι μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

32. Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ' ἀρχὰς μὲν εὐσιτεῦντες, μὴ ἐπιδόντες, πρὸς τῷ τέλεϊ πάλιν ἀσιτέουσιν· οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτεῦντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτεῦντες, βέλτιον ἀπαλλάσσουσιν.

33. Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν· τὸ δὲ ἐναντίον, κακόν.

34. Ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης καὶ τῆς ἕξιος καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τούτων ᾖ.

35. Ἐν πάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι, τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν· ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

36. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι ἐκλύονται ταχέως,· καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

37. Οἱ εὖ τὰ σώματα ἔχοντες φαρμακεύεσθαι ἐργώδεες.

38. Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ, τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

39. Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον· ὁκόσα δ' ἂν αὐτοῖσι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει.

40. Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

41. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσιν.

42. Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ, οὐ ῥηίδιον.

43. Τῶν ἀπαγχομένων, καὶ καταλυομένων μήπω τεθνηκότων, οὐκ ἀναφέρουσιν οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

44. Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι μᾶλλον τῶν ἰσχνῶν.

45. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης καὶ τῶν χωρέων καὶ τῶν βίων ποιέουσιν.

46. Δύο πόνων ἅμα γιγνομένων, μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

47. Περὶ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ ξυμβαίνουσι μᾶλλον, ἢ γενομένου.

49. Ἐν πάσῃ κινήσι τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τότε διαναπαύειν εὐθὺς, ἄκοπον.

49. Οἱ εἰθισμένοι τοὺς ξυνήθεας πόνους φέρειν, κἢν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀξυνηθέων, καὶ ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσιν.

50. Τὰ ἐκ πολλοῦ χρόνου ξυνήθεα, κἢν ᾖ χείρω, τῶν ἀξυνηθέων ἧσσον ἐνοχλέειν εἴωθεν· δεῖ οὖν καὶ ἐς τὰ ἀξυνήθεα μεταβάλλειν.

51. Τὸ κατὰ πουλὺ καὶ ἐξαπίνης κενοῦν ἢ πληροῦν ἢ θερμαίνειν ἢ ψύχειν. ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινέειν, σφαλερόν· καὶ γὰρ πᾶν τὸ πουλὺ τῇ φύσι πολέμιον, τὸ δὲ κατ' ὀλίγον ἀσφαλές· καὶ ἄλλως καὶ ἤν τις ἐξ ἑτέρου ἐφ' ἕτερον μεταβαίνῃ.

52. Πάντα κατὰ λόγον ποιέοντι μὴ γιγνομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ' ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

53. Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ἐόντες, βέλτιον ἀπαλλάσσουσι τῶν αὐτὰς ξηρὰς ἐχόντων, ἐς δὲ τὸ γῆρας χεῖρον ἀπαλλάσσουσιν· ξηραίνονται γὰρ ὡς ἐπὶ τὸ πουλὺ αὐτοῖσιν ἀπογηράσκουσιν.

54. Μεγέθεϊ δὲ σώματος, ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀηδές· ἐγγηρᾶσαι δὲ, δύσχρηστον καὶ χεῖρον τῶν ἐλασσόνων.

ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

1. Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι νοσήματα καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος, καὶ τἄλλα κατὰ λόγον οὕτως.

2. 3. Τῶν φυσίων αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι· [καὶ δὲ πρὸς χώρας καὶ διαίτας καὶ τὰς ἄλλας καταστάσιας] τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασιν· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας τινὰς καὶ χώρας καὶ διαίτας [καὶ καταστάσιας νούσων].

4. Ἐν τῇσιν ὥρῃσιν, ὁκόταν τῆς αὐτῆς ἡμέρης ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος ἐπίῃ, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι.

5. Νότοι βαρυήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν. Ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ, δυσουρίαι φρικώδεες, ὀδύναι πλευρέων, στηθέων· ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι.

6. Ὁκόταν θέρος γένηται ἦρι ὁμοῖον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι προσδέχεσθαι πολλούς.

7. Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίγνονται· καὶ ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τὸ πουλὺ καὶ τὰ νοσήματα τοιαῦτα προσδέχεσθαι.

8. Ἐν τοῖσι καθεστεῶσι καιροῖσιν, ἢνίκα ὡραίως αἱ ὧραι τὰ ὡραῖα ἀποδιδόασιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίγνονται, ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν ἀκατάστατοι καὶ δύσκριτοι.

9. Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι καὶ θανατωδέσταται τοὐπίπαν, ἦρ δὲ ὑγιεινότατον καὶ ἥκιστα θανατῶδες.

10. Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν.

11. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ

όρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ ἔρεος πυρετοὺς ὀξέας καὶ ὀφθαλμίας καὶ δυσεντερίας γίγνεσθαι, μάλιστα τῇσι γυναιξὶ καὶ τοῖσιν ὑγροῖσι τὰς φύσιας.

12. Ἢν δὲ νότιος ὁ χειμὼν καὶ ἔπομβρος καὶ εὔδιεινὸς ένηται, τὸ δὲ ἦρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες, ισιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουιν· αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίτουσιν, ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώσα ζῆν ἐόντα· τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι καὶ φθαλμίαι ξηραὶ γίγνονται, τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοοι υντόμως ἀπολλύντες.

13. Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται, τὸ ὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειῶνα γίγνονται καὶ βῆχες καὶ βράγχοι καὶ κόρυζαι, ἐνίοισι ὲ καὶ φθίσιες.

14. Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας καὶ τῇσι γυναιξὶ ξύμφορον· τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἐπιγίγνονται ξηραὶ καὶ πυρετοὶ, ὀξέες καὶ χρόνιοι, καὶ κόρυζαι χρόνιαι, ἐνίοισι δὲ καὶ μελαγχολίαι.

15. Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσιν ὑγιεινότεροι καὶ ἧσσον θανατώδεες.

16. Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίγνεται πυρετοί τε μακροὶ καὶ κοιλίης ῥύσιες καὶ σηπεδόνες καὶ ἐπίληπτοι καὶ ἀπόπληκτοι καὶ κυνάγχαι· ἐν δὲ τοῖσιν αὐχμοῖσι φθινάδες, ὀφθαλμίαι, ἀρθρίτιδες, στραγγουρίαι, καὶ δυσεντερίαι.

17. Αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι τά τε

σώματα ξυνιστᾶσι καὶ εὔτονα καὶ εὐκίνητα καὶ εὔχροα καὶ εὐηκοώτερα ποιέουσι, καὶ τὰς κοιλίας ξηραίνουσι, καὶ τὰ ὄμματα δάκνουσι, καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν· αἱ δὲ νότιοι διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσι καὶ βαρυηκοΐας καὶ καρηβαρίας καὶ ἰλίγγους ἐμποιέουσιν, ἔν τε δὲ τοῖσιν ὀφθαλμοῖσι καὶ ἐν τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσιν.

18. Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος οἱ παῖδες καὶ οἱ τούτων ἐχόμενοι τῇσιν ἡλικίῃσιν ἄριστά τε διάγουσι καὶ ὑγιαίνουσι μάλιστα· τοῦ δὲ θέρεος, καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος, οἱ γέροντες· τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου, καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσιν.

19. Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίγνεται, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων καὶ γίγνεται καὶ παροξύνεται.

20. Τοῦ μὲν γὰρ ἦρος, τὰ μανικὰ καὶ τὰ μελαγχολικὰ καὶ τὰ ἐπιληπτικὰ καὶ αἵματος ῥύσιες καὶ κυνάγχαι καὶ κόρυζαι καὶ βράγχοι καὶ βῆχες καὶ λέπραι καὶ λειχῆνες καὶ ἀλφοὶ καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται καὶ φύματα καὶ ἀρθριτικά.

21. Τοῦ δὲ θέρεος, ἔνιά τε τούτων καὶ πυρετοὶ ξυνεχέες καὶ καῦσοι καὶ τριταῖοι πλεῖστοι καὶ ἔμετοι καὶ διάῤῥοιαι καὶ ὀφθαλμίαι καὶ ὤτων πόνοι καὶ στομάτων ἑλκώσιες καὶ σηπεδόνες αἰδοίων καὶ ἵδρωα.

22. Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ καὶ πυρετοὶ, τεταρταῖοι καὶ πλανῆτες, καὶ σπλῆνες καὶ ὕδρωπες καὶ φθίσιες καὶ στραγγουρίαι καὶ λειεντερίαι καὶ δυσεντερίαι

ἰσχιάδες καὶ κυνάγχαι καὶ ἄσθματα καὶ εἰλεοὶ καὶ ἐπι-
κι καὶ τὰ μανικὰ καὶ τὰ μελαγχολικά.

3. Τοῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπλευμονίαι, *λή-
οι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι πλευρέων, στηθέων,
ος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπλήξίαι.

4. Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει· τοῖσι μὲν
ροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, βῆχες,
πνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναί, ὤτων ὑγρότητες.

5. Πρὸς δὲ τὸ ὀδοντοφυέειν ἤδη προσάγουσιν, οὔλων
ησμοί, πυρετοί, σπασμοί, διάῤῥοιαι, καὶ μάλιστα ὅταν
ωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παί-
καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσιν.

6. Πρεσβυτέροισι δὲ γενομένοισι, παρίσθμια, σπονδύλου
κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, στραγ-
ίαι, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, *σατυριασμοί, ἀκρο-
όνες, χοιράδες, καὶ τἄλλα φύματα.

7. Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσά-
ι, τούτων τε τὰ πολλὰ καὶ πυρετοὶ χρόνιοι μᾶλλον καὶ
νῶν αἵματος ῥύσιες.

8. Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται τὰ
ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησί, τὰ δὲ
ἑπτὰ ἔτεσι, τὰ δὲ καὶ πρὸς τὴν ἥβην προσάγουσιν· ὅσα
ν διαμείνῃ τοῖσι παιδίοισι καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβά-
ν, ἢ τῇσι θηλέῃσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας,
ίζειν εἴωθεν.

9. Τοῖσι δὲ νεηνίσκοισιν, αἵματος πτύσιες, φθίσιες, πυ-
ὀξέες, ἐπιληψίαι, καὶ τἄλλα νοσήματα, μάλιστα δὲ τὰ
ιρημένα.

30. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα, πλευρίτιδες, περιπλευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες, *μελαγχολίαι.

31. Τοῖσι δὲ πρεσβύτῃσι, δύσπνοιαι, κατάῤῥοοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, ξυσμοὶ, τοῦ σώματος ὅλου καχεξίαι, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρυηκοΐαι.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

1. Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ πάρα ταύτας· τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι.

2. Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα, τὰ δὲ ἐναντίως ἰόντα παύειν.

3. Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τὰ δὲ ἐναντία δυσχερῶς.

4. Φαρμακεύειν θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω.

5. Ὑπὸ κύνα καὶ πρὸ κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι.

6. Τοὺς ἰσχνοὺς, τοὺς καὶ εὐημέας, ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνος.

7. Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους, κάτω, ὑποστελλομένους θέρεος.

8. Τοὺς δὲ φθινώδεας, ὑποστελλομένους, τὰς ἄνω.

9. Τοὺς δὲ μελαγχολικοὺς, ἁδροτέρως τὰς κάτω· τῷ αὐτῷ λογισμῷ τἀναντία.

10. Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσιν, ἢν ὀργᾷ, αὐθημερόν· ρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

11. Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι καὶ σφύος ἄλγημα μὴ λυόμενον μήτε ὑπὸ φαρμακείης μητ' ἄλλως, ἐς ὕδρωπα ξηρὸν ἱδρύεται.

12. Ὀκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν.

13. Πρὸς τοὺς δι' ἐλλεβόρου· τοῖσι μὴ ῥηιδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα πλείονι τροφῇ καὶ ἀναπαύσι.

14. Ἐπὴν πίῃ τις ἐλλέβορον· ἢν μὲν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· δηλοῖ δὲ ἡ ναυτιλίη ὅτι κίνησις τὰ σώματα ταράσσει·

15. ·ἢν δὲ παύεσθαι βούλῃ, ὕπνον ποίει καὶ μὴ κίνει.

16. Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι, σπασμὸν γὰρ ἐμποιέει.

17. Ἀπυρέτῳ ἐόντι ἀποσιτίη καὶ καρδιωγμὸς καὶ σκοτίδινος καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δέεσθαι σημαίνει.

18. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακείης δέεσθαι σημαίνει· ὀκόσα δὲ κάτω, κάτω.

19. Ὀκόσοι ἐν τῆσι φαρμακοποσίῃσι μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται πρὶν ἢ διψήσωσιν.

20. Ἀπυρέτοισιν ἐοῦσιν ἢν γένηται στρόφος καὶ γουνάτων βάρος καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

21. Ὑποχωρήματα μέλανα ὁκοῖον αἷμα, ἀπὸ ταὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα· * * *

καὶ ὁκόσῳ ἂν χρώματα πλείω καὶ πονηρότερα ᾖ, μᾶλλον καὶ κακόν· ξὺν φαρμάκῳ δὲ ἄμεινον, *ὁκόσῳ ἂν πλείῳ χρώματα ᾖ, καὶ οὐ πονηρόν.

22. Νοσημάτων ὀξέων ἀρχομένων, ἢν χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ὑπέλθῃ, θανάσιμον.

23. Ὁκόσοισιν ἐκ νοσημάτων πολυχρονίων, *ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πως *λελεπτυσμένοισι χολὴ μέλαινα ἢ ὁκοῖον αἷμα μέλαν ἂν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσιν.

24. Δυσεντερίη ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

25. Αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακὸν, κάτω δὲ, ἀγαθὸν, ἢν ᾖ μέλανα τὰ ὑποχωρέοντα.

26. Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖαι σάρκες ὑποχωρήσωσι, θανάσιμον.

27. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψισιν αἱ κοιλίαι καθυγραίνονται.

28. Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γενομένης παύεται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων γενομένων παύεται.

29. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίγνεται, δύσκριτα.

30. Ὁκόσοισι παροξυσμοὶ γίγνονται, ἢν ἂν ὥρην ἀφῇ, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

31. Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ περὶ τὰς γνάθους μάλιστα αἱ ἀποστάσιες γίγνονται.

32. Τοῖσι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, ἤν τι πονέσῃ, ἐνταῦθα αἱ ἀποστάσιες γίγνονται.

33. Ἀτὰρ καὶ ἢν προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

34. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον.

35. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἀποραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόν-ς, θανάσιμον.

36. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι ὶ πεμπταῖοι καὶ ἑβδομαῖοι και ἐναταῖοι καὶ ἐνδεκαταῖοι ὶ τεσσαρεσκαιδεκαταῖοι καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ ιοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριηκοστῇ πρώτῃ, καὶ ιηκοστῇ τετάρτῃ· οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσιν· δὲ μὴ οὕτω γιγνόμενοι πόνον σημαίνουσι καὶ μῆκος νούυ καὶ ὑποτροπιασμούς.

37. Οἱ ψυχροὶ ἱδρῶτες, ξὺν μὲν ὀξέϊ πυρετῷ γιγνόμενοι, ἱνατον σημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου.

38. Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρώς, ἐνταῦθα φράζει ἡν νοῦσον.

39. Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρόν, ἐνταῦα ἡ νοῦσος.

40. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ ἢν τὸ ῶμα καταψύχηται καὶ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἑτέρου γίγνηται, μῆκος νούσου σημαίνει.

41. Ἱδρὼς πουλὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης φανερῆς γνόμενος τροφὴν λαμβάνοντι, σημαίνει ὅτι πλείονι τροφῇ έεται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, εἰδέ-, ὅτι κενώσιος δέεται.

42. Ἱδρὼς πολύς, ἢ ψυχρὸς ἢ θερμός, αἰεὶ ῥέων, ὁ μὲν ζρὸς μέζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

43. Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυ-

2*

ρότεροι γίγνονται, ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσιν, ἀκίνδυνοι.

44. Ὁκόσοισι πυρετοὶ μακροὶ, τούτοισι φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίγνονται.

45. Ὁκόσοισι φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν μακρῶν ἐγγίγνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

46. Ἢν ῥῖγος ἐπεμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενέϊ ἐόντι θανάσιμον.

47. Ἀποχρέμψιες ἐν τοῖσοι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες καὶ χολώδεες, στᾶσαι, κακαὶ, ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί· καὶ κατὰ τὰς διαχωρήσιας καὶ κατὰ τὰ οὖρα· ἢν δὲ μή τι τῶν ξυμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

48. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται καὶ δίψα ἔχῃ, θανάσιμον.

49. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ὀφρὺς ἢ ὀφθαλμὸς ἢ ῥὶς διαστραφῇ, ἢ ἢν μὴ βλέπῃ ἢ μὴ ἀκούῃ, ἤδη ἀσθενέος ἐόντος*τοῦ σώματος,*ὅ,τι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος.

50. Ὅκου δ' ἄν τῳ ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

51. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου σημαίνει.

52. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν, *ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι*, κατὰ προαίρεσιν οἱ ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον· ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

53. Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίγνεται, ἰσχυρότεροι γίγνονται οἱ πυρετοί.

54. Ὁκόσοισιν ἐπὶ πουλὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι, ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσιν.

55. Οἱ ἐπὶ βουβῶσι πυρετοὶ πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

56. Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

57. Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ πυρετὸς ἐπιγενόμενος λύει τὸ νούσημα.

58. Ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγενομένου, λύσις.

59. Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον.

60. Ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, ἅμα ἐκ ῥινῶν ῥυὲν ἢ κοιλίη ἐκταραχθεῖσα λύει τὸ νούσημα.

61. Πυρέσσοντι, ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

62. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίγνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν· *ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

63. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίγνεται, καθ' ἡμέρην καὶ οἱ πυρετοὶ λύονται.

64. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ τῇ ἐνδεκάτῃ ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίγνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ· ἢν δὲ ᾖ, οὐκ ἀγαθόν.

65. Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν ἢ καρδιωγμὸς, κακόν.

66. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσι σπασμοὶ καὶ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

67. Ἐν τοῖσι πυρετοῖσιν ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν.

68. Ἐν τοῖσι πυρετοῖσι πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

69. Ὁκόσοισιν οὖρα παχέα θρομβώδεα ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τούτου λεπτῶν ὠφελέει· μάλιστα δὲ τοιαῦτα ἔρχεται ὅτοισιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

70. Ὁκόσοισιν ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τούτοισι κεφαλαλγίαι ἢ πάρεισιν ἢ παρέσονται.

71. Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τούτοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τἄλλα κατὰ λόγον.

72. Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρόν· μάλιστα δὲ ἢν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνηται.

73. Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν ἢ οὔρου πλῆθος ὑπέλθῃ· ἐν πυρετοῖσι δὲ ταῦτα.

74. Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πουλὺ κάρτα παχὺ καὶ λευκὸν γενόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίγνεσθαι· ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

75. Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

76. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχέϊ ἐόντι σαρκία σμικρὰ

ὅσπερ τρίχες ξυνεξέρχονται, τούτοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

77. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχέϊ ἐόντι πιτυρώδεα ξυνεξουρέεται, τούτοισιν ἡ κύστις ψωριᾷ.

78. Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τούτοισιν ἀπὸ πόνου τῶν νεφρῶν φλεβίου ῥῆξις ξυνέβη.

79. Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τούτοισιν ἡ κύστις λιθιᾷ.

80. Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους, καὶ στραγγουρίῃ ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ τὸν κτένα καὶ ἐς τὸν περίναιον, τὰ περὶ τὴν κύστιν πονέει.

81. Ἢν αἷμα καὶ πῦον οὐρέῃ καὶ λεπίδας, καὶ ὀσμὴ βαρέα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

82. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα φύεται, τούτοισι, διαπυήσαντος καὶ ῥαγέντος, λύσις.

83. Οὔρησις νύκτωρ πολλὴ γιγνομένη σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ.

1. Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

2. Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.

3. Αἵματος πολλοῦ ῥυέντος *κάτω, σπασμὸς ἢ λυγμὸς πιγενόμενος, κακόν.

4. Ἐπὶ ὑπερκαθάρσι σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, ακόν.

5. Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, χθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

6. Ὀκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρησιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίγνονται.

7. Τὰ ἐπιληπτικὰ ὀκόσοισι πρὸ τῆς ἥβης γίγνεται, μετάστασιν ἴσχει· ὀκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίγνεται, τὰ πολλὰ ξυναποθνήσκει.

8. Ὀκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τούτοισιν ἐς ἐμπύημα μεθίσταται.

9. Φθίσις γίγνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα.

10. Ὀκόσοισι κυνάγχη * * * * ἐς τὸν πλεύμονα τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν· ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίγνονται.

11. Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα, ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες.

12. Ὀκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσιν, οὗτοι, διαῤῥοίης ἐπιγενομένης, ἀποθνήσκουσιν.

13. Ὀκόσοι αἷμα ἀφρῶδες ἐμέουσι, τούτοισιν ἐκ τοῦ πλεύμονος ἡ ἀναγωγὴ γίγνεται.

14. Ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγενομένη, θανατῶδες.

15. Ὀκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίγνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται· ἢν δὲ μὴ, ἐς φθίσιν μεθίσταται.

16. Τὸ θερμὸν βλάπτει ταῦτα· πλεονάκις χρεομένῳ σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας· ταῦτα ἐς θάνατον.

17. Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς, ῥίγεα ›ρετώδεα.

18. Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροισιν, ἐγ-φάλῳ, νωτιαίῳ μυελῷ· τὸ δὲ θερμὸν ὠφέλιμον.

19. Ὀκόσα κατέψυκται, ἐκθερμαίνειν· πλὴν ὁκόσα αἱμοῤ-:γέει, ἢ μέλλει.

20. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύ-ι, ὀδύνην ἀνεκπύητον ποιέει, μελαίνει, ῥίγεα πυρετώδεα :ποιέει καὶ σπασμοὺς καὶ τετάνους.

21. *Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, ἔρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης οιέεται· θέρμη δὲ τετάνων ῥύεται.

22. Τὸ δὲ θερμὸν, ὅκου ἐκπυητικὸν, ἐπὶ παντὶ ἕλκεϊ μέ-ιτον σημήϊον ἐς ἀσφάλειαν· δέρμα μαλάσσει, ἰσχναίνει, νώδυνον, ῥιγέων, σπασμῶν, τετάνων παρηγορικόν· τὰ δὲ ἐν :εφαλῇ, καὶ καρηβαρίην λύει· πλεῖστον δὲ διαφέρει ὀστέων :ατήγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι, τούτων δὲ ιάλιστα τοῖσιν ἐν κεφαλῇ ἑλκώμασι· καὶ ὁκόσα ὑπὸ ψύξιος νήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισιν, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστι, τούτοισι τὸ μὲν θερμὸν φίλιον καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

23. Ἐν τούτοισι δὲ τῷ ψυχρῷ χρέεσθαι ὡδί· ὁκόθεν αἱ-μοῤῥαγέει, ἢ μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ, ὁκόθεν ἐπιῤῥεῖ· καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυ-θρὸν καὶ ὕφαιμον ῥέποντα αἵματι νεαρῷ, ἐπὶ ταῦτα, ἐπεὶ τά γε παλαιὰ μελαίνει· καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον, ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

24. Τὰ ψυχρὰ, οἷον χιὼν, κρύσταλλος, στήθεσι πολέμια, βηχῶν κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

25. Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα, τὰ ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ καὶ σπάσματα, τούτων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον ἰσχναίνει, καὶ ῥηίζει· νάρκην γὰρ ποιέει· νάρκη δὲ μετρίη ὀδύνης λυτική.

26. Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον κουφότατον.

27. Ὁκόσοισι πιεῖν ὀρέξιες νύκτωρ πάνυ διψῶσι, τούτοισιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

28. Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη· πολλαχῇ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν. εἰ μὴ καρηβαρίας ἐνεποίεε.

29. Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δέ· τὰ δὲ νήπια καὶ πρεσβύ[illegible] εὐλαβέεσθαι.

30. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανατῶδες.

31. Γυνὴ ἐν γαστρὶ ἔχουσα, φλεβοτομηθεῖσα, ἐκτιτρώσκει, καὶ μᾶλλον, ἢν ᾖ μεῖζον τὸ ἔμβρυον.

32. Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων, λύσις.

33. Γυναικὶ, τῶν καταμηνίων ἐκλιπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

34. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἡ κοιλίη ῥυῇ λίην, κίνδυνος ἐκτρῶσαι.

35. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ, ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγενόμενος, ἀγαθόν.

36. Γυναικὶ τὰ καταμήνια ἄχροα καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γιγνόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

37. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἐξαίφνης οἱ μασθοὶ ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

38. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει· καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

39. Ἢν γυνὴ μὴ κύουσα μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπεν.

40. Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα ξυστρέφεται, μανίην σημαίνει.

41. Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ, ἀδείπνῳ ἐούσῃ, μελίκρητον διδόναι πιεῖν· κἢν μὲν στρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μὴ, οὐ κύει.

42. Γυνὴ ἔγκυος, ἢν μὲν ἄρσεν κύῃ, εὔχροός ἐστιν· ἢν δὲ θῆλυ, δύσχροος.

43. Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

44. Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι πρὶν ἢ παχυνθῆναι.

45. Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ' ἀποῤῥήγνυνται.

46. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνου-

σιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν.

47. Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

48. Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τῇσι ἀριστεροῖσι μᾶλλον.

49. Ὑστέρων ἐκπτώσιος· πταρμικὸν προσθεὶς ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

50. Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

51. Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων ξυμμέμυκεν.

52. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον· ἢν δὲ στερεοὶ οἱ μασθοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον.

53. Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίγνονται· ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσι ἢ ἐν τοῖσιν ἰσχίοισιν* ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν* ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

54. Ὁκόσῃσι σκληρόν ἐστι τὸ στόμα τῶν ὑστερέων, ταύτῃσιν ἀνάγκη ξυμμύειν.

55. Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται καὶ ξυνεχῶς θερμαίνονται ἄτερ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

56. Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς ἢ λειποθυμίη, κακόν.

57. Καταμηνίων γενομένων πλειόνων, νοῦσοι γίγνονται· καὶ δὲ μὴ γιγνομένων, ἀπὸ τῆς ὑστέρης νοῦσοι ξυμβαίνουσιν.

58. Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ὑστέρῃ φλεγμαινούσῃ, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι, στραγγουρίη ἐπιγίγνεται· ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λύγξ ἐπιγίγνεται.

59. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτω· κἢν μὲν πορεύεσθαί οἱ δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος εἰς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίγνωσκε ὅτι αὕτη οὐ δι' ἑωυτὴν ἄγονός ἐστιν.

60. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

61. Ἢν γυναικὶ αἱ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης μήτε πυρετοῦ ἐπιγενομένου, ἆσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

62. Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσιν· καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσιν, ἀποσβέννυται γὰρ ὁ γόνος· καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας, ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα· ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι ξύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίγνονται.

63. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων· ἢ γὰρ διὰ τὴν ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ στόμιον παραπέμπον τὸ σπέρμα· ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω· ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυριᾶται ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον· ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίγνεται.

64. Γάλα διδόναι κεφαλαλγέουσι κακόν· κακὸν δὲ καὶ πυρεταίνουσι καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, καὶ τοῖσι διψώδεσι· κακὸν δὲ, καὶ οἷσι χολώδεες αἱ ὑποχω-

ῥήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν· ἁρμόζει δὲ φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσιν· διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκότων.

65. Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται· τούτων δὲ ἀφανισθέντων ἐξαίφνης, ὅτοισι μὲν ὄπισθεν, σπασμοί, τέτανοι, ὅτοισι δὲ ἔμπροσθεν, μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ μᾶλλον ᾖ τὰ οἰδήματα.

66. Ἢν τραυμάτων πονηρῶν ἐόντων οἴδημα μὴ φαίνηται, μέγα κακόν.

67. Τὰ χαῦνα χρηστὰ, τὰ ἔνωμα κακά.

68. Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα ὠφελέει.

69. Ῥίγεα ἄρχεται, γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον καὶ διὰ νώτου ἐς κεφαλὴν, καὶ ἀνδράσι δὲ ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν τοῦ σώματος, ἀπό τε πηχέων καὶ μηρῶν· ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν τούτων· δηλοῖ δὲ ἡ θρίξ.

70. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται· οἱ δὲ ἁλίσκονται, ἢν ἐπιγένηται τεταρταῖος, παύονται.

71. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρῶτος τελευτῶσιν· ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, ξὺν ἱδρῶτι τελευτῶσιν.

72. Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

1. Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, πρόσθεν μὴ γενομένης, σημεῖον ἀγαθόν.

2. Οἷσι ῥῖνες ὑγρότεραι φύσι καὶ ἡ γονὴ ὑγροτέρη ὑγιαίνουσι, νοσηρότερον· οἷσι δὲ ὑπὸ νούσου, ὑγιεινότερον.

3. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν οἷσιν ἀποσιτίαι, κακόν· καὶ ξὺν πυρετῷ, κάκιον.

4. Τὰ περιμάδαρα ἕλκεα κακοήθεα.

5. Τῶν ὀδυνέων, καὶ ἐν πλευρῇσι καὶ ἐν στήθεσι καὶ ἐν τοῖσιν ἄλλοισι, τὰς διαφορὰς, εἰ μέγα διαφέρουσι, καταμαθητέον.

6. Τὰ νεφριτικὰ, καὶ ὁκόσα κατὰ τὴν κύστιν, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσιν.

7. Τὰ μετὰ ἀλγημάτων οἰδήματα, τὰ κατὰ τὴν κοιλίην γιγνόμενα, τὰ μὲν μετέωρα κουφότερα, τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

8. Τοῖσιν ὑδρωπικοῖσι τὰ γενόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηιδίως ὑγιάζεται.

9. Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

10. Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι, πῦον ἢ ὕδωρ ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὸ στόμα ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα.

11. Τοῖσι μελαγχολικοῖσί τε καὶ φρενιτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγενόμεναι, ἀγαθόν.

12. Χρονίας αἱμοῤῥοΐδας ἰηθέντι, ἢν μὴ μία καταλειφθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

13. Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγενόμενοι λύουσι τὸν λυγμόν.

14. Ὑπὸ ὕδρωπος ἐχομένῳ, αὐτομάτου κατὰ τὰς φλέβας εἰς τὴν κοιλίην τοῦ ὕδατος ῥυέντος, λύσις.

15. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος λύει τὴν διάῤῥοιαν.

16. Ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ ὑπὸ περιπλευμονίης διάῤῥοια ἐπιγενομένη, κακόν.

17. Ὀφθαλμιῶντι, ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

18. Κύστιν διακοπέντι ἢ ἐγκέφαλον ἢ καρδίην ἢ φρένας ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν ἢ κοιλίην ἢ ἧπαρ, θανατῶδες.

19. Ἐπὴν διακοπῇ ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε ξυμφύεται.

20. Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

21. Τοῖσι μαινομένοισι, κιρσῶν ἐπιγενομένων ἢ αἱμοῤῥοΐδων, μανίης λύσις.

22. Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

23. Ἢν φόβος καὶ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

24. Ἔντερον ἢν διακοπῇ τι, τῶν λεπτῶν, οὐ ξυμφύεται.

25. Ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

26. Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

27. Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

28. Εὐνοῦχοι οὐ ποδαγριῶσιν οὐδὲ φαλακροὶ γίγνονται.

29. Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλίπῃ.

30. Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

31. Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει.

32 Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

33. Οἱ ὀξυρεγμώδεες οὐ πάνυ τι πλευριτικοὶ γίγνονται.

34. Ὁκόσοι φαλακριέουσι, τούτοισι κιρσοὶ μεγάλοι οὐ γίγνονται· ὁκόσοισι δὲ φαλακροῖσιν ἐοῦσιν κιρσοὶ μεγάλοι γίγνονται, οὗτοι πάλιν δασέες γίγνονται.

35. Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγενομένη, κακόν.

36. Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

37. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐπὶ τῷ βρόγχῳ ἔξω, ἀγαθόν.

38. Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίγνονται, μὴ θεραπεύειν βέλτιον· *θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ πουλὺν χρόνον διατελέουσιν.

39. Σπασμοὶ γίγνονται ἢ ὑπὸ πληρώσιος ἢ ὑπὸ κενώσιος· οὕτω δὲ καὶ λυγμός.

40. Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίγνεται ἄτερ φλεγμονῆς, τούτοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

41. Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τούτοισι διὰ παχύτητα τοῦ πύου οὐ διασημαίνει.

42. Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

43. Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν, γενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίγνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

14. Ὑπὸ ὕδρωπος ἐχομένῳ, αὐτομάτου κατὰ τὰς φλέβας εἰς τὴν κοιλίην τοῦ ὕδατος ῥυέντος, λύσις.

15. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος λύει τὴν διάῤῥοιαν.

16. Ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ ὑπὸ περιπλευμονίης διάῤῥοια ἐπιγενομένη, κακόν.

17. Ὀφθαλμιῶντι, ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

18. Κύστιν διακοπέντι ἢ ἐγκέφαλον ἢ καρδίην ἢ φρένας ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν ἢ κοιλίην ἢ ἧπαρ, θανατῶδες.

19. Ἐπὴν διακοπῇ ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε ξυμφύεται.

20. Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

21. Τοῖσι μαινομένοισι, κιρσῶν ἐπιγενομένων ἢ αἱμοῤῥοΐδων, μανίης λύσις.

22. Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

23. Ἢν φόβος καὶ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

24. Ἔντερον ἢν διακοπῇ τι, τῶν λεπτῶν, οὐ ξυμφύεται.

25. Ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

26. Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

27. Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

28. Εὐνοῦχοι οὐ ποδαγριῶσιν οὐδὲ φαλακροὶ γίγνονται.

29. Γυνὴ οὐ ποδαγριᾷ, ἣν μὴ τὰ καταμήνια αὐτῇ ἐκλελοίπη.

30. Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

31. Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει.

32 Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

33. Οἱ ὀξυρεγμώδεες οὐ πάνυ τι πλευριτικοὶ γίγνονται.

34. Ὁκόσοι φαλακριέουσι, τούτοισι κιρσοὶ μεγάλοι οὐ γίγνονται· ὁκόσοισι δὲ φαλακροῖσιν ἐοῦσιν κιρσοὶ μεγάλοι γίγνονται, οὗτοι πάλιν δασέες γίγνονται.

35. Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγενομένη, κακόν.

36. Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

37. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐπὶ τῷ βρόγχῳ ἔξω, ἀγαθόν.

38. Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίγνονται, μὴ θεραπεύειν βέλτιον· *θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ πουλὺν χρόνον διατελέουσιν.

39. Σπασμοὶ γίγνονται ἢ ὑπὸ πληρώσιος ἢ ὑπὸ κενώσιος· οὕτω δὲ καὶ λυγμός.

40. Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίγνεται ἄτερ φλεγμονῆς, τούτοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

41. Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τούτοισι διὰ παχύτητα τοῦ πύου οὐ διασημαίνει.

42. Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

43. Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν, γενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίγνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

44. Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίγνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ, πυρετοῦ ἐπιγενομένου, ἀλι[illegible] τὸ οὖρον ῥυῇ.

45. Ἕλκεα ὁκόσα ἐνιαύσια γίγνεται ἢ μακρότερον χρόνον ἴσχει· ἀνάγκη ὀστέον ἀφίστασθαι καὶ τὰς οὐλὰς κοίλας γίγνεσθαι.

46. Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίγνονται π[illegible] τῆς ἥβης, ἀπόλλυνται.

47. Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη ξυμφέρει, τούτ[illegible] προσιόντος τοῦ ἦρος φλεβοτομέειν ἢ φαρμακεύειν.

48. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθ[illegible]

49. Ὁκόσα ποδαγρικὰ νοσήματα γίγνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

50. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τούτοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίγνεσθαι.

51. Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίγνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ καὶ παραχρῆμα ἄφωνοι κεῖνται καὶ ῥέγκουσιν ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

52. Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται, ξυμβαλλομένων τῶν βλεφάρων, τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόντι ἢ φαρμακοποσίης, φλαῦρον τὸ σημήϊον καὶ θανατῶδες σφόδρα.

53. Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γιγνόμεναι ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

54. Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ πνοαὶ κλαυθμώδεες, κακόν.

55. Τὰ ποδαγρικὰ πάθεα καὶ τὰ μανικὰ τοῦ ἦρος τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πουλύ.

56. Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες· ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν.

57. Ἀπόπληκτοι δὲ μάλιστα γίγνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

58. Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

59. Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης ἐξίσταται τὸ ἰσχίον καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξαι ἐπιγίγνονται.

60. Ὁκόσοισι δὲ τὸ ἰσχίον ἐξίσταται, τούτοισι φθίνει τὸ σκέλος, καὶ χωλοῦνται, ἢν μὴ καυθέωσιν.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

1. Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

2. Ἐπὶ ὀστέῳ διανοσήσαντι σὰρξ πελιδνὴ, κακόν.

3. Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

4. Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

5. Ἐπὶ μανίῃ δυσεντερίη ἢ ὕδρωψ ἢ ἔκστασις, ἀγαθόν.

6. Ἐν νούσῳ χρονίῃ ἀσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

7. Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

8. Ἐπὶ φύματος ἔσω ῥήξι ἔμετος, καὶ ἔκλυσις καὶ λιποψυχίη γίγνεται.

9. Ἐπὶ αἵματος ῥύσι παραφροσύνη ἢ σπασμὸς, κακόν.

10. Ἐπὶ εἰλεῷ ἔμετος ἢ λὺγξ ἢ σπασμὸς ἢ παραφροσύνη, κακόν.

11. Ἐπὶ πλευρίτιδι περιπλευμονίη, κακόν.

12. Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

13. Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

14. Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν.

15. 16. Ἐπὶ αἵματος πτύσι, πύου πτύσις· ἐπὶ πύου πτύσι, φθίσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

17. Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ.

18. Ἐπὶ ἀγρυπνίῃ σπασμός· ἐπὶ ληθάργῳ τρόμος.

19. 20. Ἐπὶ ὀστέου ψιλώσι ἐρυσίπελας· ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.

21. Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη.

22. Ἐπὶ ὀδύνῃ πολυχρονίῳ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

23. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσι, δυσεντερίη.

24. Ἐπὶ ὀστέου διακοπῇ ἔκπληξις ἢ παραφροσύνη, κακόν.

25. Ἢν κενεὸν λάβῃ ἐκ φαρμακοποσίης σπασμός, θανατῶδες.

26. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, κακόν.

27. Ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ἐκτρῶσαι ποιέει.

28. Ὅ,τι ἂν ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται οὔτε ξυμφύεται.

29. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρή, λύει τὴν νοῦσον.

30. Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τούτοισιν ἀπὸ τῆς κεφαλῆς ταύτῃ φλέγμα καταῤῥέει.

31. Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίγνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

32. Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξέαν τὴν ἀῤῥωστίην σημαίνουσιν.

33. Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίγνεται, τούτοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματί ἐστιν.

34. Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνει, καὶ μακρὴν τὴν ἀῤῥωστίην ἔσεσθαι.

35. Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, τούτοισι νεφριτικὰ σημαίνει καὶ ὀξέαν τὴν νοῦσον ἔσεσθαι.

36. Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα ξυμβαίνει σημεῖα πόνοι τε ὀξέες περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίγνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίγνωνται, απόστημα προσδέχου ἐσόμενον ἔξω· ἢν δὲ μᾶλλον περὶ τοὺς ἔσω τόπους οἱ πόνοι γίγνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω.

37. Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· ἢν δὲ ξὺν πυρετῷ, ὀλέθριον κάρτα.

38. Καταῤῥόοι οἱ ἐς τὴν ἄνω κοιλίην ἐκπυέονται ἐν ἡμέρῃσιν εἴκοσιν.

39. Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίη ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον καὶ ἐς τὸ ὑπογάστριον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

40. Ἢν ἐξαίφνης ἡ γλῶσσα ἀκρατὴς γένηται ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτον.

41. Ἢν ὑπερκαθαιρομένῳ, πρεσβυτέρῳ, λὺγξ ἐπιγίγνηται, οὐκ ἀγαθόν.

42. Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίγνεται.

ήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολ[illegible]οῦ
ιαχώρησις γέγονεν· ἁρμόζει δὲ φθινώδεσι μὴ λίην πο[illegible]ῷ
πυρέσσουσιν· διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχρο[illegible]σι,
μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λό[illegible]ον
δὲ ἐκτετηκότων.

65. Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μά[illegible]α
σπῶνται οὐδὲ μαίνονται· τούτων δὲ ἀφανισθέντων ἐξαίφν[illegible]ς,
ὅτοισι μὲν ὄπισθεν, σπασμοὶ, τέτανοι, ὅτοισι δὲ ἔμπροσθ[illegible]ν,
μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι ἢ ἐμπύησις, ἢ δυσεντερίη, [illegible]ν
ἐρυθρὰ μᾶλλον ἢ τὰ οἰδήματα.

66. Ἢν τραυμάτων πονηρῶν ἐόντων οἴδημα μὴ φαίνη-
ται, μέγα κακόν.

67. Τὰ χαῦνα χρηστὰ, τὰ ἔνωμα κακά.

68. Τῷ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ ἡ ἐν μετώπῳ
ὀρθίη φλὲψ τμηθεῖσα ὠφελέει.

69. Ῥίγεα ἄρχεται, γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον καὶ
διὰ νώτου ἐς κεφαλὴν, καὶ ἀνδράσι δὲ ὄπισθεν μᾶλλον ἢ
ἔμπροσθεν τοῦ σώματος, ἀπό τε πηχέων καὶ μηρῶν· ἀτὰρ
καὶ τὸ δέρμα ἀραιὸν τούτων· δηλοῖ δὲ ἡ θρίξ.

70. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι ὑπὸ σπασμοῦ οὐ
πάνυ τι ἁλίσκονται· οἳ δὲ ἁλίσκονται, ἢν ἐπιγένηται τεταρ
ταῖος, παύονται.

71. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκλ
ρὰ, ἄνευ ἱδρῶτος τελευτῶσιν· ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραι
ξὺν ἱδρῶτι τελευτῶσιν.

72. Οἱ ἰκτεριώδεες οὐ πάνυ τι πνευματώδεές εἰσιν.

ΤΜΗΜΑ ΕΚΤΟΝ.

1. Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, πρόσθεν μὴ γενομένης, σημεῖον ἀγαθόν.

2. Οἷσι ῥῖνες ὑγρότεραι φύσι καὶ ἡ γονὴ ὑγροτέρη ὑγιαίνουσι, νοσηρότερον· οἷσι δὲ ὑπὸ νούσου, ὑγιεινότερον.

3. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν οἷσιν ἀποσιτίαι, κακόν· καὶ ξὺν πυρετῷ, κάκιον.

4. Τὰ περιμάδαρα ἕλκεα κακοήθεα.

5. Τῶν ὀδυνέων, καὶ ἐν πλευρῇσι καὶ ἐν στήθεσι καὶ ἐν τοῖσιν ἄλλοισι, τὰς διαφορὰς, εἰ μέγα διαφέρουσι, καταμαθητέον.

6. Τὰ νεφριτικὰ, καὶ ὁκόσα κατὰ τὴν κύστιν, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσιν.

7. Τὰ μετὰ ἀλγημάτων οἰδήματα, τὰ κατὰ τὴν κοιλίην γιγνόμενα, τὰ μὲν μετέωρα κουφότερα, τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

8. Τοῖσιν ὑδρωπικοῖσι τὰ γενόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηιδίως ὑγιάζεται.

9. Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

10. Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι, πῦον ἢ ὕδωρ ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὸ στόμα ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα.

11. Τοῖσι μελαγχολικοῖσί τε καὶ φρενιτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγενόμεναι, ἀγαθόν.

12. Χρονίας αἱμοῤῥοΐδας ἰηθέντι, ἢν μὴ μία καταλειφθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

13. Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγενόμενοι λύουσι τὸν λυγμόν.

14. Ὑπὸ ὕδρωπος ἐχομένῳ, αὐτομάτου κατὰ τὰς φλέβας εἰς τὴν κοιλίην τοῦ ὕδατος ῥυέντος, λύσις.

15. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς ἀπὸ ταὐτομάτου ἔμετος ἐπιγενόμενος λύει τὴν διάῤῥοιαν.

16. Ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ ὑπὸ περιπλευμονίης διάῤῥοια ἐπιγενομένη, κακόν.

17. Ὀφθαλμιῶντι, ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

18. Κύστιν διακοπέντι ἢ ἐγκέφαλον ἢ καρδίην ἢ φρένας ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν ἢ κοιλίην ἢ ἧπαρ, θανατῶδες.

19. Ἐπὴν διακοπῇ ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε ξυμφύεται.

20. Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

21. Τοῖσι μαινομένοισι, κιρσῶν ἐπιγενομένων ἢ αἱμοῤῥοΐδων, μανίης λύσις.

22. Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

23. Ἢν φόβος καὶ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

24. Ἔντερον ἢν διακοπῇ τι, τῶν λεπτῶν, οὐ ξυμφύεται.

25. Ἐρυσίπελας ἔξωθεν ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

26. Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει.

27. Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

28. Εὐνοῦχοι οὐ ποδαγριῶσιν οὐδὲ φαλακροὶ γίγνονται.

29. Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλελοίπη.

30. Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

31. Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει.

32 Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

33. Οἱ ὀξυρεγμώδεες οὐ πάνυ τι πλευριτικοὶ γίγνονται.

34. Ὁκόσοι φαλακριέουσι, τούτοισι κιρσοὶ μεγάλοι οὐ γίγνονται· ὁκόσοισι δὲ φαλακροῖσιν ἐοῦσιν κιρσοὶ μεγάλοι γίγνονται, οὗτοι πάλιν δασέες γίγνονται.

35. Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγενομένη, κακόν.

36. Δυσουρίην φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

37. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐπὶ τῷ βρόγχῳ ἔξω, ἀγαθόν.

38. Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίγνονται, μὴ θεραπεύειν βέλτιον· *θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ πουλὺν χρόνον διατελέουσιν.

39. Σπασμοὶ γίγνονται ἢ ὑπὸ πληρώσιος ἢ ὑπὸ κενώσιος· οὕτω δὲ καὶ λυγμός.

40. Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίγνεται ἄτερ φλεγμονῆς, τούτοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

41. Ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τούτοισι διὰ παχύτητα τοῦ πύου οὐ διασημαίνει.

42. Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

43. Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν, γενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίγνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

44. Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίγνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ, πυρετοῦ ἐπιγενομένου, ἅλις τὸ οὖρον ῥυῇ.

45. Ἕλκεα ὁκόσα ἐνιαύσια γίγνεται ἢ μακρότερον χρόνον ἴσχει· ἀνάγκη ὀστέον ἀφίστασθαι καὶ τὰς οὐλὰς κοίλας γίγνεσθαι.

46. Ὁκόσοι ὑϐοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίγνονται πρὸ τῆς ἥϐης, ἀπόλλυνται.

47. Ὁκόσοισι φλεϐοτομίη ἢ φαρμακείη ξυμφέρει, τούτους προσιόντος τοῦ ἦρος φλεϐοτομέειν ἢ φαρμακεύειν.

48. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.

49. Ὁκόσα ποδαγρικὰ νοσήματα γίγνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

50. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τούτοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίγνεσθαι.

51. Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίγνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ καὶ παραχρῆμα ἄφωνοι κεῖνται καὶ ῥέγκουσιν ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάϐῃ.

52. Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται, ξυμϐαλλομένων τῶν βλεφάρων, τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόντι ἢ φαρμακοποσίης, φλαῦρον τὸ σημήϊον καὶ θανατῶδες σφόδρα.

53. Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γιγνόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

54. Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ ἀναπνοαὶ κλαυθμώδεες, κακόν.

55. Τὰ ποδαγρικὰ πάθεα καὶ τὰ μανικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πουλύ.

56. Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες· ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν.

57. Ἀπόπληκτοι δὲ μάλιστα γίγνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

58. Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

59. Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης ἐξίσταται τὸ ἰσχίον καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξαι ἐπιγίγνονται.

60. Ὁκόσοισι δὲ τὸ ἰσχίον ἐξίσταται, τούτοισι φθίνει τὸ σκέλος, καὶ χωλοῦνται, ἢν μὴ καυθέωσιν.

ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

1. Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

2. Ἐπὶ ὀστέῳ διανοσήσαντι σὰρξ πελιδνὴ, κακόν.

3. Ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

4. Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

5. Ἐπὶ μανίῃ δυσεντερίη ἢ ὕδρωψ ἢ ἔκστασις, ἀγαθόν.

6. Ἐν νούσῳ χρονίῃ ἀσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

7. Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

8. Ἐπὶ φύματος ἔσω ῥήξι ἔμετος, καὶ ἔκλυσις καὶ λιποψυχίη γίγνεται.

9. Ἐπὶ αἵματος ῥύσι παραφροσύνη ἢ σπασμὸς, κακόν.

10. Ἐπὶ εἰλεῷ ἔμετος ἢ λὺγξ ἢ σπασμὸς ἢ παραφροσύνη, κακόν.

11. Ἐπὶ πλευρίτιδι περιπλευμονίη, κακόν.

12. Ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν.

13. Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

14. Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν.

15. 16. Ἐπὶ αἵματος πτύσι, πύου πτύσις· ἐπὶ πύου πτύσι, φθίσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

17. Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ.

18. Ἐπὶ ἀγρυπνίῃ σπασμός· ἐπὶ ληθάργῳ τρόμος.

19. 20. Ἐπὶ ὀστέου ψιλώσι ἐρυσίπελας· ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.

21. Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη.

22. Ἐπὶ ὀδύνῃ πολυχρονίῳ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

23. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσι, δυσεντερίη.

24. Ἐπὶ ὀστέου διακοπῇ ἔκπληξις ἢ παραφροσύνη, κακόν.

25. Ἢν κενεὸν λάβῃ ἐκ φαρμακοποσίης σπασμός, θανατῶδες.

26. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην, ἀκρωτηρίων ψύξις, κακόν.

27. Ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ἐκτρῶσαι ποιέει.

28. Ὅ,τι ἂν ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται οὔτε ξυμφύεται.

29. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον.

30. Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τούτοισιν ἀπὸ τῆς κεφαλῆς ταύτῃ φλέγμα καταῤῥέει.

31. Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίγνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

32. Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξέαν τὴν ἀῤῥωστίην σημαίνουσιν.

33. Ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίγνεται, τούτοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματί ἐστιν.

34. Ὁκόσοισι δὲ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνει, καὶ μακρὴν τὴν ἀῤῥωστίην ἔσεσθαι.

35. Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, τούτοισι νεφριτικὰ σημαίνει καὶ ὀξέαν τὴν νοῦσον ἔσεσθαι.

36. Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα ξυμβαίνει σημεῖα πόνοι τε ὀξέες περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίγνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίγνωνται, απόστημα προσδέχου ἐσόμενον ἔξω· ἢν δὲ μᾶλλον περὶ τοὺς ἔσω τόπους οἱ πόνοι γίγνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω.

37. Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· ἢν δὲ ξὺν πυρετῷ, ὀλέθριον κάρτα.

38. Καταῤῥόοι οἱ ἐς τὴν ἄνω κοιλίην ἐκπυέονται ἐν ἡμέρῃσιν εἴκοσιν.

39. Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίη ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον καὶ ἐς τὸ ὑπογάστριον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

40. Ἢν ἐξαίφνης ἡ γλῶσσα ἀκρατὴς γένηται ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτον.

41. Ἢν ὑπερκαθαιρομένῳ, πρεσβυτέρῳ, λὺγξ ἐπιγίγνηται, οὐκ ἀγαθόν.

42. Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίγνεται.

43. Γυνὴ ἀμφιδέξιος οὐ γίγνεται.

44. Ὁκόσοι ἔμπυοι καίονται ἢ τέμνονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίγνονται· ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται.

45. Ὁκόσοι τὸ ἧπαρ διάπυοι καίονται ἢ τέμνονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίγνονται, ἐν χιτῶνι γὰρ τὸ πῦον τούτοισίν ἐστιν· ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

46. Ὀφθαλμῶν ὀδύνας· ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ, φλεβοτόμει.

47. Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

48. Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

49. Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθεϊ ἐπιγενόμενον, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νούσημα.

50. Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίγνονται.

51. Πταρμὸς γίγνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενεοῦ· ὑπερχέεται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω, ψοφέει δὲ, ὅτι διὰ στενοῦ αὐτῷ ἡ διέξοδός ἐστιν.

52. Ὁκόσοι ἧπαρ περιωδυνέουσι, τούτοισι πυρετὸς ἐπιγενόμενος λύει τὴν ὀδύνην.

53. Ὁκόσοισι ξυμφέρει αἷμα ἀφαιρέεσθαι ἀπὸ τῶν φλεβῶν, τούτοισιν ἦρος ἀφαιρέειν.

54. Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται καὶ ὀδύνην παρέχει, ἢ οὐκ ἔχον διέξοδον ἐς

:έρην τῶν κοιλιῶν· τούτοισι, κατὰ τὰς φλέβας ἐς τὴν ν τραπομένου τοῦ φλέγματος, λύσις γίγνεται τῆς νούσου.

ὶ. Ὁκόσοισι δ' ἂν τὸ ἧπαρ ὕδατος πλησθὲν ἐς τὸ ἐπί- ι ῥαγῇ, τούτοισιν ἡ κοιλίη ὕδατος ἐμπίπλαται, καὶ ἀ- ίσκουσιν.

ὶ. Ἀλύκη, χάσμη, φρίκη· οἶνος ἴσος ἴσῳ πινόμενος λύει.

Γ. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα γίγνεται, τούτοισι, ιήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

ὶ. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφά- ἀνάγκη ἀφώνους γίγνεσθαι παραχρῆμα.

). Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν έρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον.

) Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ, καὶ :πίνειν μὴ δύνηται, ἀλλ' ἢ μόγις, οἰδήματος μὴ ἐόντος, ιμον.

). Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι λιμὸν έειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

. Ὅκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶ- καταψύχηται καὶ πάλιν θερμαίνηται, ἢ χρῶμα ἕτερον έρου μεταβάλλῃ, μῆκος νούσου σημαίνει.

!. Ἱδρὼς πουλὺς, θερμὸς ἢ ψυχρὸς, αἰεὶ ῥέων, πλεῖον ἔχειν σημαίνει· ἀπάγειν οὖν τῷ μὲν ἰσχυρῷ ἄνωθεν, ὲ ἀσθενέϊ κάτωθεν.

ὶ. Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες, ἢν ἰσχυρότεροι διὰ : γίγνωνται, ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, νει ὅτι ἀκίνδυνοι.

:. Ὁκόσοισι πυρετοὶ μακροὶ, τούτοισιν ἢ φύματα ἢ ἐς θρα πόνοι ἐγγίγνονται.

65. Ὁκόσοισι φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν μακρῶν γίγνονται, οὗτοι σιτίοισι πλέοσι χρέονται.

66. Ἤν τις πυρέσσοντι τροφὴν διδῷ οἵην ἂν ὑγιέϊ διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς αὕτη, τῷ δὲ κάμνοντι νοῦσος.

67. Τὰ ἀπὸ τῆς κύστιος διαχωρέοντα ὁρῆν δεῖ, τά τε ὑποχωρέοντα, εἰ οἷα τοῖσιν ὑγιαίνουσιν χωρέει· τὰ οὖν ἥκιστα ὁμοῖα τούτοισι, νοσωδέστερα, τὰ δ' ὁμοῖα τοῖσιν ὑγιαίνουσι, ταῦτα ἥκιστα νοσερά.

68. Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι καὶ μὴ κινήσῃς, ὑφίσταται οἱονεὶ ξύσματα, τούτοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην· ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

69. Ὁκόσοισιν ἂν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς μελαίνης ἐστίν, ἢν πλείονα, πλείονος, ἢν ἐλάσσονα, ἐλάσσονος.

70. Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσιν, αἱ πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες, στᾶσαι, κακαί· ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαί· καὶ κατὰ κοιλίην καὶ κύστιν· καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένῳ, κακόν.

71. Τὰ σώματα χρή, ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν· κἢν μὲν ἄνω βούλῃ, στῆσαι τὴν κοιλίην· ἢν δὲ κάτω, ὑγρῆναι.

72. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γιγνόμενα, νοῦσος.

73. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ πυρετὸς ἔχῃ, θανάσιμον.

74. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ῥὶς ἢ ὀφθαλ-

ιαστραφῇ, ἢν μὴ βλέπῃ ἢ μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν,
ἐν ᾖ τούτων τῶν σημείων, θανάσιμον.

ί. Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίγνεται·

ι. ἐπὶ διαῤῥοίῃ δυσεντερίη·

΄. ἐπὶ δυσεντερίῃ λειεντερίη·

ȝ. ἐπὶ σφακέλῳ ἀπόστασις ὀστέου·

Ι. 80. ἐπὶ αἵματος ἐμέτῳ πύου κάθαρσις ἄνω· ἐπὶ τῇ
ισι φθορή· ἐπὶ τῇ φθορῇ ῥεῦμα ἐκ τῆς κεφαλῆς· ἐπὶ τῷ
τι διάῤῥοια· ἐπὶ τῇ διαῤῥοίῃ σχέσις τῆς ἄνω καθάρ-
ἐπὶ τῇ σχέσι θάνατος.

. Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν καὶ ἐν τοῖσι
τὴν κοιλίην καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν πῃ
τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα· ἢν ὀλίγον, ὀλίγη ἡ νοῦ-
ίγνεται, ἢν πουλὺ, πολλή· ἢν πάνυ πουλὺ, θανάσιμον
ιοῦτον.

ȝ. Ὁκόσοισιν ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικὰ γί-
ι, οὗτοι οὐ πάνυ σώζονται· *ἧσσον γὰρ κινδυνεύουσιν
ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

ȝ. Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν οἱ
ιμοὶ δακρύουσιν, ἀγαθόν· ὁκόσοισι δὲ ἄνευ προαιρέσιος,
ι.

ȝ. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν
ἂν ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

ȝ. Ἱδρῶτες ἐπικίνδυνοι οἱ μὴ ἐν τῇσι κρισίμοισιν ἡμέ-
γιγνόμενοι σφοδροί τε καὶ ταχέως ὠθούμενοι ἐκ τοῦ με-
υ, ὥσπερ σταλαγμοὶ ἢ κρουνοὶ, καὶ ψυχροὶ σφόδρα καὶ
οί· ἀνάγκη γὰρ τοὺς τοιούτους ἱδρῶτας πορεύεσθαι μετὰ
καὶ πόνου ὑπερβολῆς καὶ ἐκθλίψιος πολυχρονίου.

86. Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορὴ, κακόν.

87. Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται· ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται· ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

Ἐκ τοῦ Περὶ κρισίων.



14. || Ἀφ. II, 23. Τὰ ὀξέα νοσήματα κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν ὡς ἐπὶ τὸ πουλύ.

15. || IV, 36. Ἱδρῶτες πυρεταίνοντι ἢν γίνωνται τριταίοις καὶ πεμπταίοις καὶ ἑβδομαίοις καὶ ἐναταίοις καὶ ἑνδεκαταίοις καὶ τεσσαρεσκαιδεκαταίοις καὶ μιῇ καὶ εἰκοσταίοις καὶ τριηκοσταίοις, οὗτοι οἱ ἱδρῶτες νούσους κρίνουσιν· οἱ δὲ μὴ οὕτως γινόμενοι πόνους σημαίνουσιν.

26. || IV, 37. Ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ θανάσιμοι, ξὺν δὲ πρηϋτέρῳ μῆκος σημαίνουσι τῆς νούσου.

27. || IV, 39. Καὶ ὅκου τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

28. || IV, 40. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ ὀξεῖαι γίνονται, καὶ ἢν τὸ σῶμα ψύχηται ἢ αὖθις θερμαίνηται, ἢ τὸ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλληται, μῆκος νούσου σημαίνουσιν.

29. || IV, 56. Κὴν πυρέσσοντι ἱδρὼς ἐπιγένηται μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος καὶ ὑγρασίην σημαίνει.

61. = IV, 57.

47. = IV, 58.

12. || IV, 59. Τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοισιν ὡς ἐπὶ τὸ πουλύ.

49. || IV, 60. Ὅσοις ἂν ἐν τοῖς πυρετοῖς τὰ ὦτα κωφωθῇ, τουτέοισι μὴ λυθέντος τοῦ πυρετοῦ μανῆναι ἀνάγκη· λύει δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα χολώδεα, ἢ δυσεντερίη ἐπιγενομένη, ἢ ὀδύνη ἰσχίων ἢ γονάτων.

13. || IV, 64. Ὁκόσοις ἐν ἀφορήτοις πυρετοῖς τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι γίνονται, ἀγαθὸν, ἐὰν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται· εἰ δὲ μὴ, ἐνδοιαστόν.

37. || V, 6. Ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν ταῖς τέσσαρσιν ἡμέραις ἀπόλλυνται· ἢν δὲ ταύτας ἀποφύγωσιν, ὑγιέες γίνονται.

57. || VI, 10. Κεφαλὴν περιωδυνοῦντι καὶ νοσέοντι, πύου ῥέοντος ἢ κατὰ τὰ ὦτα ἢ κατὰ τὰς ῥῖνας, λύεται τὸ νόσημα.

41. || VI, 11. Τοῖς μελαγχολικοῖς μετὰ φρενιτίδων ἐχομένοις αἱμοῤῥοΐδες ἐγγενόμεναι ἀγαθόν.

52. || VI, 14. Ὑπὸ ὕδρωπος ἐχομένῳ, κατὰ τὰς φλέβας ἐς τὴν κύστιν ἢ κοιλίην ὑδατώδους ῥυέντος, λύσις.

54. || VI, 15. Ὑπὸ διαῤῥοίης ἐχομένῳ ἰσχυρῆς ἔμετος ἐπιγενόμενος ἀπὸ τοῦ αὐτομάτου, λύσις.

60. || VI, 17. Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης ἁλῶναι ἀγαθόν.

48. || VI, 26. Ὅσοις ἐν τοῖσι καύσοισι τρόμοι ἐγγίνονται, παρακοπὴ λύει.

19. || VI, 49. Ὁκόσα δὲ ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἐν τεσσαράκονθ' ἡμέραις ἀφλέγμαντα καθίσταντα.

58. || VI, 51. Ὁκόσοισιν ὑγιαίνουσιν ἐξαπίνης ὀδύναι ἐγγίνονται ἐν ταῖς κεφαλαῖς, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέραις, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ.

53. || VII, 29. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγίνηται ἰσχυρὴ, λύσις.

32. || VII, 68. 69. Οἷσι τὰ ὑποχωρήματα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται ὁκοῖον ξύσματα, ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος, ἢν πολλὰ, πολλή· τουτέοισι ξυμφέρει τὴν κοιλίην ὑποκλύζειν. Ὁκόσοις δὲ ἐν τῇ κάτω ὑποχωρήσει χολῆς μελαίνης ὕπεστιν, ἢν πλεῖον, πλείων ἡ νοῦσος, ἢν ἐλάσσω, ἐλάσσων.

ΟΒΕΛΙΣΜΟΣ.

Τμ. 1. 4. . . . σφαλεραί· αἱ δ' ἐς τὸ . . .

5. . . . . [*μᾶλλον*] σφαλεραὶ ἐς . . .

15. . . . · καὶ γὰρ τὸ ἑ. θ. πλεῖόν *ἐστί*· . . .

17. Γαλ. ὑπομν. 435· 'τοὺς καιροὺς γὰρ τῶν κατὰ μέρος[1]) τροφῶν . . .

[1]). = particularium, K. —; —

19. Τοῖσιν ἐν [*ταχ*]τῃσι π. . . .

23. . . . , ἀλλ' *ὅσα ἂν* χωρέῃ, *εἰ* οἷα δεῖ, **καὶ** *φέρει* εὐφόρως· . . .

Τμ. 2. 7. . . . , τὰ δὲ ἐν ὀλίγῳ [1]), *ἄλεως*.

[1]). ἀντὶ τούτου γὰρ τοῦ '*ἐν ὀλίγῳ*, ἐγέγραπτο **ἴσως τὰ** '*ὀλίγῳ*. ἢ, *ὀλίγως*. Γαλ.

8. Η' ' ' . . . *σημεῖον ὅτι* π. τ. χρέεται· ἣν **δὲ** . . ., *εἰδέναι* ὅτι κενώσιος δέεται. . = Γαλ. 468.528.

9. Η' ' ' . . . , ὅκου τις βούλεται καθαίρεσθαι, . . .

10. Παραϐ. 7, 68.

14. Προγν. 20· ὑδαρὲς δὲ . . . . , πονηρὰ ταῦτα πάντα. Ἔτι δὲ πονηρὸν . . .

15. . . . ἐκθύει, . . .

— . . . · *ἢν δὲ*[1]), *ὁκοῖαι* τ. ὑ. γίγνονται, . . .

[1]). ἔωσιν, δηλονότι.

43. . . . , καὶ καταλ. μήπω τ. , . . .

45. . . . τῶν χωρέων, . . .

48. . . . , τότε διαναπαύειν εὐθὺς [1]), ἄκοπον.

[1]). Ὀρειϐ. I, 481· ». . . , καὶ διαναπαύειν εὐθέως, . . .

51. . . . · καὶ [γὰρ] πᾶν τὸ πουλὺ . . .

— . . . · καὶ ἄλλως [καὶ] ἥν τις . . .

Τμ. 3. 2. 3. . . . [·καὶ δὲ πρὸς χώρας [1]) καὶ διαίτας καὶ τὰς ἄλλας καταστάσιας] τῶν νούσων . . . . · καὶ ἡλικίαι τινὲς πρὸς ὥρας [τινὰς] καὶ χώρας καὶ διαίτας [καὶ καταστάσιας νούσων].

[1]). ἄνευ τοῦ »καὶ ἡλικίας«.

8. . . . , ἡνίκα ὡραίως αἱ ὧραι τὰ ὡραῖα ἀποδιδέασιν, . . .

11. Π' · ». . . τῇσι γυναιξὶ τῇσιν ἐν ἡλικίῃ καὶ τοῖσι παισὶ καὶ τοῖσιν ἀνδράσι τοῖσι . . .

14. Cels. » . . . , et febres partim acutae, partim longae ; . . .

26. . . . , ἀσκαρίδες, *σατυριασμοὶ [1]), . . .

[1]). Ὀρειϐ. IV, 661· — ; — ». . . satyria [2]) — ; —

[2]). »σατυριᾶν« ἔχει Ἀριστοτέλης.

Τμ. 4. 1. . . . , · ἧσσον δὲ πάρα [1]) ταύτας· . . .

[1]). = πάρεστιν.

9. . . . τἀναντία[1]).

[1]). τὸ »προσθεὶς« γὰρ οὐχ Ἱπποκράτους ἐστὶν, ἀλλὰ Γαληνοῦ· 667· ». . . , διὸ καὶ προσηκόντως εἶπεν ὁ Ἱπποκράτης, »τῷ αὐτῷ λογισμῷ τἀναντία« προσ(τι)θεὶς« ;

13. Πρὸς τοὺς δι' ἐλλεϐόρου· . . .

14. Παρέγγραπτα ἂν εἴη τὰ »πρὸς μὲν τὰς κινήσιας μᾶλλον ἄγει, πρὸς δὲ τοὺς ὕπνους καὶ τὰς ἀκινησίας ἧσσον«· πάντως γὰρ, λέγοντος Γαληνοῦ »δι' ἣν κινεῖσθαι κελεύει τὰ σώματα«, κελεύσματος δεόμεθα· οὐ μὴν ἀλλὰ ἐν τῇ αὐτῇ

ῥήσει ἑτέρωθι ἕτερον δηλοῦν τὸ ἄγειν, οὐ πάνυ πιθαν[illegible]όν· λείπεται ἄρα χρῆσθαι τοιαύτῃ τινί, ὁποία ἡ πρὸς ἐμοῦ, [illegible] θεραπεία, ἵνα ἥ τε λέξις γλαφυρὰ ᾖ, ὅ τε νοῦς σαφής.

15. . . . παύεσθαι . . .

21. . . . , μᾶλλον *καὶ* κακόν · . . .

— . . . , *καὶ* οὐ πονηρόν.

22. Νοσημάτων *ὀξέων* ἀρχομένων, . . .

23. Ὁκόσοισιν ἐκ ν.[1]) πολυχρονίων, . . .

[1]). ἄνευ τοῦ ἔμοιγε ὑπόπτου *ὀξέων* ᾖ. .

— . . . μέλαν [*ἂν*] ὑπέλθῃ, . . .

25. . . . , *ἢν* ᾖ μέλανα *τὰ* ὑποχωρέοντα.

33. Ἀτὰρ *καὶ ἢν*[1]) . . .

[1]). = Γαλ. 700.

35. . . . ἀποστραφῇ[1]) . . .

[1]). ἀτὰρ καὶ ἡ Κω. ἄμεινον ἂν ἔχοι ὧδε· Τράχηλον [illegible]στρέφειν μὴ δύνασθαι, μηδὲ καταπίνειν, . . .

47. . . . *στᾶσαι*, . . .

50. Ὅκου δ' *ἄν τῳ ἐν* π. . . .

69. . . . ἐκ τούτου λεπτῶν ὠφελέει· μάλιστα δὲ τοια[illegible]τα ἔρχεται *ὅτοισιν* . . .

72. . . . *πονηρόν*· μάλιστα *ἢν* τοῖσι φ. . . .

78. . . . , τούτοισιν ἀπὸ [*πόνου*] τῶν ν. φ. ῥῆξις *ξυνε*[illegible].

Τμ. 5. 10. Ὁκόσοισι κυνάγχη[1]) * * * ἐς τὸν π. τρέ[illegible]ται, ἐν . . .

[1]). Cels. » Si angina subite finita est, in pulmone[illegible] id malum transit; idque . . .

21. . . . · θέρμη δὲ *τετάνων* (—ου) ῥύεται.

22. Τὸ [*δὲ*] θερμόν, *ὅκου* ἐκπυητικόν, ἐπὶ . . .

— . . . ἑλκώμασι· . . . .
23. . . . χρέεσθαι ὧδε· . . . .
25. . . . [τὰ] ἄτερ . . . .
— . . . ἰσχναίνει, καὶ ῥηΐζει· νάρκην γὰρ ποιέει·
ρκη δὲ . . . .
27. . . . νύκτωρ πάνυ δ., τούτοισιν, ἢν . . . .
31. . . . , ἢν ἢ . . . .
34. . . . ῥυῇ λίην, κίνδυνος . . . .
41. Μήποτε καὶ ἑτέρα ἦν γραφή, ἀποδείπνῳ δ, ἀμφί-
γον ὄν, Γαληνὸς μὲν ὑπέλαβεν ὡς = ἀπὸ δείπνου, Θεόρ.
ὡς = ἀδείπνῳ. —; —
55. . . . ὑπὸ π. λαμβάνονται καὶ ξυνεχῶς θερμαίνον-
ε ἄτερ π φ. , . . .
57. . . . νοῦσοι γίγνονται· καὶ [δὲ] [1]) . . .
[1]). οὕτω γοῦν λόγον ἔχει ἡ Γαληνοῦ σκέψις, σελ. 853.
63. . . . πρὸς τὸ στόμιον παραπέμπον [1]) τὸ σπέρμα· . . .
[1]). μάχεται γὰρ τὸ 'πρὸς τὸ μὴ παραπέμπειν' τῇ Γαλη-
ῦ ὑπομνήσει.
66. Γαληνός γε οὐκ ἔχει τὸ ἰσχυρῶν καὶ . . .
69. . . , καὶ ἀνδράσι δὲ . . .
— . . . . σώματος, ἀπό τε πηχέων . . .
— . . . ἀραιὸν τούτων δηλοῖ . . .
70. . . . οἱ δὲ ἁλίσκονται (πρότερον), ἢν . . .
Τμ. 6. 1. . . . , πρόσθεν μὴ [1]) γενομένης, . . .
[1]). ἤ· —; — = Γαλ. 5· 'πρόσθεν οὐ γιγνομένης.
2. . . . ὑγροτέρη ὑγιαίνουσι, νοσηρότερον· οἷσι δὲ [ὑπὸ
νούσου], (τἀναντία) ὑγιεινότερον. = Ἐπιδ. VI, 6, 8· Οἷσι
4

.ρ υ. . . . ὑγιαίνουσιν, οὕτω νοσηλότερον τοῖσι πλείστοισιν· οἷσι δὲ ὑπὸ νούσου, τἀναντία.

3. . . . δυσεντερίησιν *οἷσιν*[1]) ἀποσιτίαι, . . .

[1]). ἢ ἁπλῶς 'δυσεντερίησιν[2]) ἀποσιτίαι, . . .

[2]). ἄνευ δὴ τοῦ *αἱ*.

5. . . . , τὰς *διαφορὰς*, εἰ μέγα δ., κ.

[1]). εἰκὸς γὰρ τὸ *ὥρας*[2]) εἶναι = [. .] ορὰς = [διαφ]ορὰς· ὥσπερ ἀντιστρόφως τὸ ἐν. ὑπομν. 15 » . . . τὴν κατὰ μέγεθος *διὰ* τῶν ὀδυνῶν. διορθωτέον ' . . . *δια[φορὰν]* τῶν ὀδυνῶν. .

[2]) οὐ αὖ γλώσσημα ἔοικεν εἶναι τὸ 'ὅτι, . . . ἁμαρτάνοντες. . .

7. Τὰ *μετὰ*[1]) *ἀλγημάτων* οἰδήματα . . .

[1]). Κω. 623, Ε. = 613, L.

11. . . . [*τε*] καὶ (τοῖσι) *φρενι*τικοῖσιν[1]) . . .

[1]). = Π. κρισ. 41· — τὸ δὲ 'νεφρικοῖσιν. = νευρικοῖσιν, εἰκὸς γλώσσημα εἶναι τοῦ *φρενι*τικοῖσιν, τὸ δὲ 'τοῖσι διὰ λιθίασιν. τοῦ μοχθηροῦ 'νεφρικοῖσιν.' ἐξ οὗ τέλος τὸ *νεφριτικοῖσιν*. — 'Αλλὰ καὶ τὸ Γαληνοῦ, σελ. 21, '*νεφρῖτιν*. διορθωτέον' *φρενῖτιν*.

14. . . . , [*αὐτομά*]του κατὰ τὰς φ. . . .

25. Προσπαράγραπτα ἂν εἴη τὰ 'ἐπιχεόμενον. ἢ 'καταχεόμενον. ἢ 'καταχυθέν. ' 'μῶν, σολοίκως γε μὴν, ἀντὶ τοῦ '[ὕδατος ψυχροῦ] καταχυθέντος. ἢ '[δι' ὕδωρ ψυχρὸν] καταχυθέν. — ; —

29. . . . ἐκ*λελοίπῃ*.

34. . . . φαλακρι*έουσι*[1]), . . .

[1]). = φαλακριῶσι.

ϛ'.

37. : : : ἐπὶ [1]) τῷ βρόγχῳ : : :

[1]) οὐ γὰρ ἀνεκτὸν τὸ ἐν. .

47. . . . προσιόντος [1]) τοῦ ἦρος : . :

[1]) = Γαλ. »ἦρος εἰσβάλλοντος. .

54. . . . ἀναπνοαὶ κλαυθμώδεες, κακόν.

56. . . . ἀποσκήψιες ἀπόπληξιν . . .

59. . . . [χρονίης] . . .

60. Ὀκόσοισι [δὲ] [1]) (τὸ ἰσχίον) ἐξίσταται, . . .

[1]) Γαλ. »Οὐ χρὴ χωρίζειν τὸν ἀφορισμὸν τοῦτον τοῦ προγεγραμμένου, συνάπτοντας δ' αὐτούς . . .

Τμ. 7. 2. . . . [δια]νοσήσαντι [1])

[1]) Γαλ. 104 Οὐ γὰρ ἐπὶ μετρίαις βλάβαις [τῶν] ὀστῶν, ἀλλὰ [ἐπὶ] ταῖς ἰσχυραῖς σηπεδόσι . . .

6. . . . χρονίῃ . . .

8. . . . ἔμετος, καὶ ἔκλυσις καὶ λ. γ.

13. Cels. . . . ; post magnos fervores corporis, ..

24. . . . , [κακόν].

25. Ἢν κενεὸν λάβῃ ἐκ . . .

30. . . . ταύτῃ . . .

35. . . . σημαίνει, καὶ ὀξέαν τὴν νοῦσον ἔσεσθαι.= σελ. 137.

37. Τὰ γὰρ 'θεραπεύεται δὲ . . . εἰκὸς τοῦ ὑπομνήματος εἶναι· οἷς ἕτερος αὖ προσπαρέγραψε τὸ 'καὶ τοῖσι ψυχεκοῖσι. .

41. . . . ἐπιγίγνηται, . . .

[1]). ἤ, ' . . . ὑπερκαθαρθέντι . . . ἐπιγένηται, . . .

45. . . . τὸ ἧπαρ διάπυοι ' . .

[1]) ἢ πάντως γε ἄνευ τοῦ 'τό, Ὀκόσοι ἧπαρ διάπυον . . .

53. . . . , τούτοισιν ἦρος *ἀφαιρέειν*.
54. . . . [ἢ] οὐκ ἔχον . . .
— . . . τραπομένου. . . .
62. . . . ἔχειν[1]) σημαίνει. . . .
[1]) ἢ 'πλησμονὴν ὑγροῦ [2]) σημαίνει.
[2]) ἄνευ τοῦ '*ἔχειν*. .
66. . . . *οἵην ἂν* ὑγιέϊ *διδώῃ*, τῷ μὲν ὑ. ἰσχὺς αὕτη, . . .
67. Γαλ. 186 ! « ἔξεστι γὰρ ἐν τοῖς ἀσαφέσιν, ὡς ἂν ἐθέλῃ τις, γράφειν. »
68. Αὐτὰ δηλονότι τὰ ὑποχωρήματα, ἐναιωρούμενα ἐν τοῖς οὔροις, ὑφιστάμενα· ὑφίσταται· ἐν εἴδει ξυσμάτων.
70. . . . *στῆσαι* . . .
79. 80. Τῷ ἐπὶ § 67 δικαιώματι κἀνταῦθα χρησάμενος οὕτως διεσκεύασα τὸ χωρίον.
81. . . . κατὰ τὴν κοιλίην[1]) καί . . .
[1]) Γαληνός γε γὰρ οὐδὲ ποιεῖται ὅλως μνείαν τοῦ '*ὑποχωρήμασι*.
84. . . . αἷμα [*ἂν*] . . .
85. . . . *οἱ μὴ* ἐν τ. κ. ἡ. γιγνόμενοι . . .
Π. κρισ. 27. * 'ὅπου τοῦτο ἔνι. γλ.

'Εν Μουνυχίῃ, ἱσταμ. μηνὸς Ἑκατομβαιῶνος ἕκτῃ, ἔτευς 1863.

Dr. C. H. Th. Reinhold



ΙΠΠΟΚΡΑΤΗΣ.

Κωμῳδή

CAROLI H. TH. REINHOLD.

8.

Κατ' ἰητρεῖον.

Α'.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1865.



« Ἐπειδὴ περὶ πάντων ὧν ἀμφότεροι λέγουσιν, ὁ Ἱπποκράτης καὶ ὁ Πλάτων, ἐπισκέψασθαι προὔκειτο, λέλεκται δ' ἤδη περὶ τῶν μεγίστην δύναμιν ἐχόντων εἰς ἰατρικήν τε καὶ φιλοσοφίαν, καιρὸς ἂν εἴη τραπέσθαι πρὸς τἄλλα. Φαίνεται δ' ἐν αὐτοῖς οὐ σμικρὰν δύναμιν ἔχον ἐπίστασθαι διακρίνειν ἀπ' ἀλλήλων τὰ ὁμοιότατα· οὐ μόνον γὰρ ὅπου κοινωνοῦσιν ἐπίστασθαι χρήσιμον, ἀλλὰ πολλῷ μᾶλλον ἐν οἷς διαφέρονται. Τὴν ἀρχὴν οὖν ἀπὸ τούτων ποιησόμεθα, δεικνύντες ὅτι τε καθόλου περὶ αὐτῶν ὡσαύτως ἀπεφήναντο, διά τε τῶν ἐν εἴδεσι παραδειγμάτων, ὁ μὲν τῆς ἰατρικῆς τέχνης, ὁ δὲ τῆς φιλοσοφίας, ἐγύμνασαν ἡμᾶς, καὶ τρίτον ὅτι δι' αὐτῶν ὧν ἐγύμνασαν ἐδίδαξαν ὁδὸν ᾗ προϊόντες ἐπὶ τὸ προκείμενον ἀφιξόμεθα. Καθόλου μὲν οὖν ὁ Ἱπποκράτης ἀπεφήνατο περὶ ὧν πλάνας καὶ διαφορίας καὶ τοῖς ἀγαθοῖς ἰατροῖς παρέχει, ὁ δὲ Πλάτων ὧδε· « Δεῖ ἄρα πρῶτον τὸν μέλλοντα ἀπατήσειν μὲν ἄλλον, αὐτὸν δὲ μὴ ἀπατηθήσεσθαι, τὴν ὁμοιότητα τῶν ὄντων καὶ ἀνομοιότητα ἀκριβῶς διειδέναι. » Ὅπως δ' ἄν τῳ περιγένοιτο τοῦτο, ὁ Πλάτων σε διδάξει λέγων· « Ἆρ' οὖν οἷός τέ ἐστιν ἀλήθειαν ἀγνοῶν τις ἑκάστου τὴν

τοῦ ἀγνοουμένου ὁμοιότητα, σμικράν τε καὶ μεγάλην, ἐν τοῖς ἄλλοις διαγιγνώσκειν; ἀδύνατον. « Ὅπως δ' ἂν τὴν ἀλήθειαν ἑκάστου τῶν ζητουμένων εὑρίσκοι τις, ἄκουσον ἐμοῦ πρότερον διηγησαμένου σαφῶς τε καὶ διὰ συντόμων· ἃ δ' ἂν ἀκούσῃς, τῇ μνήμῃ παραθέμενος ἐπὶ τὰς ἐκείνων ἧκε ῥήσεις. Ἐγὼ δέ σοί φημι τὴν τῶν ζητουμένων ἀλήθειαν εὑρεθήσεσθαι πρῶτον μὲν γνόντι τὴν ἀρχὴν τῆς ἐπ' αὐτὰ ὁδοῦ· ταύτης γὰρ ἁμαρτὼν εἰς πολλήν ἄλην τε καὶ πλάνην ἀφίξῃ λόγων· διὰ τῶν αὐτῶν δὲ κριτηρίων δι' ὧν τὴν ἀρχὴν εὗρες, εὑρήσεις καὶ τὸ μετὰ τὴν ἀρχὴν δεύτερον, εἶθ' ὁμοίως τὸ τρίτον καὶ ἕκαστον τῶν ἐφεξῆς. Πῶς οὖν ἔστι τὴν ἀρχὴν εὑρίσκειν; ἐπειδὴ καὶ ὁ Πλάτων, ἐπαινέσας τὴν παροιμίαν ἐν ᾗ λέγομεν 'ἀρχὴ δέ τοι ἥμισυ παντὸς', αὐτὸς προσέθηκε τὸ 'μέγιστον', εἰπὼν ἀρχὴν παντὸς ἔργου μέγιστον εἶναι· ὥσπερ καὶ ἄλλοι τινὲς, οἱ μὲν οὐ μόνον τὸ ἥμισυ τοῦ παντὸς εἶναι τὴν ἀρχὴν ἔφασαν, ἀλλὰ καὶ πλέον ἢ τὸ ἥμισυ· ,τινὲς δὲ καὶ τὸ πᾶν δυνάμει. Δείξομεν οὖν ἤδη, πῶς ἄν τις εὑρίσκοι τὴν ἀρχὴν τῆς τῶν ζητουμένων εὑρέσεως, ἀναμνήσαντες ἃ διὰ μακρῶν ἔν τε τῇ περὶ ἀποδείξεως πραγματείᾳ λέλεκται καὶ κατ' ἄλλας τινάς. Εἰ μὲν γὰρ οὐδὲν ἡμῖν ἐστι φυσικὸν κριτήριον, οὐδὲ τεχνικὸν οὐδὲν εὑρεῖν δυνησόμεθα· φυσικὰ δ' ἔχοντες, εὕροιμεν ἄν τι καὶ τεχνικόν. Ἆρ' οὖν ἔχομέν τινα φυσικὰ κριτήρια κοινὰ πάντες

ἄνθρωποι; οὐδὲ γὰρ ἐνδέχεται φυσικὰ λέγειν αὐτὰ μὴ κοινὰ πάντων ὄντα· χρὴ γὰρ δή που τὰ φυσικὰ πρὸς τῷ πάντων εἶναι κοινὰ καὶ τὴν πίστιν ἔχειν κοινήν. Ἐγὼ μὲν οὖν ἔχειν φημὶ πάντας ἡμᾶς, τούς γε κατὰ φύσιν ἔχοντας, φυσικὰ κριτήρια· καὶ τοῦτ' ἀναμιμνήσκων, οὐ διδάσκων οὐδ' ἀποδεικνὺς οὐδ' ὡς αὐτὸς εὑρηκὼς λέγω· τίνα δὲ ταῦτα; ὀφθαλμοὺς ὁρῶντας τὰ ὁρατὰ καὶ ὦτα ἀκούοντα τὰ ἀκουστὰ καὶ γλῶτταν γευομένην χυμῶν καὶ ῥῖνας ὀσμῶν καὶ σύμπαν τὸ δέρμα τῶν ἁπτῶν· ἐπὶ δὲ τούτοις τὴν γνώμην ἢ ἔννοιαν ἢ ὅ,τί ποτ' ἂν ἐθέλῃ τις ὀνομάζειν ᾧ διαγιγνώσκομεν ἀκόλουθόν τε καὶ μαχόμενον καὶ ἄλλα ἃ καταπέπτωκε τούτοις, ἐν οἷς ἐστι καὶ διαίρεσις καὶ σύνθεσις, ὁμοιότης τε καὶ ἀνομοιότης· ἀφ' ὧν ὁ παρὼν ὡρμήθη λόγος.

Ὁ μὲν οὖν Ἱπποκράτης οὕτως ἔγραψε περὶ αὐτῶν· «Ἢ ὅμοια, ἢ ἀνόμοια, ἐξ ἀρχῆς, ἀπὸ τῶν μεγίστων καὶ ῥηΐστων, ἀπὸ τῶν πάντως πάντῃ γιγνωσκομένων· ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστιν· ἃ καὶ τῇ ὄψει καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι· ἃ οἷς γιγνωσκόμενα ἅπασιν ἔστι γνῶναι.» Ταύτην τὴν ῥῆσιν ἐξηγησάμενος τελέως ἐν τῷ πρώτῳ τῶν εἰς τὸ Κατ' ἰητρεῖον ὑπομνημάτων οὐδὲν ἔτι δέομαι διέρχεσθαι νῦν, ἀλλ' ἀρκέσει τὸ κεφάλαιον μόνον αὐτῆς εἰπεῖν, ὅτι πρὸς τὴν τῶν ὁμοίων τε καὶ ἀνομοίων

ἀκριβῆ διάγνωσιν ἀφικνεῖσθαι χρὴ τὴν ἀρχὴν τῆς εὑ-
ρέσεως αὐτῶν ποιούμενον ἀπὸ τῶν φυσικῶν κριτη-
ρίων, ἅπερ ἐστὶν αἴσθησίς τε καὶ γνώμη· καλεῖν δ' ἐ-
ξεστί σοι, ὡς πολλάκις εἴρηταί μοι πολλαχόθι, κ[illegible]
διάνοιαν καὶ νοῦν καὶ λογισμὸν, ἢ ὅπως ἂν τις ἐθέ-
λῃ, φυλάττων τὴν ἔννοιαν, ὡς Ἱπποκράτης βούλεται·
ὡς γὰρ τῶν αἰσθητῶν αἴσθησίς ἐστι τὸ κριτήριον, οὕ-
τω τῶν νοητῶν ἑτέρα τις δύναμις, ἣν ὅπως ἂν τις ἐ-
ὀνομάζειν βούληται συγχωροῦμεν αὐτῷ, μή πως ἡ-
μῖν τὸ πάρεργον τοῦ ἔργου μεῖζον γένηται. χρώ-
μεθα γὰρ ὀνόμασι καὶ ὅλως τῇ πρὸς ἀλλήλους δια-
λέκτῳ χάριν τοῦ δηλῶσαι τὰς κατὰ τὴν ψυχὴν δό-
ξας, ἃς ἐκ τοῦ σκοπεῖσθαι τὴν τῶν πραγμάτων φύ-
σιν ἐκτησάμεθα. γελοῖον οὖν ἐςι καταλιπόντας τὸ
περὶ τῶν ὀνομάτων ἁμιλλᾶσθαι. Πῶς δέ φησιν ὁ Ἱπ-
ποκράτης τὴν τῶν πραγμάτων εὑρίσκεσθαι φύσιν;
ἐὰν ἀπὸ τῶν μεγίστων καὶ ῥάστων ἀρξώμεθα, μεγί-
στων μὲν κατὰ τὴν χρείαν, ῥάστων δὲ κατὰ τὴν ἡμε-
τέραν γνῶσιν· ἡ γάρ τοι φύσις ἄμφω ταῦθ' ἡμῖν ἔ-
δωκεν, αὐτά τε τὰ κριτήρια καὶ τὸ πιστεύειν αὐτοῖς
ἀδιδάκτως. αὐτὰ μὲν οὖν τὰ κριτήρια τά τε ὄργανα
τῶν αἰσθήσεών ἐστι καὶ αἱ χρώμεναι τοῖς ὀργάνοις
δυνάμεις· ἡ δὲ πίστις αὐτῶν ἀδίδακτός τε καὶ φύσει
οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ζώοις
ὑπάρχει· καὶ γὰρ ὁρῶντά τινα προσιόντα καὶ ἀκούοντα
ψόφου τινὸς ἢ φωνῆς ὑποφεύγει μὲν αὐτίκα, μείζο-

ὀφθέντος ζώου, μένει δὲ κατὰ χώραν, ἐὰν ἐλάτ-
ός τε καὶ ἀσθενεστέρου τοῦ προσιόντος αἰσθάνηται.
Εἰ μὲν οὖν ἀπιστεῖ τις τοῖς δι' αἰσθήσεως ἢ νοή-
ς ἐναργῶς φαινομένοις, οὐδ' ἐπιχειρεῖν χρὴ συ-
σει τέχνης οὐδεμιᾶς· εἰ δὲ φαίνεται τὰ τῶν τε-
ὸν ἔργα τῷ βίῳ τῶν ἀνθρώπων χρήσιμα, πάντως
ι τοῖς φυσικοῖς κριτηρίοις οἱ πιστεύοντες ἄνθρωποι
εὕρεσιν αὐτῶν ἐποιήσαντο· καὶ ἡμεῖς εὐτυχέστε-
κατὰ τοσοῦτον ἐκείνων ἐσμὲν, ὅτι τὰ χρήσιμα,
λῷ χρόνῳ μετὰ καμάτων τε καὶ φροντίδων εὑρε-
τα τοῖς πρὸ ἡμῶν, αὐτοὶ μανθάνομεν ὀλίγῳ χρό-
. ἐὰν οὖν τῷ λοιπῷ τοῦ βίου μὴ κατὰ τὸ πάρερ-
ν ἀσκῶμεν τὰς τέχνας, ἀλλὰ περὶ τὴν τῶν ὁμοίων
καὶ ἀνομοίων διάγνωσιν ἀεὶ φροντίζωμεν, οὐδὲν
λύει τῶν ἔμπροσθεν ἡμᾶς γενέσθαι βελτίους. πῶς
ν γυμνασόμεθα καὶ ἀσκήσομεν ἡμᾶς αὐτούς; ἀπὸ
ν γνωσθῆναι ῥάστων ἀρξάμενοι, καθάπερ ὁ Ἱππο-
ἰτης εἶπε· ταῦτα γάρ ἐστι τὰ μεγάλην ἔχοντα τὴν
εἰς ὅλον τὸν βίον χρείαν καὶ τὴν πρὸς ἄλληλα
φοράν. »

Γαλην. π. Ἱπποχρ. καὶ Πλάτων. δογμ.
I, ά. (Kühn V, 720).



Τὸ Ἱπποκράτους Κατ' ἰητρεῖον βιβλίον καὶ Γαληνοῦ εἰς αὐτὸ ὑπόμνημα Α'.

Ἐπέγραψαν μὲν αὐτὸ *Κατ' ἰητρεῖον*· ἄμεινον δὲ ἦν *Περὶ τῶν κατ' ἰητρεῖον* ἐπιγεγράφθαι, καθάπερ ἔνιοι τὸ Διοκλέους ἐπιγράφουσι καὶ Φιλοτίμου καὶ Μαντίου. γεγραφότων γὰρ καὶ τούτων τῶν ἀνδρῶν εἰς τὴν αὐτὴν ὑπόθεσιν ἓν ἑκάστου βιβλίον, ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων ἡ ἐπιγραφὴ χωρὶς τῆς προθέσεώς ἐστι καὶ τοῦ ἄρθρου, *Κατ' ἰητρεῖον* ἁπλῶς ἐπιγεγραμμένων αὐτῶν, ἐν ὀλίγοις δὲ σύν τε τῇ προθέσει καὶ τῷ ἄρθρῳ, *Περὶ τῶν κατ' ἰητρεῖον*. ἀλλὰ τὰ μὲν τούτων βιβλία πλείονα θεωρήματα διδάσκει, τὸ δὲ Ἱπποκράτους μετὰ τὸν κατάλογον ἐξ ὧν ἡ χειρουργία συμπληροῦται, τὸν περὶ τῆς ἐπιδέσεως λόγον διέρχεται· τοῦτο πρῶτον ἀξιοῦντος ἀσκεῖσθαι τἀνδρός· καὶ μέν τοι καὶ δύναται ἡ ἄσκησις αὐτοῦ γίγνεσθαι, μάλιστα μὲν ἐπὶ ξύλων ἐγγεγλυμμένων ἐς ἀνθρώπων ἰδέαν, εἰ δὲ μὴ, κατά γε τὰ τῶν παιδίων σώματα. Ταῦτα μὲν οὖν αὐτὸ τὸ βιβλίον ἠνάγκασεν ἡμᾶς πρὸ τῶν κατὰ μέρος ἐξηγήσεων εἰπεῖν· ἃ δὲ οὐκέτι τὸ βιβλίον, ἀλλ' οἱ μεταγράφοντες ἑτοίμως εἰς ὅπερ ἂν αὐτοὶ βουληθῶσι τὰς τῶν πρεσβυτέρων γραφὰς, ἤδη σοι δίειμι· τινές μοι γὰρ κάπηλοι παλαιῶν βιβλίων ἀνευρεῖν ἐσπούδασαν πρὸ τριακοσίων ἐτῶν γεγραμμένα, τὰ μὲν ἐν βυβλίνοις ἢ φι-

λυρίνοις χάρταις, τὰ δὲ ἐν διφθέραις, ὥσπερ τὰ παρ' ἡμῖν ἐν Περγάμῳ. τάδ' οὖν πάντα παρὰ τοῖς πρώτοις ἐξηγησαμένοις κατανοῆσαι προὐθέμην, ὅπως ἐκ τῶν πλείστων τε καὶ ἀξιοπιστοτάτων εὕροιμεν τὰς γνησίας γραφάς· καί μοι τὸ πρᾶγμα κρεῖττον τῆς ἐμῆς ἐλπίδος ἀπέβη· συμφωνοῦντα γὰρ ἅπαντα ὀλίγου δεῖν εὗρον ἀλλήλοις τά τε συγγράμματα καὶ τὰ τῶν ἐξηγητῶν ὑπομνήματα· ὥστε θαυμάζειν συνεπῆλθέ μοι τὴν τόλμαν τῶν χθὲς καὶ πρώην τὰ ὑπομνήματα γραψάντων ἢ πάντων τῶν Ἱπποκράτους βιβλίων ἰδίαν ἔκδοσιν πεποιημένων, ἐξ ὧν εἰσι καὶ οἱ περὶ Διοσκορίδην καὶ Ἀρτεμίδωρον, τὸν ἐπικληθέντα Καπίτωνα, πολλὰ περὶ τὰς ἀρχαίας γραφὰς καινοτομήσαντες. καί μοι μακρὸς ὁ λόγος ἔδοξεν εἶναι τῶν ὑπομνημάτων, εἰ πασῶν τῶν γραφῶν μνημονεύοιμεν. βέλτιον οὖν εἶναι ὑπέλαβον τὰς παλαιὰς μόνον γράψαι, προστιθεὶς ὀλίγας τινὰς αὐταῖς ὅσαι βραχὺ μετακεκίνηνται, καὶ τούτων αὐτῶν ἐκείνας μᾶλλον ὅσαι παρὰ τοῖς ἔμπροσθεν ἐξηγησαμένοις τὸ βιβλίον ὡμολόγηνται. Τέτταρες δέ εἰσιν οὗτοι, δύο μὲν εἰς ἅπαντα τὰ βιβλία Ἱπποκράτους γεγραφότες ὑπομνήματα, Ζεῦξις τε καὶ Ἡρακλείδης, οὐκ εἰς πάντα δὲ Βακχεῖος καὶ Ἀσκληπιάδης, δυσλόγιστά τε.

Καὶ τούτων μὲν ἅλις· ἀναλαβόντες δὲ χάριν σαφεστέρας διδασκαλίας αὖθις διὰ βραχέων ἐροῦμεν, ὡς εἰ καὶ μηδὲν προειρήκειμεν τὸ Κατ' ἰητρεῖον ἐπιγραφόμενον Ἱπποκράτους βιβλίον ἐν ἀρχῇ μὲν ἔχει κοινὸν ἁπάσης τῆς τέχνης προοίμιον, ὡς ὀλίγον ὕστερον δείξω, καὶ διὰ τοῦτό τινες εἰκότως ἠξίωσαν αὐτὸ πρῶτον ἁπάντων ἀναγιγνώσκεσθαι, παραπλησίαν ἐπαγγελλόμενον διδασκαλίαν ἢ ἐς ὕστερον ἐποιήσαντό τινες ἐν ταῖς ὑπ' αὐτῶν ἐπιγραφομέναις Εἰσαγωγαῖς.

Ἐφεξῆς δὲ τῷ κοινῷ προοιμίῳ περὶ τῶν κατὰ τὸ ἰατρεῖον ἐνεργεῖσθαι δυναμένων διδάσκει τὰ χρησιμώτατα τοῖς ἀρχομένοις μανθάνειν τὴν ἰατρικὴν τέχνην. Ὅτι δ' οὕτω ταῦτα ἔχει φανεῖταί σοι προσέχοντι τὸν νοῦν ἀκριβῶς ταῖς ἐξηγήσεσι τῶν ῥήσεων αὐτῶν.

A.

Η ὁμοῖα ἢ ἀνόμοια, ἐξ ἀρχῆς, ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντη πάντως γιγνωσκομένων.

Εἴτε τὸ ὑγιαίνειν εἴτε τὴν ὑγίειαν εἴτε ἄλλο τι τοιοῦτον τῆς ἰατρικῆς τέχνης τέλος εἶναί τις φαίη, τοῦτο μὲν αὐτὸ δι' ἑαυτὸ σπουδάζεται τοῖς μετιοῦσι τὴν τέχνην· καὶ δῆλον ὅτι θεωρία τίς ἐστιν, ἣν μαθεῖν χρὴ τὸν μέλλοντα ἐπανορθοῦσθαι τὴν παρὰ φύσιν ἡμῶν κατάστασιν, ἣν εἴτε διάθεσιν εἴτε κατασκευὴν εἴτε ἄλλο καλεῖν ἐθέλοι τις, οὐ διαφέρει· οὐ δι' ἑαυτὰ δὲ τὰ ἄλλα πάντα τὰ κατὰ τὴν τέχνην ἢ μανθάνομεν ἢ διδάσκομεν ἢ ὅλως ἀκούομεν, ἀλλ' ὅτι τῷ τέλει χρήσιμον ἕκαστον αὐτῶν γίγνεται· οἷον εὐθέως τὸ διαγνωστικὸν μέρος τῆς τέχνης, ὃ καλοῦσιν οἱ νεώτεροι σημειωτικόν, ἀναγκαῖόν ἐστιν ἠσκῆσθαι πρότερον τοῦ θεραπευτικοῦ τοῖς μέλλουσι καλῶς ἰατρεύειν, ἕνεκα τοῦ τὰς διαφορὰς τῶν νοσημάτων ἐπὶ τῶν καμνόντων ἀκριβῶς γνωρίζειν, ἐπειδὰν ἔχωσί τι παραπλήσιον. Οὐ διοίσει δ' ἐν τῷ μέλλοντι περαίνεσθαι λόγῳ τὴν ἀντικειμένην τῇ κατὰ φύσιν διαθέσει τοῦ σώματος νόσημα καὶ πάθος ὀνομάζειν ἀμφοτέραις ταῖς προσηγορίαις, ὥσπερ γε καὶ δι' ἔθους ἐστὶ πᾶσι τοῖς Ἕλλησι,

καὶ ποτὲ μὲν νόσημα καλοῦσιν ὅλον τοῦτο τὸ γένος, ἔστι δ' ὅτε πάθος. Ὁ τοίνυν γενικώτατος αὐτοῦ σκοπὸς νῦν διδάσκεται, καθάπερ τοῦ θεραπευτικοῦ μέρους τῆς τέχνης· ὡς γὰρ ἐπ' ἐκείνου τὸ '*τὰ ἐναντία τῶν ἐναντίων ἰάματα*, ὁ κοινὸς ἁπάσης θεραπείας ὑπάρχει σκοπὸς, οὕτως ἐνταῦθα τοῦ διαγνωστικοῦ μέρους τῆς τέχνης ὁ κοινότατος σκοπός ἐστι διαγιγνώσκειν δύνασθαι, κατὰ τί μὲν ὅμοια τὰ περὶ τὸ σῶμα τοῦ κάμνοντός ἐστι τοῖς τῶν ὑγιαινόντων· καθάπερ αὐτὸς Ἱπποκράτης ἐν τῷ Προγνωστικῷ διῆλθε· « *πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὁμοῖόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δὲ εἰ αὐτὸ ἑωυτῷ· οὕτω γὰρ ἂν εἴη ἄριστον, τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου δεινότατον* ». τὸ δ' αὐτὸ τοῦτο κἀν τῷ Περὶ ἄρθρων ἐδήλωσεν, ἔνθα παραβαλεῖν ἀξιοῖ τῷ κατὰ φύσιν ἔχοντι μέρει τοῦ σώματος τὸ πεπονθός· οὐ γὰρ ἁπλῶς εἶπεν οὐδὲ ἐκεῖ, ὅτι παραβαλεῖν ὑγιεῖ χρὴ, ἀλλὰ τοῦ πάσχοντος ἀνθρώπου τὰ δεξιὰ τοῖς ἀριστεροῖς παραβαλεῖν ἐκέλευσε, « *μὴ τἀλλότρια ἄρθρα καθορέοντα* », τουτέστι, μὴ τὰ τῶν ἄλλων ἀνθρώπων. Αὐτὸ δὴ τοῦτο καὶ νῦν ἀξιοῖ σε πράττειν, εἰπὼν « *ἢ ὅμοια ἢ ἀνόμοια, ἐξ ἀρχῆς, ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων* »· ὡς εἰ καὶ οὕτως εἶπε· τὰ τῶν καμνόντων σώματα προσήκει διαγιγνώσκειν εὐθὺς ἐξ ἀρχῆς, κατὰ τί μὲν ὅμοια τοῖς τῶν ὑγιαινόντων ἐστὶ, κατὰ τί δὲ ἀνόμοια· τοῦτο γὰρ ποιοῦντες ἀπὸ τῶν μεγίστων μὲν τῇ δυνάμει, ῥάστων δὲ γνωσθῆναι, τὰς σημειώσεις τῶν παθῶν ποιησόμεθα. χρὴ γὰρ γιγνώσκειν ἡμᾶς, ὡς οὐκ ἄλλα μέν ἐστι μέγιστα, ῥᾶστα δὲ ἄλλα· τοῖς γὰρ αὐτοῖς σημείοις ὑπάρχει μεγίστοις μὲν εἶναι τῇ δυνάμει, εἰς διάγνωσιν δὲ ῥάστοις, ὡς τοῖς ἐν τῷ Προγνωστικῷ κατὰ

ι ἀρχὴν εὐθὺς γεγραμμένοις ἐν τῇδε τῇ ῥήσει· « ῥὶς ὀ-
α, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες », ὅσα τὸ
ιτων ἐφεξῆς εἴρηται. ταῦτα γὰρ ὅτι τὴν μεγίστην ἔχει δύ-
ιιν εἰς πρόγνωσιν οὐδεὶς ἀγνοεῖ τῶν κατὰ τὰ μέτρια τοῖς
οις τῆς τέχνης ὡμιληκότων· ὅτι δὲ τὴν διάγνωσιν ἔχει
ιτην, ἴσασι ταῦτα καὶ οἱ τῆς τέχνης ἰδιῶται πάντες· οὐ-
ι γὰρ ἄλλο πρότερον μέρος τοῦ σώματος εὐθὺς εἰσελθὼν
ἐπὶ τὸν ἄρρωστον ὁρᾷ τοῦ προσώπου. ἑαυτῷ μὲν οὖν ὁ
ιιων παραβαλλόμενος, ὡς ἐκέλευσεν, ἀσφαλεστέραν τε
α τὴν διάγνωσιν ἴσχει καὶ ἑτοιμοτέραν, εἰ οὕτως ἀπὸ τῶν
γίστων τε ἅμα καὶ ῥᾴστων ἀρχόμενος ἤδη τὰ τῆς τέχνης
ιτάζοι τις. τάχα δ' ἄν ποτε καὶ σφαλείη τις ἐπὶ τῶν φύ-
ι μὲν ἐχόντων ὀξεῖαν τὴν ῥῖνα, τοὺς δ' ὀφθαλμοὺς κοίλους
ι τοὺς κροτάφους συμπεπτωκότας· ἀλλ' ἐὰν εὕρωμεν ὅμοιον
τῶν πολλῶν ἀνθρώπων τὸ τοῦ κάμνοντος σῶμα, σαφὴς
διάγνωσις ἔσται τοῦ μηδεμίαν νόσον ἐπὶ τούτου μοχθη-
ι ἐνυπάρχειν ἢ διάθεσιν· ἐὰν δὲ μή, κατὰ τὸ γεγραμμέ-
ι ὑφ' Ἱπποκράτους ἐπισκεψόμεθα τἄλλα τὰ κατὰ τὸ πᾶν
μα σημεῖα, κἂν φαίνηται σωτήρια, τοιοῦτόν τι φύσει τὸ
όσωπον τοῦ κάμνοντος ἐλπίζοντες, ἀκριβεστέρας διαγνώ-
ως χάριν ἐρησόμεθά τινα τῶν ἐπισταμένων αὐτὸν ἔμπρο-
εν· ὁμολογήσαντος δέ, βεβαιοτέραν τὴν πρόγνωσιν ἕξομεν,
ι μὴν ὁμοίως γε ἐπιστημονικήν, ὡς εἰ καὶ γιγνώσκοντες
τοὶ τύχοιμεν τὸν κάμνοντα καὶ μᾶλλόν γέ τοι συμφοιτή-
ντες αὐτῷ· τὸ γὰρ ἑωρακέναι πολλάκις ὑγιαίνοντα τὸν νῦν
ρὰ φύσιν ἔχοντα διαγνωστικωτέρους ἡμᾶς ἐργάζεται τοῦ
σοῦ τῆς διαφορᾶς τῶν κατ' αὐτὸν σημείων. ἔστω γὰρ ἀ-
ῖσαι ἡμᾶς, ὃ δὴ καὶ ἐτεκμαιρόμεθα, τὸν κάμνοντα τὴν

ῥῖνα μὲν ὀξεῖαν ἔχειν, τοὺς δὲ ὀφθαλμοὺς κοίλους, πόσῳ γε ὁ συνήθης γιγνώσκει μόνος· ἰδίως δὲ τούτου χρεία τοῖς ἰατροῖς· οὐ γὰρ μόνον ὅτι παρὰ φύσιν ἔχει τὸ σῶμα, χρήσιμόν ἐστιν ἡμῖν γιγνώσκειν, ἀλλὰ καὶ τὸ, πόσῳ μὲν ἡ ῥὶς ὀξυτέρα τῆς κατὰ φύσιν ἐστὶ, πόσῳ δὲ οἱ ὀφθαλμοὶ κοιλότεροι καὶ οἱ κρόταφοι συμπεπτωκότες· ἑκάστων τε τῶν ἄλλων ὧν εἶπεν οὐχ ἁπλῶς δεινόν ἐστι τὸ ἐναντιώτατον τοῦ ὁμοίου, ἀλλὰ δεινότατον· ἐναντιώτατον δηλονότι τὸ πλεῖστον ἐκ τοῦ κατὰ φύσιν ἐκκεχωρηκός. ὡς οὖν τοῦτο δεινότατον εἶπεν, οὐχ ἁπλῶς δεινὸν, τὸ ἐναντιώτατον, οὕτω καὶ δεινὸν ἧττον καὶ μᾶλλον, εἰς ὅσον ἂν ἧττόν τι καὶ μᾶλλον ἐναντίον δείκνυται. Τὰ μὲν οὖν ἐπὶ τοῦ προσώπου φαινόμενα σημεῖα καὶ ῥᾷστα γνωσθήσεται καὶ μεγίστην ἔχοντα δύναμίν ἐστιν, ἅ τε κατὰ τὴν ἀρχὴν εἶπεν εὐθέως, ἅ τε περὶ τοὺς ὀφθαλμοὺς ἑξῆς ἔγραψεν· ἄλλα δὲ οὐκ ὀλίγα τῶν κατὰ τὸ Προγνωστικὸν εἰρημένων ὑπ' αὐτοῦ, τὰ μὲν οὐ μέγιστα, τὰ δὲ οὐ ῥᾷστα, τὰ δὲ συναμφότερον ἔχοντα, μήτε μέγιστα εἶναι μήτε ῥᾷστα φανεῖταί σοι σκοποῦντι· περὶ ὧν ἐπὶ πλέον μὲν ἐν τῇ κατ' ἐκεῖνο τὸ βιβλίον ἐξηγήσει λέλεκται, ῥηθήσεται δὲ καὶ νῦν ὀλίγα παραδείγματος ἕνεκα· τὸ γὰρ ὕπτιον κεῖσθαι καὶ τὰς χεῖρας ἔχειν καὶ τὰ σκέλη παραπλησίως κείμενα τοῖς παρέτοις, οὐ μόνον κατὰ διάθεσιν μοχθηρὰν, ἀλλὰ καὶ διὰ μαλακίαν ἐγγίγνεται τοῦ κάμνοντος ἢ τρυφὴν ὑπερβάλλουσαν· ὥστε, εἰ μὴ τὸ ἦθος εἰδείημεν αὐτοῦ, σφαλησόμεθα· γιγνώσκειν δὲ ὧν ἐπισκεπτόμεθα πάντων τὰ ἤθη τῶν ἀδυνάτων ἐστὶ, καὶ διὰ τοῦτο ἄλλους μᾶλλον αὐτὰ διερωτητέον. εὑρίσκομεν γὰρ αὐτὰ ἐνίοτε μὲν οὐ μέγα τι δηλοῦντα, καθάπερ ἐπὶ τῆς κατακλίσεως, ἐνίοτε δὲ μέγιστα, ὡς ἐπὶ

τῶν κοσμίων ἤτοι τὸ βλέμμα βραδύτερον ἢ τὴν φωνὴν ἐχόντων· κατὰ τὰ αὐτὰ δὲ κἀπὶ τῆς ψοφούσης φύσης· ἢ γὰρ ὀδύνην ἢ παραφροσύνην σημαίνει τοῖς αἰδουμένοις τοῦτο πράττειν ἀκουόντων τινῶν· εἰ δὲ οὐδὲν φροντίζοιεν τῶν παρόντων, οὐδενὸς ἔσται σημεῖον, ὥστε κἀνταῦθα τὸ ἦθος ἐπίστασθαι χρὴ τοῦ κάμνοντος, ὥσπερ τὸ μὲν ἔθος τῶν ἐπὶ τὴν γαστέρα κοιμωμένων, τὴν δὲ φύσιν, ὅσοι πρίουσι κοιμώμενοι τοὺς ὀδόντας ἢ τοῖς ὀφθαλμοῖς οὐκ ἀκριβῶς μύουσιν· τὰ γὰρ τοιαῦτα, μετὰ τοῦ προεγνωκέναι τὸ ἦθος ἢ τὴν φύσιν τοῦ κάμνοντος ἢ παρά τινος τῶν ἐπισταμένων αὐτοὺς πυθέσθαι, τὴν διάγνωσιν ἴσχει· καὶ ποτὲ μὲν ἀγαθὰ, ποτὲ δὲ φαῦλα σημεῖα, τὰ μὲν, ὡς τό γε μέλαν οὖρον ἢ πτύσμα μέλαν ἢ χολὴν μέλαιναν νοσημάτων ἀρχομένων φανῆναι, καὶ δύναμιν ἔχει μεγίστην καὶ διάγνωσιν ῥάστην, ὥσπερ γε πάλιν, ἐξ ὑπεναντίου τοῖςδε, μεγίστην δύναμιν εἰς σωτηρίαν ἐν τοῖς ὀξέσι νοσήμασιν εὔπνοια καὶ οὖρον ὑπόστασιν ἔχον λευκὴν καὶ λείαν καὶ ὁμαλήν. Ταῦτα μὲν οὖν ἐπὶ τῶν κατὰ διάγνωσιν αὐτάρκως εἴρηται, παραδείγματα ἐσόμενα τῶν τε μεγάλην ἐχόντων δύναμιν καὶ ῥάστων γνωσθῆναι καὶ τῶν γιγνωσκομένων ἡμῖν πάντη τε καὶ πάντως, ἐάν τε διὰ πείρας ἴῃ ἐάν τε διὰ λόγου σκοπῶμεν, οὐ μὴν οὔτε δύναμιν ἐχόντων τηλικαύτην οὔτε διάγνωσιν ἑτοίμην, ἀλλὰ μετὰ τοῦ προγιγνώσκειν ἢ πυνθάνεσθαι τὰ τῶν νοσούντων ἔθη τε καὶ ἤθη καὶ φύσεις. Ἐφεξῆς δὲ ἐπὶ τῶν κατὰ χειρουργίαν ὁ λόγος ἔσται μοι, προχειρισαμένῳ τι παράδειγμα σαφηνείας ἕνεκεν, ὃ κατὰ τὴν ἀρχὴν εὐθέως γέγραπται τοῦ Περὶ ἄρθρων βιβλίου, διδάσκοντος αὐτοῦ περὶ τῶν βραχίονος ἐξαρθρημάτων· ἐπὶ τούτων γὰρ τὸ μέγιστον καὶ ῥᾷστόν ἐστιν εἰς διάγνωσιν, εἰ ὄγκος στρογγύλος καὶ σκληρὸς ἐν τῇ μασχάλῃ φαίνεται· οὐ γὰρ ἐνδέχεται γενέσθαι χωρὶς

τοῦ τὴν κεφαλὴν τοῦ βραχίονος, ἐκπεσοῦσαν τῆς διαρθρώσεως, εἰς τὸ τῆς μασχάλης ἐνεχθῆναι χωρίον· ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης κοινὸν ἐστι σημεῖον ἐκπτώσεως μὲν βραχίονος, καὶ ἀποσπάσματος δὲ ἀκρωμίου. ἐπισκοπεῖν οὖν χρὴ τὸ ὑγιὲς, εἰς ὅσον ὕψος ἀνήκει, κἄπειτα παραβάλλειν αὐτῷ τὸ πεπονθός· εἶθ', ὅταν φαίνηται τὴν ἑαυτοῦ φύσιν μὴ ἔχον, ἐκπεπτωκέναι λογίζεσθαι τὸν βραχίονα. τοῦτ' οὖν τὸ σημεῖον οὐχ, ὥσπερ τὸ κατὰ τὴν μασχάλην, εὐθὺς ἑτοίμην τὴν διάγνωσιν ἔχει· ἔτι δὲ μᾶλλον ἀπολείπεται τῇ δυνάμει τὸ κατὰ τὰς κινήσεις· ἀνατείνειν γὰρ οὐ δύναται τὸν βραχίονα καὶ θλασθέντων καὶ ταθέντων καὶ φλεγμηνάντων τῶν ἐνταῦθα μυῶν, ὥσπερ γε καὶ ὅταν ἶνές τινες αὐτῶν ἀποσπασθῶσι διὰ βάθους. ἐγὼ δὲ εἶδόν ποτε καὶ τοιοῦτόν τι συμβὰν ἀποσπάσματος ἐν ἀκρωμίῳ προϋπάρχοντος, εἶτα ὕστερον ἐξαρθρήσαντος τοῦ κατὰ τὴν ἑτέραν χεῖρα βραχίονος· ἐν παλαίστρᾳ δὲ τοῦτο ἐγένετο· θεασάμενος δ' ἰατρὸς ὁμοίας ἀμφοτέρας τῶν χειρῶν τὰς ἐπωμίδας ἀπεφήνατο προπετῶς πληγὴν μέν τινα γεγονέναι κατὰ τὸ χωρίον καὶ τὸν ἄνθρωπον εἰκότως ὀδυνᾶσθαι, τὸ δὲ ἄρθρον ἀπαθὲς εἶναι· συνεβούλευσεν οὖν εἰς τὸ βαλανεῖον ἀπελθόντα τὴν ταχίστην, ἐλαίῳ πολλῷ χρώμενον, ἐνδιατρίψαι τῷ κατὰ τὴν πύελον ὕδατι· καὶ ἐπειδὰν ἐξέλθῃς, σκεπάσας τὸ πεπληγὸς μόριον ἐρίοις διαβρόχοις ἐξ ἐλαίου μετὰ βραχέος κηροῦ, κατακλινέ τε καὶ ἡσυχίαν ἄγε... ὡς δὲ γενομένων τούτων ὁ ἄνθρωπος ὠδύνητο δι' ὅλης νυκτὸς, ἕωθεν ἐκάλεσεν ἐκεῖνόν τε τὸν ἰατρὸν αὖθις καί τινας ἄλλους δὲ τῶν ἀλόγῳ τριβῇ τὴν τέχνην μεταχειριζόντων. ἀφικνούμενοι οὖν ἐπὶ τὸν κάμνοντα ὁ κατὰ τὴν προτεραίαν σφαλεὶς καὶ ὑπὸ προπετείας ἀπερισκέπτως

:οφηνάμενος, κατὰ φύσιν ἔχειν τὸ ἄρθρον, θεασάμενος αὐ- ῦ δύο φαυλοτέρους ἰατρούς, ἠγανάκτησε μὲν ὡς ἀτιμαζό- νος, οὐκ ἐμφήνας δὲ τοῦτο τῷ καλέσαντι, προπετέστερον ι, διὰ τὸ τεθυμῶσθαι, κατὰ φύσιν ἔχειν ἀπεφήνατο τὴν άρθρωσιν, ὁμοίας εὑρίσκων ἀμφοτέρας τὰς ἐπωμίδας. Αὖ- ; οὖν, ὡς ἂν ηὐξημένης τῆς φλεγμονῆς τοῦ πληγέντος ὤ- ου, ἐκέλευσε τὸν κάμνοντα, καταντλησάμενον ὕδατι πολ- ῷ θερμῷ, παραχεομένου συνεχῶς ἐλαίου δαψιλοῦς, ἐρίοις ειλιχθέντα παραπλησίως ἡσυχάζειν. ὡς δὲ τούτων γενομέ- ων οὐδὲν ὤνητο, τῇ τρίτῃ τῶν ἡμερῶν ἐκλήθην κἀγώ· καὶ ασάμενος τὸν ἀνώδυνον ὦμον κοιλοτέραν ἔχοντα τὴν ἐπω- δα τοῦ πεπονθότος, ἐσκόπουν ἐπιμελῶς τὸν δοκοῦντα κατὰ ύσιν ἔχειν ὦμον· ἐφαίνετο γάρ μοι τὸ κατ' αὐτὸν ἀκρώμιον ω κεχωρηκέναι. κινηθεὶς οὖν ἐκ τούτου τε καὶ τοῦ μηδὲν · τῆς προσαχθείσης θεραπείας ὠφελῆσθαι τὸν ἄνθρωπον, εἰς ιν τοῦ φλεγμαίνοντος ὤμου μασχάλην ἐνθεὶς τοὺς δακτύ- ους εὗρον ἐν αὐτῇ σχεδὸν τὴν κεφαλὴν τοῦ βραχίονος. ἀλλ' ως ἀσφαλεστέρας ἕνεκα διαγνώσεως ἐπεσκεψάμην καὶ τὴν οῦ ἑτέρου ὤμου μασχάλην. ὡς δὲ οὐδεὶς ὄγκος ἦν ἐν αὐτῇ ιοῦτος, ἐξηρθρηκέναι μὲν τὸν βραχίονα ἔφην, τοὺς ἰατροὺς ὲ ἀγνοῆσαι, διὰ τό, μὴ γνόντας κατὰ τὴν ἑτέραν χεῖρα ὸ ἀκρώμιον ἀποσπασάμενον, ἔπειτα παραβαλεῖν ὡς κατὰ φύσιν ἔχοντι τῷ ὤμῳ τὸν πεπληγμένον. μαθεῖν δὲ ἡμῖν ἔ- στιν, ἔφην, πυνθανομένοις τοῦ πάσχοντος, εἰ ἐπλήγη ποτὲ τὸ ἀκρώμιον τῆς ἑτέρας χειρός. ὁ δὲ ἐν ἀρχῇ μὲν οὐκ εἶχε λέγειν, ἀναμνησθεὶς δὲ ὕστερον ὡμολόγησεν, ἐξ ὀχήματός ποτε ἐκπεσὼν πεπλῆχθαί τε καὶ ῥαδίως ἄπονος γεγονέναι τρισὶν ἢ τέτρασιν ἡμέραις, ἔριον μετ' ἐλαίου κατὰ τῆς πλη-

γῆς ἐπιθείς. Τίνος οὖν ἕνεκα ταῦτα εἴρηταί μοι; τοῦ δεῖξαι
πόσον ἀξιώματι διενήνοχεν ἀλλήλων τὰ σημεῖα, δι' ὧν
γνῶσις γίγνεται τῶν κατὰ χεῖρα παθῶν. τὸ μὲν γὰρ ὀδυνᾶ-
σθαι καὶ μὴ δύνασθαι τὴν πεπονθυῖαν ἀνατεῖναι χεῖρα κοινὰ
καὶ ἄλλων πλειόνων ἐστί. καὶ γὰρ οἱ τείνοντες τῶν ἐνταῦθα
μυῶν καὶ αὐτοὶ πολλάκις οἱ μύες σκιῤῥούμενοι καὶ φλεγμαί-
νοντες, ἔτι δὲ θλασθέντες ἢ βύθιον ῥῆγμα ἔχοντες, ἢ καί
τινων ἰνῶν ἀποῤῥαγεισῶν ἐν αὐτοῖς, ἀδύνατοι γίγνονται πρὸς
τὸ μετέωρον ἀναφέρειν τὴν χεῖρα· δι' αὐτὰ δὲ ταῦτα καὶ
ὀδυνῶνται κατὰ τὰς κινήσεις, οὐ μόνον ταύτας, ἀλλὰ καὶ
τὰς ἄλλας τῆς χειρός. ἡ δὲ κατὰ τὴν ἐπωμίδα κοιλότης
κοινὴ αὕτη καὶ πρὸς ἀπόσπασμα. ὁ δὲ ἐν τῇ μασχάλῃ παρὰ
φύσιν ὄγκος, σκληρὸς καὶ περιφερής, ἱκανὸν σημεῖον ἐκπεπτω-
κότος βραχίονος· ὥστε μόνῳ γε αὐτῷ πιστεύσας οὐκ ἂν ἁ-
μάρτοις· καὶ μέν τοι καὶ ῥάστην ἔχει τὴν διάγνωσιν ἐνταῦθα·
ἀπόχρη γὰρ μόνον εἰς τὴν μασχάλην τοὺς δακτύλους ἐν-
θέντα ψαῦσαι τῆς ἐξοχῆς, καὶ φανεῖται σαφῶς ἡ κεφαλὴ τοῦ
βραχίονος ἐνταῦθα. τὰ δὲ τῶν μυῶν πάθη, δι' ἃ τὸ μήτ' ἀ-
νατείνειν δύνασθαι τὸν βραχίονα μήτε ἀνωδύνως κινεῖν, γε-
γυμνασμένου τε δεῖται λογισμοῦ καὶ πολλῆς περισκέψεως.
συνεισέρχεταί γε μὴν καὶ τούτων ἡ γνῶσις τοῖς μεγίστην τε
δύναμιν ἔχουσι καὶ ῥᾴστοις γνωσθῆναι, ἐάν τε ἐμπειρικῶς
ἐάν τε λογικῶς μεταχειρίζῃ τις τὴν τέχνην· ὅ τε γὰρ ἐμ-
πειρικὸς ἐπισκοπούμενος τὰς ὑπ' αὐτῶν καλουμένας συνδρο-
μάς, αἵτινές εἰσι συμπτωμάτων ἀθροίσματα, ὅταν πολλά-
κις θεάσηται τὰ αὐτὰ καθ' ἕνα καιρόν, ὁμοίως πάντα μνη-
μονεύει· κἀπειδὰν ἐκ τῆς τηρήσεως ταύτης πολλῶν συνδρο-
μῶν ἐμπειρίαν ἔχῃ, τηνικαῦτα διαισθάνεται, τίνα μὲν ἐν

πολλαῖς συνδρομαῖς ἐθεάσατο συμπτώματα, τίνα δὲ ἐν μιᾷ μόνῃ, καὶ οὕτως εἰς ἔννοιαν ἔρχεται τῶν κοινῶν τε καὶ ἰδίων· πάλιν ἕπεται γνῶσις τῆς κατὰ δύναμιν διαφορᾶς τῶν σημείων. ἃ μὲν γὰρ ἐν πάσαις ὤφθη συνδρομαῖς ἢ πολλαῖς, πλέον δύναται, ἃ δὲ ἐν ὀλίγαις, ἔλαττον, πολὺ δὲ λείπεται αὖ καὶ τούτων τὰ ἐν δύο καὶ μάλιστα τὰ ἐν μιᾷ μόνῃ φανέντα. ὁμοίως οὖν, ὥσπερ τῶν ἰδίων ἐγένετο τηρητικός τε καὶ μνημονευτικὸς ὁ ἐμπειρικὸς, οὕτω καὶ τῶν κοινῶν· καὶ γὰρ ταῦτα πάντῃ τε καὶ πάντως ἅμα τοῖς ἰδίοις ἐτήρησεν ὡς ἅμα ἐκείνοις γιγνόμενα. πολὺ δὲ μᾶλλόν τε καὶ θᾶττον ὁ τῷ λόγῳ τῶν σημείων ἑκάστου πάθους εὕρεσιν ποιησάμενος ἐννοεῖ τά τε ἴδια καὶ τὰ κοινὰ, μὴ ὅτι χρόνον πολὺν ἀναμείνας, ὥσπερ ὁ ἐμπειρικὸς, ἀλλὰ μηδὲ μίαν ἡμέραν ἢ ὥραν. νοήσας γὰρ ἐκπεπτωκότα τῆς ἰδίας βραχίονα χώρας καὶ πρὸς τὴν μασχάλην ἐνηνεγμένον, πρῶτον μὲν ὡς ἐνταῦθα παρὰ φύσιν ὄγκος φανεῖται συνεπινοεῖ, δεύτερον δὲ ὅτι κοῖλος ὁ κατὰ τὴν ἐπωμίδα τόπος ἔσται, τῆς πρότερον ἐν αὐτῷ κεφαλῆς τοῦ βραχίονος ἐστερημένος, ὡς εἰς τὸ κατὰ τὴν μασχάλην χωρίον μεθεστηκυίας· προσέτι δὲ καὶ, ὡς ὁ τῆς ὠμοπλάτης αὐχὴν, ὡς ἐπικείμενος τῷ βραχίονι, ἀνατείνεσθαι τὴν χεῖρα κωλύει, καὶ ὡς ὀδυνήσονται σφοδρῶς οἱ μύες ἰσχυρῶς τεινόμενοι, κινεῖν οὕτως τὸν βραχίονα προαιρούμενοι· ὡσαύτως δὲ καὶ ὅτι παρὰ τὰς πλευρὰς παράγειν ἐπιχειροῦσι τὸ πεπονθὸς κῶλον ὀδυνᾶσθαι συμβήσεται. ὥστε καὶ οὕτως εὑρήσεται πάντῃ τε καὶ πάντως οὐ μόνον τὰ μεγίστας ἔχοντα δυνάμεις καὶ γνωσθῆναι ῥᾴστας, ἀλλὰ καὶ τὰ ἄλλα, τὰ ἐλάττους καὶ γνωσθῆναι μὴ ῥᾴστας, εὑρήσει κατ᾽ ἔνδειξιν· διὰ μιᾶς γὰρ ὁδοῦ πάντα εὑρίσκεται. ἡ γὰρ ἐν τῇ μασχάλῃ κε-

φαλὴ τοῦ βραχίονος μεγίστην ἔχει τὴν δύναμιν καὶ ἐτι
τάτην τὴν διάγνωσιν, ἡ δὲ τῶν μυῶν διάθεσις ἐπισκέ
πλείονος δεῖται· ἀλλ' ὅμως καὶ αὕτη, κατ' ἀμφότερα λι
μένη, τό τε τῆς διαγνώσεως ῥᾷστον καὶ τὴν δύναμιν,
κατὰ τὴν μασχάλην ὄγκου, διὰ τῆς αὐτῆς θεωρίας τοῖς
χνικοῖς ἰατροῖς εἰς γνῶσιν ἔρχεται. Εἰκότως οὖν Ἱπποκρ
ἐκέλευσε τὰς διαγνώσεις τῶν παθῶν, ἃς καὶ σημειώσεις
μάζουσιν οἱ νεώτεροι, κατὰ τὴν τοῦ ὁμοίου καὶ ἀνομοίου
ρίαν ποιεῖσθαι πρὸ τῶν ἄλλων τῆς τέχνης ἔργων, τουτ
τῶν κατὰ πρόγνωσίν τε καὶ θεραπείαν· εἰκότως δὲ καὶ
τῶν μεγίστων τε τῇ δυνάμει καὶ ῥάστων τῇ διαγνώσει
πρὸς τούτοις ἔτι, τρίτον, τῶν πάντη μὲν καὶ πάντως
τούτοις γιγνωσκομένων, ἀπολειπομένων δὲ ἀξιώματί τε
τῷ τῆς διαγνώσεως ἑτοίμῳ. Προειρηκὼς οὖν διὰ τούτων
ὧν χρὴ τὰς διαγνώσεις τῶν παθῶν ποιεῖσθαι, τουτέστι
διὰ τῶν ὁμοίων τε καὶ ἀνομοίων τοῖς κατὰ φύσιν ἔχο
ὁποῖά γε ταῦτα ὑπάρχει, μεταβαίνων κατὰ τὴν ἑξῆς
ἐπὶ τὴν διδασκαλίαν αὐτῶν, ὀνομαστὶ λέγει.

Β'.

ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστι·

Τὸ διαγνωστικὸν τῶν παθῶν μέρος τῆς τέχνης πά
πρῶτον ἀσκεῖν ἀξιώσας ἐκ τῶν ὁμοίως τε καὶ ἀνομοί
χόντων κατὰ τὸ σῶμα τοῦ κάμνοντος ὡς πρὸς τοὺς ὑ
νοντας· καὶ ὡς τὰ μέν ἐστι καὶ μέγιστα καὶ ῥᾷστα,
σὺν αὐτοῖς ἐξ ἀνάγκης γιγνώσκεται· νῦν ἤδη, τίνα ταῦ
στι, καθάπερ ἔφην, διδάσκει, λέγων « *ἃ καὶ ἰδεῖν κα
γεῖν καὶ ἀκοῦσαι ἔστι* »· ἰδεῖν μὲν δηλονότι τὰ ὁρατ

γεῖν δὲ τῶν ἁπτῶν, ἀκοῦσαι δὲ τῶν ἀκουστῶν. Τῶν μὲν οὖν κατὰ τὸ πρόσωπον ἐν ἀρχῇ τοῦ Προγνωστικοῦ γεγραμμένων ἐστιν ἰδεῖν μὲν, ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, καὶ κροτάφους συμπεπτωκότας· θιγεῖν δὲ, ὤτων ψυχρῶν· ἰδεῖν δὲ ἅμα καὶ θιγεῖν, τοῦ κατὰ τὸ μέτωπον δέρματος, σκληροῦ ὄντος καὶ καρφαλέου καὶ περιτεταμένου· ἀκοῦσαι δὲ, τῶν ἐν τοῖς ἐφεξῆς τοῦ βιβλίου εἰρημένων, πταρμοῦ καὶ βηχὸς καὶ φύσης ἐμψόφου, ἢ, φθεγγομένου παρὰ φύσιν τοῦ κάμνοντος, ἤτοι κατὰ παραφροσύνην κλαγγώδους, ἢ βραγχώδους ἢ τοιοῦτόν τι πάθος ἐχούσης τῆς φωνῆς. Ἐν δὲ τοῖς κατὰ χειρουργίαν ἰδεῖν μὲν ἔστι τὰ μελαινόμενα, τὰ ἐρυθραινόμενα, τὰ καθ' ὁντιναοῦν τρόπον ἐξαλλάττοντα τὴν κατὰ φύσιν χροιὰν ἢ φυλάττοντα· καὶ πρὸς τούτοις ἔτι, καθάπερ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, κοιλότητα μὲν ἐπωμίδος, ἀκρωμίου δὲ ἀνάτασιν ἰδεῖν ἔστι· θιγεῖν δὲ, τῆς ἐν μασχάλῃ κεφαλῆς· ἀκοῦσαι δὲ, τῶν γιγνομένων ψόφων ἐν τῷ τοῦ κάμνοντος σώματι, καθάπερ ἐπὶ θώρακος συντετρημένου, πνεύματος ἐκφυσωμένου διὰ τοῦ τραύματος.

Γ'.

Ἃ καὶ τῇ ὄψι καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι.

Τῶν αἰσθήσεων ἁπασῶν τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν ἥν γε καὶ νοῦν καὶ φρένα καὶ λόγον κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπεὶ δὲ καὶ τῶν κατὰ φωνήν ἐστί τις λόγος, ἀφορίζοντες οὖν τοῦτον, τὸν προειρημένον λόγον οἱ φιλόσοφοι καλοῦσιν ἐνδιάθετον· ᾧ λόγῳ τά τε ἀκόλουθα καὶ τὰ μαχόμενα διαγιγνώσκομεν, οἷς ἐμπεριέχεται καὶ

διαίρεσις καὶ σύνθεσις καὶ ἀνάλυσις καὶ ἀπόδειξις, ὅσα τ' ἄλλα τοιαῦτα. Διὰ τί δέ, τῶν τῆς ῥινὸς καὶ τῆς γλώττης αἰσθήσεων ἰδίᾳ πρότερον οὐ μνημονεύσας ἐν τῷ φάναι 'ἃ καὶ *ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστιν*,, ἑξῆς τῶν πέντε μετὰ τῆς γνώμης ἐμνημόνευσεν, εἰκότως ζητεῖται. καὶ δὴ καὶ λέλεκται πολλοῖς πολλά, τὰ μὲν ἀπίθανα καὶ ἀνάξια μνήμης, τὰ δὲ πιθανὰ καὶ μνήμης ἄξια, τὴν ἀρχὴν ποιησαμένοις ἐνθένδε. τὸν Ἱπποκράτην φασὶ κελεύειν ἡμᾶς τὰς διαγνώσεις ποιεῖσθαι τῶν παθῶν ἐξ ὁμοιότητός τε καὶ ἀνομοιότητος τῶν αἰσθητῶν· αἰσθητὰ δὲ κυρίως λέγεσθαι τὰ μὴ δεόμενα δυνάμεως ἑτέρας εἰς διάγνωσιν, ἀλλ' ἀρκούμενα μόνη τῇ τῆς αἰσθήσεως γνώσει· οὐ κυρίως δέ, ὅμως λέγεσθαι καὶ αὐτὰ κατὰ τὴν αὐτὴν προσηγορίαν αἰσθητά, τὰ διὰ πλειόνων αἰσθήσεων ἅμα μνήμῃ τῇ ἐν τῷ καλουμένῳ ἐνδιαθέτῳ λόγῳ συναριθμήσει τε καὶ συγκεφαλαιώσει τὴν διάγνωσιν ἔχοντα. τὸ μὲν οὖν χρῶμα τῶν κυρίως λεγομένων αἰσθητῶν εἶναι, καθάπερ τὸν χυλὸν καὶ τὸν ἀτμὸν καὶ τὴν φωνήν, ὡσαύτως δὲ σκληρότητα καὶ μαλακότητα καὶ θερμότητά τε καὶ ψυχρότητα καί, συνελόντι φάναι, τὰς ἁπτὰς ἁπάσας ποιότητας· οὔτε δὲ μῆλον οὔτε ῥοιὰν οὔτε ἄπιον οὔτε ἄλλην οὐσίαν φασὶν ὅλην αἰσθήσει γνωστὴν ὑπάρχειν, ἀλλ', ὡς ὁ Πλάτων ἔλεγε, δόξῃ μετ' αἰσθήσεως ἀλόγου· δοξαστὰ δὲ τὰ πάντα εἶναι, καὶ διὰ τοῦτό γέ που σφάλλεσθαι πολλάκις ἐν ταῖς διαγνώσεσιν αὐτῶν ἐνίους, ὅταν ἤτοι χρῶμα μόνον ἢ σχῆμα ἢ ἄμφω ταῦτα θεάσηταί τις παραπλήσια τῷ πρόσθεν ὀφθέντι· καὶ γὰρ μῆλα καὶ ῥοιὰς καὶ ἄπια καὶ σταφυλὰς καὶ κάρυα καὶ ἄλλα πολλὰ φαίνεσθαι σιτίων πεπλασμένων ἐκ κηροῦ, πρὶν ὀσμήσασθαί τε καὶ γεύσασθαι καὶ ἅψασθαι, τοῖς ἀληθι-

κῆς ἀπαράλλακτα· πάσαις δ' ἄν τινα ταῖς αἰσθήσεσιν ὑπο-
βάλλοντα τὴν κρίσιν αὐτῶν μὴ δύνασθαι σφαλῆναι· τὸ δὲ
πάσαις ὑποβάλλειν οὐκ ἄνευ μνήμης καὶ συναριθμήσεως· καὶ
ταύτην οὔτε αἰσθήσεως οὔτε μνήμης, ἀλλὰ τῆς γνώμης ἔρ-
γον εἶναι, τουτέστι τῆς διανοίας. *ὀνομάζουσι δὲ τὴν συνα-
ρίθμησιν οὐχ οὕτως μόνον, ἀλλὰ καὶ συγκεφαλαίωσιν*. ὅτε
μὲν οὖν εἶπεν Ἱπποκράτης 'ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀ-
κοῦσαι ἔστιν', ὡς ἐν παραδείγματος μοίρᾳ μνημονεῦσαί
καὶ τῶν αἰσθητῶν αὐτόν· ὁπότε δὲ ἀποχωρήσας τῶν ἁπλῶς
καὶ κυρίως αἰσθητῶν ἐπὶ τὰς ὅλας οὐσίας μετέβη, προ-
σηκόντως αὐτὸν ἐνταῦθα τῶν τε αἰσθήσεων ἁπασῶν καὶ σὺν
αὐταῖς τῆς γνώμης μνημονεῦσαι. ὡς εἶναι τὸν ὅλον λόγον
τοιοῦτον· ἄρχεσθαι προσήκει τὸν ἰατρὸν ἐπὶ τῆς τῶν παθῶν
διαγνώσεως ἀπὸ τῆς τοῦ ὁμοίου τε καὶ ἀνομοίου θεωρίας,
ποτὲ μὲν μόνων τῶν ἁπλῶν ποιοτήτων ποιούμενον τὴν πα-
ραβολήν, ἐνίοτε δὲ ὅλων τῶν σωμάτων. ἔστι μὲν γὰρ ἥδε
ἡ ἐξήγησις οὐκ ἄλογος· ἔστι δὲ καὶ ἑτέρα τις τοιάδε· τὸν
Ἱπποκράτην φασίν, ὁπότε μὲν εἶπεν 'ἃ καὶ ἰδεῖν καὶ θιγεῖν
καὶ ἀκοῦσαι ἔστιν', ἐπὶ τοῦ ἰατροῦ πεποιῆσθαι τὸν λόγον·
ὁπότε δὲ ἐφεξῆς τῶνδέ φησιν 'ἃ καὶ τῇ ὄψει καὶ τῇ ἀκοῇ
καὶ τῇ ἁφῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔ-
στιν αἰσθέσθαι', ἐπὶ τοῦ κάμνοντος αὐτῷ γεγονέναι τὸν
λόγον, ἵνα μὴ μόνον ἐξ ὧν αὐτὸς ὁ ἰατρός, ἀλλὰ καὶ ἐξ ὧν
ὁ κάμνων ὁρᾷ καὶ ἅπτεται καὶ ἀκούει καὶ ὀσφραίνεται καὶ
γεύεται καὶ τῇ γνώμῃ διάκειται κατανοῶν ἢ παρανοῶν, ἡ
διάγνωσις γένηται. τὸ γὰρ ἐκ τῆς γνώμης τοῦ κάμνοντος
ὠφελεῖσθαί τι τὸν ἰατρόν, ἐκ τοῦ παρανοεῖν αὐτὸν ἢ κατα-
νοεῖν γιγνώσκειν γίγνεσθαι. Τινὲς δὲ τὸ μὲν 'ἃ καὶ τῇ ὄψει

καὶ τῇ ἀφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ, λελέχθαι φασὶν ἐπὶ τοῦ κάμνοντος αὐτοῦ, τὸ δὲ *'καὶ τῇ γνώμῃ*, περὶ τοῦ ἰατροῦ· τὴν γὰρ τούτου γνώμην ἐξ ὧν ὁ κάμνων ὁρᾷ καὶ ἀκούει καὶ ἅπτεται καὶ ὀσμᾶται καὶ γεύεται ὡς ἐκ τῆς νόσου, συλλογίζεσθαί τε καὶ τεκμαίρεσθαι περὶ τοῦ κάμνοντος. ἐὰν μὲν γὰρ ἅπαντα τούτῳ φαίνηται γευομένῳ πικρὰ, καθάπερ τοῖς ἰκτεριῶσι, χολῆς ἐμπεπλῆσθαι τὴν γλῶτταν· ἐὰν δὲ ἁλυκὰ, φλέγματος ἁλυκοῦ· ἐὰν δὲ ὀξέα αὖ, ὀξέος. οὕτω δὲ καὶ τοῦ ἰδίου ἱδρῶτος ἐνίοτε παραῤῥυέντος εἰς τὸ στόμα, τῆς ποιότητος αἰσθέσθαι φασὶ τὸν κάμνοντα. Τοῖς τοῦτον τὸν τρόπον ἐξηγουμένοις ἐναντιοῦσθαι δοκεῖ τὸ παραλελεῖφθαι τὴν ὄσφρησιν τοῦ ἰατροῦ· ,καίτοι χρωμένου αὐτοῦ ταύτῃ πρὸς πολλά· καὶ γὰρ ἐπὶ διαχωρημάτων καὶ οὔρων καὶ πτυέλων καὶ αὐτῆς τῆς τοῦ κάμνοντος ἐκπνοῆς χρῆται τῇ τῆς ὀσφρήσεως αἰσθήσει κατὰ τὴν σημείωσιν. ἐγχωρεῖ δὲ ταύτην παραλελεῖφθαι φάναι ὑπὸ τοῦ βιβλιογράφου, καθάπερ καὶ ἄλλα πολλὰ ἐν πολλοῖς βιβλίοις, Ἱπποκράτους τε καὶ ἄλλων, εὑρίσκομεν τὰ μὲν ἡμαρτημένα φανερῶς, τὰ δὲ παραλελειμμένα. Καὶ μὴν καὶ τοιαύτην ἐξήγησιν ἔγραψάν τινες· οὐ τὸ αὐτὸ σημαίνεσθαί φασιν ἐκ τοῦ φάναι *'ἃ καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστι*, , τῷ *'ἃ καὶ τῇ ὄψι καὶ τῇ ἀκοῇ καὶ τῇ ἀφῇ ἔστιν αἰσθάνεσθαι*,· ἰδεῖν μὲν γὰρ ἔστι καὶ θιγεῖν καὶ ἀκούειν μὴ καταληπτικῶς, αἰσθάνεσθαι δὲ οὐκέτι μὴ καταληπτικῶς. ἔστι δὲ ἡ τοιαύτη τῆς αἰσθήσεως ἐξήγησις Σιμίου τοῦ Στωϊκοῦ· διὸ καὶ τοῦ Κοΐντου μαθητὴς Ἰφικιανὸς αὐτὴν προσήκατο, τὴν Στωϊκὴν ἀσπαζόμενος φιλοσοφίαν. ἀλλ' ὃ λέγουσιν, ἐστὶ τοιοῦτον· τὸ μὲν ἕτερον μέρος τῆς ῥήσεως περὶ τοῦ γένους ὅλου διδάσκει

ιαγμάτων, ἐξ ὧν αἱ σημειώσεις ἡμῖν γίγνονται· τὸ δὲ
ν περὶ τοῦ κατ' αὐτὸ διηκριβωμένου τε καὶ πιστοῦ.
ιαὶ οὕτως ἐγέγραπτο· ποιεῖσθαι προσήκει τὸν ἰατρὸν
γνώσεις ἀπὸ τῶν ὁμοίων τε καὶ ἀνομοίων τοῖς κατὰ
ἐν τῷ τοῦ κάμνοντος σώματι φαινομένων· τούτων δὲ
αἰσθητὰ οὐχ ὅσα παρεῖδεν ἢ παρήκουσεν ἢ ὅλως πα-
ο κατά τινα τῶν αἰσθήσεων, ἀλλ' ἃ καλῶς καὶ κατα-
ιῶς τῶν αἰσθήσεων ᾔσθετο ἑκάστῃ καὶ τῇ γνώμῃ· συγ-
θαι γάρ φασι τῇ τοῦ *αἰσθέσθαι* φωνῇ τὸν Ἱπποκρά-
ιὶ κατὰ τῆς γνώμης. καὶ τοίνυν ἐν τῷ πρώτῳ μέρει
σεως ἑνὸς ἢ καὶ δυοῖν ἔτυχε μνημονεύσας, ὅλον γὰρ
ιος αὐτῶν ἐκ παραδείγματος ἐνεδείξατο· κατὰ δὲ τὸ
ον μέρος τῆς ῥήσεως ἁπασῶν ἐμνημόνευσε μετὰ τῆς
ς, ἀσφαλῆ καὶ βέβαιον τὴν ἀπόφασιν ποιούμενος, ἐ-
πάσαις ὑπάρχει κοινὸν τὸ καταληπτικῶς τῶν ὑποκει-
ἀπομάσσεσθαι τὰς ἰδέας. Ἐπεὶ δὲ ὅπερ ὑπεσχόμην
ι διῆλθόν τε ὅσα πιθανῶς εἴρηταί τισιν εἰς τὸ μὴ δο-
ὸν Ἱπποκράτην πολλάκις εἰρηκέναι περὶ τῶν αὐτῶν,
ἐν ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ μετέρχεσθαι, σοὶ δὲ, τίς
τῶν εἰρημένων ἀρίστη ἂν εἴη σκεψαμένῳ, ταύτην αἱ-
ι. Μέμνημαι δὲ καὶ περὶ τοῦ τῆς γνώμης ὀνόματος
ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ τῷ εἴτε διανοίας εἴτε
νοήσεως ἐλέγετο. πολλῶν οὖν ὄντων εἰς τοῦτο μαρτυ-
ὀλίγας παραθήσομαι. Κριτίας μὲν οὖν ἐν τῷ πρώτῳ
μῷ τάδε γράφει· 'μήτε ἃ τῷ ἄλλῳ σώματι αἰσθάνε-
ήτε ἃ τῇ γνώμῃ γιγνώσκει. καὶ πάλιν· 'γιγνώσκου-
ἄνθρωποι, εἰ τίς μὲν ὑγιαίνει, τῇ γνώμῃ. καὶ ἐν Ὁ-
ι προτέρῳ· 'εἰ δ' αὐτὸς ἀσκήσειας, ὅπως γνώμη φανῇ

ἱκανὸς, ἥκιστα ἂν οὕτως ὑπ' αὐτοῦ ἂν ἀδικηθείης. καὶ πολλάκις ἐν τῷ αὐτῷ καὶ ἐν τῷ δευτέρῳ ἀντιδιαιρῶν ταῖς αἰσθήσεσι τὴν γνώμην εἴρηκεν· ὥσπερ καὶ ὁ Ἀντιφῶν ἐν τῷ πρώτῳ περὶ ἀληθείας λόγῳ ταῦτα διαγνούς φησιν· *ἣν ὄψις ὁρᾷ μακρότητα, ταύτην γνώμη γιγνώσκει ὁ μακρότητα γιγνώσκων.*. καὶ γὰρ ἐν πᾶσιν ἡ γνώμη τοῦ σώματος ἡγεῖται. καὶ ὁ Πλάτων ἐν ἄλλοις τε καὶ κατὰ τὸ έ τῆς Πολιτείας· 'οὐκοῦν τούτου μὲν τὴν διάνοιαν ὡς γιγνώσκοντος γνώμην ἂν ὀρθῶς φαῖμεν εἶναι, τοῦ δὲ ὡς δοξάζοντος δόξαν ;'. καὶ Λυσίας, κατὰ Πολιούχου· 'ἐκεῖνος γὰρ ὅσα τῇ ἑαυτοῦ γνώμῃ χρώμενος ὑπὲρ τοῦ ἡμετέρου πλήθους ἔπραξε, πανταχοῦ φανήσεται πολλῶν μὲν καὶ ἀγαθῶν αἴτιος τῇ πόλει γενόμενος, πλεῖστα δὲ καὶ κάκιστα τοὺς πολεμίους ἐργασάμενος'. καὶ Αἰσχίνης δὲ ὁ Σωκρατικὸς ἐν τῷ Μιλτιάδῃ κατὰ τὸ αὐτὸ σημαινόμενον κέχρηται τῷ ὀνόματι, καὶ Ὑπερίδης ἐν τῷ Κατὰ Διοκλέους, καὶ ἄλλοι ῥήτορές τε καὶ ἰατροὶ καὶ ποιηταί· περιττὸν δὲ πάντων μνημονεύειν.

Δ'.

ἃ οἷς γιγνωσκόμενα ἅπασιν ἔστι γνῶναι.

Ζητεῖται κἀνταῦθα προσηκόντως, τίνες ποτέ εἰσιν ἄλλαι δυνάμεις παρά τε τὴν αἴσθησιν καὶ τὴν γνώμην ὑπὸ τῆς φύσεως ἡμῖν δεδομέναι, διαγνωστικαὶ τῶν ἐκτὸς ὑποκειμένων· ὡς γὰρ οὐκ εἰρηκὼς ἁπάσας, οὕτως ἐπήνεγκε '*ἃ οἷς γιγνωσκόμενα ἅπασιν ἔστι γνῶναι*'. Διὰ τί τοίνυν αὐτὸν οὕτως εἰπεῖν νομίζω, ἤδη φράσω, προειπών τι πρότερον, ἀναγκαῖον ἂν εἰς τὰ μέλλοντα λεχθήσεσθαι, πολλοῖς ἤδη καὶ πάλαι εἰρημένον, οἷς ἀρέσκει μηδεμίαν εἶναι δόξαν ὧν οἱ τὰς αἱρέ-

συστήσαντες φιλόσοφοι δοκοῦσιν εὑρηκέναι, καινήν, πάν-
δὲ τὰ εὑρημένα τῷ πρόσθεν χρόνῳ πολλάκις ἅμα τῇ τῶν
τιῶν γνώμῃ διεφθάρθαι. μὴ τοίνυν δίωκέ μοι τὴν Πυῤ-
ειον αἵρεσιν ἢ Ἀκαδημαϊκὴν ἢ Στωϊκὴν ἢ Περιπατητικὴν
να ἄλλην ὕστερον Ἱπποκράτους γεγονυίαν τῇ τῶν δογ-
ων αὐτῶν ἐξαπατώμενος δόξῃ. αὐτοὶ γοῦν οἱ τοῦ Πυῤῥώ-
ειὶς παλαιοτάτους ἄνδρας ἀνάγουσι τὴν αὐτῶν αἵρεσιν.
ε οὖν καὶ καθ' Ἱπποκράτην, μᾶλλον δὲ οὐκ εἰκός, ἀλλ'
γκαῖον, ἀμφισβητεῖν ἀλλήλοις τοὺς τότε περὶ τῶν φυ-
ὶν κριτηρίων, τοὺς μὲν μηδὲν εἶναι λέγοντας τοιοῦτον,
ἔπορ ὕστερον οἱ Πυῤῥώνειοι, τοὺς δὲ τὴν αἴσθησιν μόνην·
ς δὲ ταύτην μὲν ἀτιμάζειν, νομίζειν δὲ ἀληθὲς εἶναι τὸ
φερόμενον δὴ τοῦτο 'νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, τὰ δ' ἄλ-
κωφὰ καὶ τυφλά.' τινὰς δ' ἀμφότερα φύσει κριτήρια τε-
θαι τῶν μὲν αἰσθητῶν τὴν αἴσθησιν, τῶν δὲ νοητῶν τὸν
· τινὰς δὲ πρὸς ταύταις καὶ ἄλλας τῇ ψυχῇ ἡμῶν δυ-
ις εἶναι νομίζειν. Ὅπως οὖν αὐτῶν ἐκφύγῃ τὴν ἐπή-
ὁ Ἱπποκράτης, αὐτὸς μὲν ἐμνημόνευσε δυοῖν κατὰ γέ-
δυνάμεων, αἰσθήσεως τε καὶ διανοίας, ἅς ἴστε κἀμὲ διὰ
τὸς ἐπιδεικνύντα μόνα ἡμᾶς ἔχειν κριτήρια τῆς γνώ-
· ἕνεκα δὲ τῶν σοφιστῶν τῷ λόγῳ προσέθηκεν 'ἃ οἷς
ωσκόμενα ἅπασιν ἔστι γνῶναι. τινὲς γὰρ οἴονται τὸν
νοῦν ἄλλης εἶναι φύσεως, τὴν δὲ διάνοιαν ἄλλης, τὸν
νδιάθετον ὀνομαζόμενον λόγον ἄλλης, τινὲς δὲ καὶ τού-
ἔτι πλείους εἰσάγουσι δυνάμεις. ἐμοὶ δὲ ἐν τοῖς *Περὶ*
κοινοῦ λόγου βιβλίοις δέδεικται τρεῖς εἶναι τὰς πάσας
μῖν δυνάμεις, αἷς χρώμεθα πρός τε τὰς τῶν τεχνῶν συ-
σεις καὶ τὸν βίον ὅλον, αἴσθησίν τε καὶ νοῦν καὶ μνήμην·

ἀλλὰ τὴν μὲν μνήμην ἀποτίθεσθαί τε καὶ φυλάττειν ἐν αὐτῇ τὰ γνωσθέντα δι' αἰσθήσεως καὶ νοῦ, ταμεῖόν τι τῶν εὑρημένων τούτοις οὖσαν, οὐκ αὐτὴν εὑρίσκουσαν ἑκάστου πράγματος φύσιν· εἰς δὲ τὴν τῶν ζητουμένων εὕρεσίν τε καὶ κρίσιν, αἴσθησίν τε καὶ νοῦν ἡμῖν ὑπάρχειν φύσει. ἀλλ' ὅταν γε μὴν περὶ τούτων αὐτῶν ὁ λόγος ᾖ, συγχωρεῖ τις τοῖς ἄλλην μὲν δύναμιν εἶναι τῆς νοήσεως ὑπολαμβάνουσιν, ἄλλην δὲ τοῦ λόγου, καὶ νῦν πάλιν ἄλλην, εἰ βούλονται, τοῦ νοῦ καὶ τῆς διανοίας· ἀρκούμενος τούτῳ πρὸς αὐτοὺς, ὡς ἐναργῶς ἅπαντες ἄνθρωποι διαγιγνώσκουσι καὶ μῆλον καὶ μέσπιλον καὶ σταφυλὴν καὶ ἄλλα ὅμοια ὀσπρίων, εἴτε διὰ μιᾶς δυνάμεως ψυχικῆς, εἴτε διὰ δυοῖν ἢ τριῶν ἢ πλειόνων ἡ διάγνωσις αὐτῶν γίγνεται. πεπεισμένοι δέ εἰσιν ὡσαύτως ἅπαντες οἱ ἄνθρωποι, καὶ κίνησιν εἶναί τε καὶ αἴτιον καὶ σημεῖον, αὐτά τε ταῦτα τὰ προειρημένα, νοῦν καὶ μνήμην καὶ προαίρεσιν· ἃ πρὸς ἄλλοις πολλοῖς ἀνατρέπειν ἐπεχείρησεν Ἀσκληπιάδης ὡς οὐκ ὄντα. Τούτων οὖν μοι προειρημένων, ἤδη, νομίζω, σαφὲς γέγονεν, οὗ τινος ἕνεκα ἐπὶ τελευτῇ, τῆς διδασκαλίας αὐτάρκως γεγενημένης, ὁ Ἱπποκράτης προσέγραψεν *'ἃ οἷς γιγνωσκόμενα ἅπασιν ἔστι γνῶναι,*. ἄρχεσθαι μὲν γὰρ προσήκει τὸν ἰατρὸν τῶν ἔργων τῆς τέχνης, ἐπὶ τῆς διαγνώσεως τῶν παθῶν, παραβάλλοντα τὰ κατὰ τὸν νοσοῦντα φαινόμενα τοῖς τῶν ὑγιαινόντων καὶ θεωροῦντα, τίνα μὲν ὅμοια, τίνα δὲ ἀνόμοια, τὴν γνῶσιν δὲ καὶ αὐτῶν καὶ τῶν ἄλλων ἁπάντων περαίνειν αἰσθήσει τε καὶ γνώμῃ, καὶ, εἴ τι δόξει ἄλλο πρὸς τούτοις κοινὸν ἁπάντων εἶναι φύσει κριτήριον, ὁμοίως χρῆσθαι κἀκείνοις εἰς τὴν τῶν εὑρημένων κρίσιν. τοῦ γιγνώσκειν γὰρ, ὡς ἅπαντες ἄνθρωποι, οὕτω καὶ

μεῖς εἰς τὰ τῆς τέχνης ἔργα, τὴν μὲν οἷον ὕλην ἔχομεν τὰ αἰσθητά· ἃ δηλοῖ ἐν οἷς φησιν 'ἃ *καὶ ἰδεῖν καὶ θιγεῖν καὶ ἀκοῦσαι ἔστιν*.' τὴν δὲ τούτων κριτικὴν διττήν, αἴσθησίν τε καὶ γνώμην, ἃς διὰ τῆς ἐχομένης ῥήσεως ἐδήλωσεν εἰπὼν ἃ *καὶ τῇ ὄψι καὶ τῇ ἁφῇ καὶ τῇ ἀκοῇ καὶ τῇ ῥινὶ καὶ τῇ γλώσσῃ καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι*.' ὑπηρετοῦσαν δὲ ἀμφοτέραις ἐναργῶς ὁρῶμεν τὴν μνήμην. εἰ δέ τινα καὶ ἄλλην ἐπεισαγάγοι τις δύναμιν, οὐδ' ἐκείνην ἡμῶν ἀρνησαίμην ἄν, ἐὰν ὄντως φαίνηται χρήσιμος ἡ ἐπεισαγωγὴ ὑπάρχουσα. διὰ γὰρ τοῦ φάναι '*οἷς γιγνωσκόμενα ἅπασιν ἔστι γνῶναι*', περιέλαβε μὲν καὶ τὴν γνώμην, ἐξουσίαν δὲ ἔδωκε τοῖς βουλομένοις εἶναί τινα καὶ ἄλλην κριτικὴν δύναμιν, ἐπιδεικνύειν ἡμῖν αὐτήν. Τὰ μὲν οὖν ἄχρι δεῦρο κατὰ τὸ βιβλίον Ἱπποκράτους γεγραμμένα κοινὰ τῆς ὅλης ἰατρικῆς ἐστι, καὶ διὰ τοῦτό γε ἔφην αὐτὰ προοίμιον συμπάσης τῆς τέχνης εἶναι· τούτων δ' ἐφεξῆς ἐπὶ χειρουργίαν ἀποκεχώρηκε καὶ ταύτης ἃ κατὰ τὸ ἰητρεῖον ἢ μανθάνειν ἢ πράττειν ἐξ ἀρχῆς οἱ κατὰ τὴν τέχνην ἀσκούμενοι δύνανται. καὶ μὴ νομίσῃ μέ τις παρὰ τὸ ἐμὸν ἔθος μεμηκυκέναι τὴν ἐξήγησιν· ὅσοι γὰρ κοινοὶ λόγοι τῆς ὅλης τέχνης εἰσί, κατὰ τούτους προσήκει μακρότερον ἢ τοὺς ἐν μέρει λέγεσθαι, καὶ μάλισθ' ὅταν τις αὐτοὺς ἔν τινι πραγματείᾳ διέλθῃ μηκέτι μέλλων αὖθις ἐρεῖν αὐτούς, καθάπερ κἀγὼ προῄρημαι κατὰ τὴν τῶν Ἱπποκράτους βιβλίων ἐξήγησιν ἅπαντα μὲν διακρίνειν αἰσθήσει τε καὶ γνώμῃ, τῶν δ' εἰρημένων ἄρτι λόγων μηκέτι μνημονεύειν. οὐ μὴν οὐδὲ νῦν ἀξίως αὐτοῦ τοῦ πράγματος ἐμήκυνα τὸν λόγον· ἐνὸν γάρ μοι διελθεῖν τε ἅμα καὶ κρῖναι τὴν γεγενημένην διαφωνίαν περὶ τοῦ τῶν ψυχικῶν δυνάμεων

κασῶν τῶν κατὰ τὸ ἰατρεῖον, ἀλλὰ καὶ τούτων αὐτῶν μόνων ὅσαι τοῖς εἰσαγομένοις εἰσὶ χρήσιμοι. καὶ μέν τοι καὶ ἡ ἐπιγραφὴ τοῦ συγγράμματος ἐντεῦθεν ἐγένετο· ἢ παραπλησίους ἐς ὕστερον ἐποιήσαντο Διοκλῆς καὶ Φιλότιμος καὶ Μαντίας· εἶχε δ' ἂν τελεώτερον, εἰ 'Περὶ τῶν κατ' ἰητρεῖον ἐπεγέγραπτο. Θαυμάζω δὲ Ἀσκληπιάδου τὴν μὲν Κατ' ἰητρεῖον γραφὴν φυλάξαντος, σημαίνειν δὲ αὐτὴν οἰομένου περὶ τῶν κατὰ τὴν ἰατρικήν· τὸ γὰρ κατ' ἰητρείην ἐστὶ τούτου σημαντικόν, οὐ τὸ κατ' ἰητρεῖον· πλὴν εἰ μή τις ἰητρεῖον ἐν ἴσῳ τῷ ἰητρείην ἀκούσειεν. Τὰ μὲν δὴ τοιαῦτα περὶ τῶν ὀνομάτων ἴσχει τὴν σκέψιν, ὧν ὀλίγη φροντὶς τοῖς σπουδάζουσι τὴν τῶν πραγμάτων ἀλήθειαν· ἡ δὲ αὐτῶν τῶν προκειμένων διδασκαλία κατὰ τὴν ἑξῆς λέξιν ἄρχεται.

ΣΤ'.

ὁ ἀσθενέων· ὁ δρῶν· οἱ ὑπηρέται· τὰ ὄργανα· τὸ φῶς· ὅκου, ὅκως· ὁκόσα, οἷσιν, ὅκως· ὁκότε· τὸ σῶμα, τὰ ἄρμενα· ὁ χρόνος· ὁ τρόπος· ὁ τόπος...

Διὰ ταύτης τῆς ῥήσεως ἅπαντα διῆλθεν ὑφ' ὧν καὶ δι' ὧν καὶ μεθ' ὧν καὶ περὶ ἃ τὸ χειρουργικὸν μέρος τῆς τέχνης καταγίγνεται. διέξεισι δὲ ἐφεξῆς ὁποῖόν τε τῶν εἰρημένων ἕκαστον εἶναι προσήκει καὶ καθ' ὅντινα τρόπον ἢ χρόνον εἰς χρῆσιν ἄγεσθαι. ἔστι δ' αὐτῶν τὰ μὲν πλεῖστα σαφῆ, καθάπερ ὁ ἀσθενέων καὶ ὁ δρῶν καὶ οἱ ὑπηρέται καὶ τὰ ὄργανα καὶ τὸ φῶς. καὶ μέν τοι καὶ αὐτὸς ὁ συγγραφεὺς ἑξῆς ὑπὲρ αὐτῶν διῆλθεν, ὅπως μὲν ἑαυτὸν χρὴ παρέχειν τῷ ἰατρῷ τὸν ἀσθενοῦντα διδάξας, ὅπως δὲ δεῖ τὸν ἰατρὸν ἐνεργεῖν ἀμφ' αὐτόν, ὅπως δὲ τοὺς παρόντας τούτῳ ὑπηρετεῖν

ὡσαύτως δὲ καὶ περὶ τῶν ὀργάνων καὶ τοῦ φωτὸς αὐ-
ὅσα προσήκει γιγνώσκειν ἡμᾶς ἐφεξῆς ἔγραψε· μετὰ δὲ
:α περὶ ἐπιδέσεως μακρὰν ἐποιήσατο διδασκαλίαν, οὐ
ὲ τὸ τῆς λέξεως εἶδος μηκύνας, ἐν ὅλῳ γὰρ τῷ βιβλίῳ
ίττει τὴν βραχυλογίαν· ,ἀλλὰ τῷ βουληθῆναι μηδὲν πα-
πεῖν τῶν χρησίμων. Ὅσα τοίνυν ἐκτὸς ἀσθενοῦντος καὶ
ντος καὶ ὑπηρετῶν καὶ ὀργάνων καὶ φωτὸς εἴρηται κατὰ
προκειμένην ῥῆσιν, ἐπισκέψασθαι χρὴ, καὶ πρῶτόν γε τὸ
τον ἐν αὐτοῖς εἰρημένον, τὸ ὄκου, διὰ τοῦ μὲν κ τῆς
:έρας συλλαβῆς ὑπὸ τῶν Ἰώνων λεγομένης, πρὸς ἡμῶν
ιὰ τοῦ π, καὶ σημαίνοντος τὸν τόπον ἐν ᾧ κείμενόν τι
ίάνει. διὸ καὶ κατὰ πάντων αὐτό τις εἰρῆσθαι τῶν προει-
νων οὐκ ἂν ἄπο τρόπου φαιή. ὅ τε γὰρ ἀσθενῶν ἐπιτη-
ι τόπου δεῖται, κέκληκε δὲ ἀσθενοῦντα δηλονότι περὶ
ι χειρουργία γίγνεται· ,τούτου δ' οὐχ ἧττον ὁ ἰατρός·
ρ γε καὶ τὰ ὄργανα τοῦ προσήκοντος τόπου χρῄζει· καὶ
φωτὸς δὲ τὸ τεχνικὸν ὡσαύτως ἐφ' ἡμῖν ἐστιν ἐν τῷδε
τόπῳ ποιῆσαι. Τὸ δὲ ἐφεξῆς γεγραμμένον, τὸ ὄκως, ἡ-
μὲν διὰ τοῦ π λέγομεν ὅπως· σημαίνει δὲ, οὐ παρ'
μόνον, ἀλλὰ καὶ παρὰ τοῖς Ἴωσι, τὴν οἷον ποιότητα
διδασκομένων πραγμάτων. οὐ γὰρ μόνον τὸ τοῦ χρὴ
ικείμενον ἢ καθήμενον χειρουργεῖσθαι τὸν ἀσθενοῦντα
τασθαι ἄξιον τοῖς μανθάνουσι τὴν τέχνην, ἀλλὰ καὶ τὸ
ἔχειν χρὴ σχήματος αὐτόν τε καὶ τὸν πεπονθότα τό-
καὶ τὸν ἐνεργοῦντα καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ. Καὶ
ργανα δὲ οὐ μόνον ἐπιτήδειον ἔχειν δεῖ τὴν θέσιν, ἀλλὰ
παρεσκευάσθαι κατὰ τάξιν· οὕτως γὰρ ἂν εὐληπτότατα
ἕκαστον εἴη καὶ αὐτῷ τῷ ἰατρῷ καὶ τοῖς ὑπηρέταις αὐ-

τοῦ. Φαίνεται δὲ ἐνταῦθα μὲν παραλελοιπὼς τὰ ἄρμενα, ὡς συνυπονοεῖσθαι τοῖς ὀργάνοις δυνάμενα· ὅπως δὲ πάλιν αὐτῶν ἐφεξῆς ἀτάκτως ἐμνημόνευσε, μετ' ὀλίγον ὀψόμεθα. Νυνὶ δὲ τὰ συνεχῆ τοῖς εἰρημένοις ἐξαπλωτέον, ἔνθα φησίν· *ὅσα, οἷς, ὅκως*. ἀναφέρεται δηλονότι τούτων ἕκαστον ἐπὶ τὰ προειρημένα, ἃ παρασκευασθησόμενα πρὸς τὴν χειρουργίαν προσήκει γιγνώσκεσθαι. τοῖς μανθάνουσιν, ὁπόσα τέ ἐστι καὶ οἷς τέ τισιν αὐτῶν καὶ ὅπως χρηστέον· ἵνα τὸ μὲν ὀλίγον ἔμπροσθεν εἰρημένον *ὅκως* ἐφεξῆς τῷ *ὅκου* τὴν ἐν τῇ θέσει ποιότητα δηλοῖ, τὸ δὲ νῦν λεγόμενον τὴν ἐν τῇ χρήσει. ἐπιτέτακται γοῦν ἐκεῖνο μὲν ἐπιῤῥήματι τοπικῷ, τῷ *ὅκου*, τουτὶ δὲ *ἄρθρῳ, τῷ *οἷς*, τινῶν ἀρμένων ἢ ὀργάνων ἐνεργείας δηλῶσαι βουλομένῳ. Τὸ δὲ ἐφεξῆς εἰρημένον *ὁκότε*, προδήλως τὸν καιρὸν δηλοῖ, καθ' ὃν ἑκάστῳ προσήκει χρῆσθαι. Τὰ δὲ μετὰ ταῦτα κατὰ τήνδε τὴν λέξιν οὕτως ἔχοντα *τὸ σῶμα, τὰ ἄρμενα, ὁ χρόνος, ὁ τρόπος, ὁ τόπος*, εἰκότως ἐζήτηται, τίνα διάνοιαν ἔχει. καὶ γὰρ τὸ σῶμα τοῦ πάσχοντος ἔμπροσθεν εἴρηται δυνάμει κατ' ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως, ἐν ᾧ τοῦ ἀσθενοῦντος ἐμνημόνευσε, καὶ ὁ χρόνος ἐν τῷ *ὁκότε*, καὶ ὁ τρόπος ἐν τῷ *ὅκως*, καὶ ὁ τόπος ἐν τῷ *ὅκου*. διὰ τί οὖν φαίνεται ταῦτα λέγων, μετὰ τοῦ καὶ παρελκόντως ἐμβεβλῆσθαι καὶ παρὰ τάξιν αὐτοῖς τὰ ἄρμενα; βελτίονα τάξιν ἔχοντα μετὰ τῶν ὀργάνων τετάχθαι, δυναμένων τε ἡμῶν, εἰ καὶ μηδ' ὅλως ἐγέγραπτο, συνυπονοεῖν αὐτὰ τοῖς ὀργάνοις. ἀλλὰ περὶ μὲν τούτων ἔνεστι λέγειν, ὡς τὰς σμίλας καὶ τὰ τρύπανα καὶ τὰ ἄγκιστρα καὶ τοὺς ξυστῆρας καὶ τοὺς μηνιγγοφύλακας, ὅσα τε ἄλλα τοιαῦτα, προσήκει νῦν ἀκοῦσαι λέγειν αὐτὸν ἄρμενα. δυναμένων δὲ ἡμῶν

τὰ συνυπακούσαι τοῖς ὀργάνοις ὡς ὁμογενῆ, καὶ τὰ κατὰ οἰκείαν σκευὴν πρὸς τὴν θεραπείαν χρήσιμα οἷόν τε κα- ι αὐτὸν ἄρμενα, καθάπερ ἐν τῷ *Περὶ διαίτης ὀξέων* εἰ- · *ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα οἱ θεραπεύοντες ὡς δεῖ*. σκάφας οὖν ἡγητέον λέγειν ὸν καὶ προχόους καὶ λεκάνας καὶ πυέλους, ὅσα τε ἄλλα ; θεραπευομένοις ἐπιτήδεια. Περὶ δὲ τῶν ἅμα τοῖς ἀρμέ- εἰρημένων ἐμμένει τὸ ἄτοπον. ἴσως οὖν εἴρηκε νῦν *σῶ-* μὲν τὸ πεπονθὸς μόριον, *χρόνον* δὲ τὸν ἐζευγμένον αὐ- προσήκει γὰρ ἐν ταῖς χειρουργίαις ἐπίστασθαι, ὁπότε ιστατέον ἐστὶ τοῦ θεραπευομένου πάθους. αὐτὸς γοῦν ἐκέ- τε μήτε κατατείνειν κῶλα μήτ' ἐμβάλλειν ἄρθρα τριταῖα τεταρταῖα. δύναται δὲ καὶ ὁ τῆς χειρουργίας χρόνος εἰ- ῆαι νῦν. ἔνια μὲν γὰρ χρὴ πειρᾶσθαι τάχιστα χειρουρ- , ὅταν ἤτοι διὰ τὸ ψυχθῆναι * κίνδυνος ἕπηται μέγιστος, ἐπὶ τῶν *γαστροῤῥαφιῶν, ἢ * * * * * * φέρονται γὰρ τα- ς εἰς τὸ μέγεθος τῆς ὀδύνης οἱ χειρουργούμενοι· τινὰ δὲ χρόνῳ πλείονι, καθάπερ τὰ ὑποχύματα· δεῖ γὰρ μετὰ καταχθῆναι αὐτὰ κρατῆσαι τὸ παρακέντριον ὡς προσή- μέχρι πολλοῦ κατὰ τὸ χωρίον ἐν ᾧ βουλόμεθα μένειν ριχθέντα βεβαίως αὐτά. Καὶ τοίνυν ὁ *τρόπος* ἐπὶ τῆς τοῦ ους γενέσεως εἰρῆσθαι δύναται, κατὰ τίνα τρόπον ἤτοι κάταγμα γέγονεν ἢ τὸ ἐξάρθρημα, γιγνώσκειν ἀξιοῦντος οῦ τὸν ἰατρὸν, ὥσπερ κἀν τῷ *Περὶ τῶν ἐν κεφαλῇ τραυ- ων* αὐτὸς διῆλθε τοὺς τρόπους, καθ' οὓς αἱ πληγαὶ γί- ιται, κατὰ τήνδε τὴν ῥῆσιν· « *τιτρώσκεται δὲ ὀστέον ἐν τῇ κεφαλῇ κατὰ τόσους τρόπους* ». καὶ ἐφεξῆς πά- « *τῶν δὲ τρόπων ἑκάστου πλείονες ἰδέαι γίγνονται*

τοῦ κατάγματος ἐν τῇ τρώσει. ». καὶ μετὰ ταῦτα πάλιν· « *θλασθείη δ' ἂν τὸ ὀστέον μένον ἐν τῇ αὐτοῦ φύσει καὶ ῥωγμὴ τῇ θλάσει οὐκ ἂν προσγένοιτο ἐν τῷ ὀστέῳ οὐδεμία· δεύτερος οὗτος τρόπος.* ». εἶτ' ἐφεξῆς ἄλλον εἰπὼν ἐπιφέρει· « *τρίτος οὗτος τρόπος.* ». καὶ πάλιν· « *τέταρτος οὗτος τρόπος.* ». εἶτ' ἐφεξῆς· « *πέμπτος οὗτος τρόπος.* ». Ἀπορώτατον δὲ φαίνεται τὸ καὶ τόπου ἤδη πάλιν αὐτὸν μνημονεύειν, ἔμπροσθεν εἰρηκότα τὸ *ὅκου*, δηλωτικὸν ἐπίρρημα τόπου. διὸ καί τινες ἑτέραν ἐξήγησιν ἐποιήσαντο τῆς ῥήσεως ἅμα καὶ τῷ τὴν γραφὴν ἑτέραν εἶναι τοῦ *ὁκότε*· γράφουσι γὰρ ἀντ' αὐτοῦ τὸ *ὅκου*, τὸ προειρημένον. ἀλλ' ὅμως τὴν γραφὴν ἐκείνην, τὴν *ὁκότε*, οἵ τε ἐξηγησάμενοι τὸ βιβλίον ἴσασι καὶ τὰ πλεῖστα τῶν ἀντιγράφων ἔχει. καὶ μέντοι καὶ ταύτην ἀναλήψομαι νῦν αὖθις ὅλην ἕνεκα σαφηνείας, ἔχουσαν οὕτως· '*ὁ ἀσθενέων· ὁ δρῶν· οἱ ὑπηρέται· τὰ ὄργανα· τὸ φῶς· ὅκου, ὅκως· ὁκόσα, οἷσιν· ὅκου τὸ σῶμα, τὰ ἄρμενα· ὁ χρόνος· ὁ τρόπος· ὁ τόπος*...'. φασὶν οὖν ἐν τῷ λέγειν '*ὅκου τὸ σῶμα, τὰ ἄρμενα*' τομὴν αὐτὸν πεποιῆσθαι τοῦ *ὅκου*, τοῦ μὲν κατὰ τὸν ἔμπροσθεν λόγον ἁπλῶς ἀκούσαντα, ὅτι δ' ἐν τῷ προσήκοντι τόπῳ χρὴ τό τε σῶμα τοῦ κάμνοντος καὶ τὰ ἄρμενα κεῖσθαι, νῦν ἐπιδιορίζοντα· τὸ γὰρ *ὅκου* τῷ τε σώματι τοῦ κάμνοντος καὶ τοῖς ἀρμένοις συμβεβηκέναι, 'δυναμένων νῦν ἀρμένων λέγεσθαι τῶν ἔμπροσθεν ὀργάνων εἰρημένων. ἐν ταύτῃ δὲ τῇ γραφῇ μετὰ τῆς εἰρημένης ἐξηγήσεως *ὁ τόπος* ἐπὶ τῇ τελευτῇ τῆς ὅλης ῥήσεως εἰρῆσθαι δόξει κατὰ τοῦ πεπονθότος μορίου τοῦ σώματος. ὀνομάζειν γὰρ εἰώθασιν, ὥσπερ μόρια τοῦ σώματος, οὕτω καὶ τόπους οἱ ἰατροί· καὶ γέγραπταί τισιν ὅλα βι-

ηλία περὶ τόπων πεπονθότων. Ἄχρι μὲν οὖν τοῦδε τὰ κεφάλαια μόνον εἴρηται τῶν διδαχθησομένων πραγμάτων, αὐτὴ δὲ ἡ διδασκαλία κατὰ τὴν ἐφεξῆς ῥῆσιν ἄρχεται· διὸ καὶ προσέχειν ἐκείνοις σε θέλειν ἀξιῶ· τὸ γὰρ οὐκ ὀρθῶς ἐν αὐτοῖς νοηθὲν εἰς τὰ τῆς τέχνης ἔργα βλάπτει. τῶν γε μὴν ἄχρι δεῦρο εἰρημένων, καὶ εἰ μὴ καλῶς τι νοήσειας, οὐ μεγάλη βλάβη.

Z'.

3. *Ὁ δρῶν, ἢ καθήμενος ἢ ἑστεώς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν.*

Ἐν τῇ πρὸ ταύτης ῥήσει κατάλογον ἔφην αὐτῷ γεγονέναι τῶν πραγμάτων, ὑφ' ὧν καὶ δι' ὧν καὶ μεθ' ὧν καὶ περὶ ἃ τὰς χειρουργίας ἀναγκαῖόν ἐστι γίγνεσθαι. τὰ μὲν οὖν ὑφ' ὧν, ὅ τε ἰατρός ἐστι καὶ οἱ ὑπηρέται, τὰ δὲ δι' ὧν, τὰ ὄργανα, τὰ δὲ μεθ' ὧν, τό τε φῶς καὶ ὁ τόπος, περὶ ἃ δὲ, τό τε σύμπαν σῶμα τοῦ χειριζομένου καὶ τὸ πεπονθὸς μόνον. ἐν δὲ τῇ προκειμένῃ ῥήσει καὶ ταῖς ἐφεξῆς ἕκαστον τούτων ὁποῖον εἶναι χρὴ διδάσκει, οὐ μὴν φυλάττων τὴν τάξιν, ἐν ᾗ τὸν κατάλογον ἐποιήσατο· πάντως γὰρ ἂν ἀπὸ τοῦ ἀσθενοῦντος ἤρξατο. σύνηθες δὲ τοῖς παλαιοῖς ἅπασι τοῦτο, καὶ μυρία παρὰ πάντων αὐτῶν βουληθεὶς ἐκλέξῃ παραδείγματα, πρὸς δὲ τὸ παρὸν ἀρκοίη σοι ἓν παρὰ τοῦ ποιητοῦ, τὸ δὴ κατὰ τὸ Β' τῆς Ἰλιάδος εἰρημένον ἐν τῷ καταλόγῳ·

« Τίς τ' ἂρ τῶν ὄχ' ἄριστος ἔην, σύ μοι ἔννεπε,
Μοῦσα,
Ἀνδρῶν ἠδ' ἵππων, οἳ ἅμ' Ἀτρείδῃσιν ἕποντο. » πρώ-

τους γὰρ εἰπὼν τοὺς ἄνδρας, εἶτ' ἐφεξῆς τοὺς ἵππους, οὐ περὶ πρώτων τῶν ἀνδρῶν ἀπέδωκε τὸν λόγον, ἀλλά γέ φησιν·

« Ἵπποι μὲν μέγ' ἄρισται ἔσαν Φηρητιάδαο,
Τὰς Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς,
Ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐίσας,
Τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων,
Ἄμφω θηλείας, φόβον Ἄρηος φορεούσας.
Ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν· ὁ γὰρ πολὺ φέρτατος ἦεν. »

ἐτέρωθι δὲ πάλιν εἰπών·

« Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν »

ἐπήνεγκε, πρὸς τὸ δεύτερον ἀπαντήσας πρότερον,

« Ὀλλύντων τε καὶ ὀλλυμένων. »

ἐν δὲ τῷ Ν τῆς Ἰλιάδος, ὥσπερ ἐξεπίτηδες ἐνδείξασθαι βουλόμενος, ὡς οὐ χρὴ πεφροντικέναι τῆς τοιαύτης τάξεως, πέντε καταλέξας ἐφεξῆς πράγματα, πρὸς μὲν τὸ δεύτερον ἀπήντησε πρῶτον, εἶθ' ἑξῆς πρὸς τὸ πέμπτον, εἶτα πρὸς τὸ τέταρτον, εἶτα πρὸς τὸ τρίτον. ἔστι δὲ τὰ ἔπη, ὧν ἀρχὴ οἵδε οἱ στίχοι·

« Ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοί,
. . . . ».

Περὶ μὲν δὴ τῆς ἐν τῷ λόγῳ τάξεως ἀρκεῖ ταῦτα ἅπαξ εἰρῆσθαι νῦν, ὡς μηκέτ' ἐν ἄλλῳ περὶ αὐτῶν ἀκοῦσαί σε ποθεῖν. τὰ δὲ περὶ τοῦ δρῶντος, ὅπερ ἐστὶ χειρουργοῦντος ἰατροῦ, δῆλα πᾶσίν ἐστι τοῖς βουλομένοις προσέχειν αὐτῷ. φησὶ γάρ, ἤτοι καθήμενον ἢ ἑστῶτα, τὴν χειρουργίαν ποιεῖσθαι δεῖν τὸν ἐνεργοῦντα, συμμέτρως ἔχοντα πρὸς ἑαυτόν,

πρός τε τὸ χειριζόμενον, καὶ πρὸς τὴν αὐγήν. ᾧ δὲ ἔχομεν τρόπῳ φυλάττειν πρὸς ἕκαστον ὧν εἶπε συμμετρίαν, ἐφεξῆς διδάσκει, ἀπαντήσας πρῶτον, ὅπερ ἐστὶν ἡ αὐγή.

Η'.

Αὐγῆς μὲν οὖν δύο εἴδεα, τὸ μὲν κοινὸν, τὸ δὲ τεχνητόν· τὸ μὲν οὖν κοινὸν οὐκ ἐφ' ἡμῖν, τὸ δὲ τεχνητὸν καὶ ἐφ' ἡμῖν.

Καὶ περὶ τοῦ τῶν εἰδῶν ὀνόματος ἅπαξ ἀκούσας νῦν εἰς ἀεὶ μέμνησο. τοῖς γὰρ παλαιοῖς ἔθος ἐστὶ καὶ διαφορὰς καὶ εἴδη καὶ τρόπους ὀνομάζειν τὰ κατὰ τὴν τομὴν τῶν γενικωτέρων πραγμάτων ὑποπίπτοντα. καὶ νῦν οὖν οὕτως εἶπεν ὁ Ἱπποκράτης αὐγῆς εἶναι δύο εἴδη, ὡς εἰ καὶ διαφορὰς καὶ τρόπους εἰρήκει δύο. τὸ μὲν οὖν *κοινόν* ἐστιν, ᾧ πάντες ἄνθρωποι χρώμεθα, μάλιστα μὲν ἐν ὑπαίθρῳ, δεύτερον δὲ ἐν οἴκοις μεγάλοις θύρας μεγάλας φωτὸς πλήρεις ἔχουσιν, οἷοι καὶ νῦν κατὰ πολλὰς τῶν πόλεων δίδονται ἰωμένοις τοῖς ἰατροῖς· οὓς παρωνύμως αὐτῶν ἰατρεῖα προσαγορεύουσι. τὸ δὲ τεχνητὸν φῶς, μάλιστα μὲν καὶ τοῦτο γίγνεται λύχνους ἁψάντων ἢ δᾷδας ἢ λαμπάδας ἤ τι τοιοῦτον, κατὰ δὲ δεύτερον λόγον ἀνοιξάντων θυρίδας, ἢ ὅλας ἢ ἐκ μέρους, ἢ τὰς μὲν κλεισάντων, τὰς δὲ ἀνοιξάντων. καὶ περὶ θυρῶν ὁ αὐτὸς λόγος.

Θ'.

Ὧν ἑκατέρου δισσαὶ χρήσιες, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐγήν.

Ἑκατέρου τῶν τῆς αὐγῆς εἰδῶν, τοῦ τε κοινοῦ καὶ τοῦ τεχνικοῦ, δύο φησὶν εἶναι χρήσεις, ἢ πρὸς αὐγὴν, ἢ ὑπ' αὐ-

γήν· πρὸς αὐγὴν μὲν καλῶν, ὅταν πρὸς ταύτην ἐστραμμένον ἢ τὸ χειριζόμενον ἢ κατανοούμενον· ὑπ' αὐγὴν δὲ τὸ βραχὺ παρακεκλιμένον, ὥσπερ ἐπὶ τῶν ὑποχυμάτων καὶ ὅλως τῶν κατ' ὀφθαλμοὺς διαθέσεων· οὔτε γὰρ διαγνῶναι δυνατόν ἐςιν ἀκριβῶς τὰ κατ' αὐτοὺς πάθη, πρὸς τὴν αὐγὴν ἐστραμμένου τοῦ πάσχοντος, οὔτ' ἰάσασθαι. διὰ τοῦτ' οὖν τὸ μὲν πρὸς αὐγὴν φευκτέον ἐστί· τὸ δὲ ὑπ' αὐγὴν, ἤτοι ἀπεστραμμένον τῇ αὐγῇ ἢ λοξὸν ἐσχηματισμένον εἶναι χρὴ τὸν χειρουργούμενόν τι τῶν κατὰ τοὺς ὀφθαλμούς. αὐτοὺς δ' ἄκουέ μου τοὺς ὄντως ὀφθαλμοὺς λέγοντος, οὐ τὰ βλέφαρα· κατὰ ταῦτα γὰρ ἐνεργεῖν ἐγχωρεῖ καὶ πρὸς τὴν αὐγὴν ἐστραμμένου τοῦ ἀνθρώπου, καθάπερ ἐπὶ τῆς τῶν ὑδατίδων ἄρσεως ἢ διαβροχισμοῦ τριχῶν ἢ ἀναῤῥαφῆς ἢ ὅλως ἐφ' ὧν ὁ ἰατρὸς οὐ δεῖται τῶν βλεφάρων ἀνεῳγμένων. ἐὰν μὲν οὖν ὁ ὀφθαλμιῶν τύχῃ σφοδρῶς ἡλκωμένος, ὁ θεραπευόμενος, ἢ τὸ καλούμενον ἔχων σταφύλωμα, τελέως ἀπεστράφθαι προσήκει τὴν αὐγὴν αὐτὸν ἐν παντὶ χρόνῳ, πλὴν ἐν ᾧ φάρμακον ἐπιτίθησι τοῖς ὀφθαλμοῖς ὁ ἰατρός. ἐν ἐκείνοις γὰρ οὗτος ἄνευ αὐγῆς οὐχ ὄψεται τὸ πεπονθός, ὥσπερ οὐδ' εἰ πτερύγιον ἐκτέμνειν ἐθελήσειεν ἢ ὑπόχυμα κατάγειν ἤ τι τοιοῦτον χειρουργεῖν· ἀλλὰ λοξὸν ὡς πρὸς τὴν αὐγὴν προσήκει τηνικαῦτα σχηματίζειν τὸν χειρουργούμενον, ὅπως μήθ' ὑπὸ τῆς αὐγῆς ἡ κόρη πλήττοιτο, μήθ' ὁ ἰατρὸς ἀποστεροῖτο ἐν τῷ τῆς τέχνης ἔργῳ τῆς θέας ὧν θεραπεύει μορίων. ὀνομασθήσεται μέν τοι σαφῶς ὁ ἀπεστραμμένος τὴν αὐγὴν οὔτε πρὸς αὐγὴν οὐθ' ὑπ' αὐγὴν, ἀλλ' ἀπὸ τῆς αὐγῆς μᾶλλον ἢ λοξὸς πρὸς αὐγήν· Ἱπποκράτει δ' ἔδοξε βελτίων ἑρμηνεία τῆς ἀπ' αὐγῆς ἢ ὑπ' αὐγὴν εἶναι φωνή.

Ι'.

Ὑπ' αὐγὴν μὲν οὖν, ὀλίγη τε ἡ χρῆσις, καταφανής τε ἡ μετριότης.

Διότι, ἐδείχθη πρόσθεν· οὐδὲν γὰρ τῶν ἄλλων μορίων πλὴν ὀφθαλμῶν δεῖται τῆς τοιαύτης χειρουργίας. ἐπεὶ δὲ, ὡς ἔφην, ἀπεστράφθαι τελέως τὴν αὐγὴν ἀδύνατόν ἐστιν ἐν ταῖς χειρουργίαις, ἐν τῷ μεταξὺ βούλεται τοῦ τ' ἀπεστράφθαι καὶ τοῦ πρὸς αὐγὴν ἐστράφθαι σχηματίζειν τὸν ἄνθρωπον τὸν ἰατρόν· οὐ μὴν ἴσον ἐπὶ πάντων τῶν παθῶν ἀπεστράφθαι προσήκει τὸν χειριζόμενον τῆς αὐγῆς, ἀλλ' ἐφ' ὅσον αὐτὸ τὸ πάθος ἀναγκάζει. οἱ μὲν γὰρ ἡλκωμένοι καὶ ὑπόπυοι καὶ σταφυλώματα ἔχοντες ἢ καὶ φλεγμονὴν μεγάλην ἢ ῥεῦμα δριμὺ καὶ πρὸς τῆς ὀλίγης αὐγῆς πλήττονται σφοδρῶς, ὡς ὀδυνᾶσθαί τε καὶ ῥευματίζεσθαι παραχρῆμα· τούτων δ' ἧττον ὑπὸ τῆς αὐγῆς ἐνοχλεῖται παρακεντούμενός τις ἢ πτερύγιον ἢ ἐγκανθίδα χειριζόμενος. ἡ τοίνυν τῆς ἀποστροφῆς μετριότης, ἣν ἀπὸ τῆς αὐγῆς ἀπεστράφθαι προσήκει τὸν χειριζόμενον, εὑρεθήσεταί σοι δύο τούτοις προσέχοντι σκοποῖς, τῷ τε σαφῶς ὁρᾶν τὸν ἰατρὸν ὃ πράττει περὶ τὸν ὀφθαλμὸν ἐν τῇ χειρουργίᾳ, τῷ τε μὴ σφοδρῶς ἀνιᾶσθαι τὸν χειριζόμενον. εἰ μὲν οὖν ἑκάτερος σκοπὸς ἐναντίον ὑπαγορεύοι σχῆμα, κατὰ τὸν ἐπικρατοῦντα ποιοῦ τὴν αἵρεσιν· εἰ δέ σοι δόξειε μηδέτερος ἐπικρατεῖν, τὸ μέσον αἱροῦ σχῆμα τοῦ τε ἀκριβῶς ἐστραμμένου πρὸς τὴν αὐγὴν καὶ τοῦ ἀπεστραμμένου αὐτῆς. ἐγὼ μὲν οὖν σοι τὴν ὁδὸν ὑφηγησάμην ᾗ χρώμενος εὑρήσεις τὸ μέτριον τῆς ἀποστροφῆς, Ἱπποκράτης δὲ οὐκ εἶπεν, ἡγούμενος ἅπασιν ἂν καταφανῆ τὴν μετριότητα γε-

νέσθαι ῥᾳδίως, εἰ βουληθεῖεν εὑρεῖν. οὐ γὰρ ἀπαιδεύτους ἀνθρώπους, ὡς ἡμεῖς νῦν, ἀλλ' ἱκανῶς γεγυμνασμένους ἐν τοῖς μαθήμασιν ἐδίδασκεν, ὡς τὰ τοιαῦτα καὶ αὐτοὺς ἐπινοεῖν ἑτοίμως ἐξ ἀκολουθίας, τῆς τῶν προδεδειγμένων.

ΙΑ'.

'τὰ δὲ πρὸς αὐγήν' ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον,'

Ὅσον μὲν ἐπὶ τῷ δεῖν ἐναργέστατα βλέπειν τὸν ἰατρὸν ὅσα πράττει κατὰ τὴν χειρουργίαν ἐν τῷ τοῦ κάμνοντος σώματι, τὴν λαμπροτάτην αὐγὴν αἱρεῖσθαι χρὴ κατὰ πάντα τὰ μόρια, πλὴν ὀφθαλμῶν. ἡ λαμπροτάτη δέ ἐστι τῶν αὐγῶν ἐν ὑπαίθρῳ χωρίῳ τοῦ ἡλίου καταλάμποντος αὐτοῦ, μηδενὸς ἐπισκοτοῦντος. ἀλλ' ἐνίοτε μὲν οὐδέν ἐστι τοιοῦτον ἐν τῇ τοῦ χειριζομένου καταγωγῇ, πολλάκις δὲ ἔστι μέν, ἀλλ' οὐ συμφέρει εἰσάγειν εἰς αὐτὸ τὸν ἄνθρωπον, χειμῶνος μὲν διὰ κρύος, ἐν θέρει δὲ διὰ θάλπος· ἑκατέρου γὰρ αὐτῶν ἐστιν ἰδία βλάβη· καὶ πρὸς τούτοις ἔτι φυλάττεσθαι χρὴ τοὺς ἀνέμους· ὥστε διὰ τοῦτο οὐ μόνον αὐτὸν τὸν αἴθριον φεύγομεν πολλάκις, ἀλλὰ καὶ τὸν πλησίον θύρας ἢ θυρίδος εἰσπνέοντα σφοδρῶς ὡς ἀνιᾶν τὸν ἐνεργούμενον. ἐπ' ἐκείνων δὲ μάλιστα φεύγομεν ἄνεμον, ἐφ' ὧν εὐλαβούμεθα παθεῖν τι τὸ νευρῶδες γένος, ὥσπερ γε πάλιν ἥλιον ἐπὶ τῶν σηπομένων, ὡς πρὸς αἱμοῤῥαγίαν ἐπιτηδείως ἐχόντων. καλῶς οὖν προσέθηκε '*τῶν παρεουσέων, τῶν ξυμφερουσέων*,' οὐ γὰρ ἁπλῶς ἐκ τῶν παρουσῶν αὐγῶν αἱρεῖσθαι χρὴ τὴν

λαμπροτάτην, ἀλλὰ καὶ προσεπιβλέπειν, εἰ καὶ τῶν συμφερουσῶν αὐγῶν ἐστιν ἡ λαμπροτάτη.

ΙΒ'.

'πλὴν ὁκόσα λαθεῖν δεῖ ἢ ὁρῆν αἰσχρόν'

Οὐ σαφεῖ τῇ λέξει τὴν ἑαυτοῦ διάνοιαν ἡρμήνευσεν ὁ παλαιός, ἀλλ' ὥστε δόξαι μὴ δεῖν πρὸς αὐγὴν τρέπειν τὰ χειριζόμενα μόρια τῶν καμνόντων, ὅσα λαθεῖν προσήκει ἢ ὁρᾶν αἰσχρόν· ὁ δὲ οὐ τοῦτο βούλεται. ἐφεξῆς γὰρ φησὶν οὑτωσί.

ΙΓ'.

'τὸ μὲν χειριζόμενον ἐναντίον τῇ αὐγῇ, τὸν δὲ χειρίζοντα ἐναντίον τῷ χειριζομένῳ, 'πλὴν ὥστε μὴ ἐπισκοτάζειν'

'Ἐχρῆν γὰρ ὡδί πως ἑρμηνεύεσθαι τὴν ὅλην διάνοιαν ὑπ' αὐτοῦ· 'τὰ δὲ πρὸς αὐγήν' ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπροτάτην τρέπειν τὸ χειριζόμενον· οὐ μὴν ἀεί γε καθαράν τε καὶ ἀνεπισκότητον φυλάττειν χρὴ τὴν αὐγήν, ἀλλ ἐν οἷς λαθεῖν δεῖ ἢ ὁρᾶν αἰσχρόν, ἑαυτὸν οὕτω σχηματίζειν, ὡς τοὺς μὲν ἄλλους πάντας ἀφαιρεῖσθαι τῆς θέας τῶν χειριζομένων μορίων, ἑαυτῷ δὲ κατὰ μηδὲν ἐπισκοτεῖν. ἡ μὲν δὴ διάνοια τῆς ὅλης ῥήσεώς ἐστι τοιαύτη· τάχα δέ τις ἀκοῦσαι ποθεῖ σαφῶς, τίνα ποτ' ἐστὶν ἃ ἂν βούλεται λαθεῖν ὁ ἰατρὸς τοὺς περιεστῶτας. ἴσως μὲν οὖν ἐνίων χειρουργιῶν τὸ ἀκριβὲς διδάξαι βουλήσεταί ποτε τῶν παρόντων τινάς, ἀξίους ὄντας αὐτὸ μαθεῖν· οὐ μὴν τούς γε τῶν χειριζομένων οἰκείους, ἐνίοτε βουλομένους μὴ τέμνειν τὸν ἰατρὸν ὅσα περ τέμνει σώματα, δεόμενα δη-

λονότι τῆς τοιαύτης χειρουργίας· ἀνιῶνται γὰρ ἅμα καὶ ἀγανακτοῦσι πρὸς τὸν ἰατρὸν ὡς δήμιον. ἀλλὰ μὴν καὶ ὄρχιν σεσηπότα πολλάκις ἀναγκαῖον ἐγένετο τελέως ἐκκόψαι καὶ νεῦρον διαταμεῖν ὅλον ἐγκάρσιον ἕνεκα τοῦ μὴ σπασθῆναι τὸν ἄνθρωπον. ἔνιοι δὲ τῶν ἰδιωτῶν οὐδὲ πῦον ὅλως ὑπομένουσι θεάσασθαι, τινὲς δὲ οὐδ' ἐπιτρέπουσιν ὅλως σχάσαι τὸ ἔμπυον χωρίον· ἐφ' ὧν ὁ ἰατρὸς οὐ καταμανθανόντων ἔςιν ὅτε τὸν πεπονθότα τόπον ἔτεμεν ἀφθόνως καὶ πᾶν ἐξέκρινε τὸ πῦον. ἀλλὰ καὶ διὰ δειλίαν τῶν καμνόντων ἐνίοτε τοῦθ' ἡμῖν πράττεται· εἰσὶ γάρ τινες οὕτω δειλοὶ πρὸς τὰς χειρουργίας, ὡς λειποψυχεῖν πρὶν τμηθῆναι, διὰ τὴν τῆς ὀδύνης προσδοκίαν. ἐπὶ τούτων οὖν ἀξιοπίστως χρὴ περὶ μὲν τῆς χειρουργίας λέγειν αὔριον σκέψεσθαι, κατὰ δὲ τὸ παρὸν ἐᾶν· νῦν δὲ καταντλεῖν ὕδατι ἢ πυριᾶν σπόγγοις, ὡς παρασκευάζοντα τὸ μόριον εἰς ἐπίθεσιν καταπλάσματος ἢ φαρμάκου, κἀν τούτῳ μὴ προσδοκῶντα τὸν δειλὸν ἄνθρωπον τέμνειν. Ἐν μὲν δὴ τοῖς τοιούτοις ὁ ἰατρὸς ἐπισκοτήσει θεάσασθαι τοῖς παροῦσιν ἕνεκα τοῦ λαθεῖν· ἐν ἄλλοις δὲ διὰ τὴν αἰδῶ τοῦ κάμνοντος· ἐπειδὴ περὶ πολλοῦ ποιεῖται μὴ βλέπεσθαι τοῖς πολλοῖς ἣν ἔχει διάθεσιν ἤτοι κατὰ τὴν ἕδραν ἢ ἐν τοῖς αἰδοίοις· ταῦτα γάρ ἐστιν ἃ βούλονται οἱ πάσχοντες λανθάνειν· ἐν αἰδοῖ δὲ τῶν γυναικῶν τισὶ καὶ τὰ κατὰ τὰς πυγὰς καὶ τὸ στῆθος, τισὶ δὲ καὶ τὰ κατὰ τὴν γαστέρα καὶ πολὺ δὴ μᾶλλον ἔτι τὰ κατὰ τὸ καλούμενον ἐφήβαιον. ἐγκαλῶν δέ τις ἐνταῦθα ἀτοπίαν Ἱπποκράτει, γελοίως αὐτὸν ἔφη τοῦτο γεγραφέναι· 'τοῖς γὰρ αἰρουμένοις μὴ ὀφθῆναι τὰ τοιαῦτα μόρια χειριζόμενα πάρεστιν ἐκβαλοῦσι τοῦ οἴκου τοὺς ἔνδον ὄντας ἅπαντας ἐπιτρέψαι μόνῳ τῷ ἰατρῷ τὸ ἔργον, ἢ

καί τινος, ἑνὸς ἢ δυοῖν, τῶν οἰκειοτάτων παρόντων... ἀλλὰ ὁ ταῦτα λέγων οὐ πεπείραται πολλῶν αἰδουμένων ὥσπερ ὀφθῆναι τοῖς παροῦσι τὰς διαθέσεις αὐτῶν, οὕτω καὶ κωλῦσαι τῆς θέας ἐνίους καὶ χωρίζεσθαι κελεῦσαι· πολλάκις δὲ, κἂν κελεύωσι χωρίζεσθαί τινας, φιλονεικοῦντες ἢ περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες ἐπίστασθαι τὰ τοῦ κάμνοντος ἔνιοι τῶν οἰκείων ἢ φίλων ἀναιδῶς παραμένουσιν. ἐν τοῖς τοιούτοις οὖν καιροῖς χαρίζεσθαι χρὴ τῷ κάμνοντι τὸν ἰατρὸν ἄλυπον χάριν, ὑποσχέσθαι τε κατὰ μόνας αὐτὸν καὶ μηδενὸς ἀκούσαντος οὕτω ποιήσεσθαι τὴν χειρουργίαν, ὡς λαθεῖν τοὺς πολλούς. δύναται γὰρ, ὡς ἔφην, ἐν τῷ καταντλεῖν ὕδωρ ἢ διὰ σπόγγων πυριᾷν, ὡς μηδέπω μέλλων ἐνεργεῖν, ἐξαίφνης ἀνύσαι τὸ ἔργον, ἄλλο ἔτι πραττόντων τῶν πολυπραγμονούντων θεάσασθαι. Τὰ μὲν δὴ τοιαῦτα τῶν ἀμφισβητημάτων ἔξωθέν ἐστι τῶν τῆς ἰατρικῆς θεωρημάτων· ἡμεῖς δὲ ἐξ ἀκολουθίας ἢ καὶ διὰ τὴν ἀντιλογίαν τῶν ἐπηρεαζόντων ἀναγκαζόμεθα μνημονεύειν αὐτῶν. ἐπὶ δὲ τὰ συνεχῆ τοῖς προειρημένοις ἤδη μετιέναι καιρός.

ΙΔ′.

οὕτω γὰρ ἂν ὁ μὲν δρῶν ὁρῴη, τὸ δὲ χειριζόμενον οὐχ ὁρῷτο.

Κἀνταῦθα τὸ τέλεον τῆς λέξεώς ἐστι τοιοῦτον· οὕτως ὁ μὲν δρῶν ὁρᾷ τὸ χειριζόμενον μέρος, ὑπὸ δὲ τῶν ἄλλων οὐκ ἂν ὁρῷτο αὐτὸ τοῦτο τὸ μέρος· οὐ γὰρ δὴ ὡς πρὸς τὸν ἰατρὸν ἄμφω πέπονθε τὸ χειριζόμενον, ὁρᾶσθαί τε καὶ οὐχ ὁρᾶσθαι.

ΙΕ′.

Πρὸς ἑωυτὸν δὲ, καθημένῳ μὲν πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γούνασι, διάστασιν δὲ, ὀλίγον ξυμβεβαῶτες γούνατα δὲ ἀνωτέρω βουβώνων σμικρὸν, διάστασιν, ἀγκῶσι θέσι καὶ παραθέσι.

Τὴν πρὸς τὴν αὐγὴν συμμετρίαν τοῦ χειρίζοντος διελθὼν ἐπὶ τὴν αὐτοῦ πρὸς ἑαυτὸν συμμετρίαν ἧκεν. εἰρηκὼς γὰρ ἔμπροσθεν· *ὁ δρῶν ἢ καθήμενος ἢ ἑστεὼς, ξυμμέτρως πρὸς ἑωυτὸν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγὴν*, εἶτα πρὸς τὸ τελευταῖον ἀπαντήσας πρῶτον, ἅμα δ' αὐτῷ τῆς πρὸς τὸ χειριζόμενον συμμετρίας ἐξ ἀνάγκης μνημονεύσας, ἐπὶ τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἀφίκετο συμμετρίαν τοῦ χειρίζοντος. αὐτὸν δὲ πρὸς ἑαυτὸν συμμέτρως ἔχειν θέσεως, ἁπλῶς μὲν, ἕνα ὄντα, οὐδ' οἷόν τε ἂν ὅλως κατορθοῦν τὸν ἰατρὸν, ἢν δὲ τὰ μόρια σκοπῇς, ὡς ἄλλοτε ἄλλην ἴσχει θέσιν ἐν ποικίλοις σχήμασιν, οὕτως ἂν δύναιτο ποτὲ μὲν ἔχειν συμμέτρως, ποτὲ δὲ μή. ἐὰν γοῦν τις ἐπὶ πλεῖστον ἀλλήλων ἀπαγάγῃ τὰ σκέλη, ἢ καθήμενος ἢ ἑστώς. ἀσυμμέτρως ἂν ἔχοι τοῖς μορίοις τούτοις πρὸς ἄλληλα, καθάπερ εἰ καὶ συναγάγοι τελέως αὐτὰ καὶ ψαύειν ποιήσειεν ἀλλήλων ἢ καταθείη τὸ ἕτερον ἐπὶ τοῦ ἑτέρου ἢ μᾶλλον ἀποτείνοι κατὰ μῆκος ὅλον τὸ σκέλος ἢ μὴ κατ' εὐθὺ θείη τὸν πόδα τοῦ γόνατος, ἀλλ' εἰς τοὐπίσω πολὺ τῆς εὐθύτητος ἀποκεχωρηκότα. Εὐλόγως οὖν ὁ Ἱπποκράτης τὴν αὐτοῦ πρὸς ἑαυτὸν ἑκάστου συμμετρίαν ἐν τῷ καθῆσθαι τὴν τῶν μορίων ὡρίσατο πρὸς ἄλληλα σχέσιν, τοὺς μὲν πόδας κατ' εὐθὺ τῶν γονάτων ἀξιώσας κατέχειν. ἐπεὶ δὲ τὸ κατ' εὐθὺ διττὸν ἐ-

ντι, τὸ μὲν κατὰ τὸ μῆκος ἐκτεινόντων τὸ κῶλον, τὸ δὲ εἰς ὕψος ἀνατεινόντων, ὥσπερ ὅταν ὀρθοὶ στῶμεν, εἰκότως προσέθηκεν *'ἐς τὴν ἄνω ἴξιν*. ὀνομάζειν δὲ σύνηθες ἴξιν αὐτῷ τὴν εὐθύτητος θέσιν. διάραι τοιγαροῦν τοὺς πόδας ὀλίγον ἐπ' ἀλλήλων ἀξιοῖ, τὸ δὲ ὡς πρὸς βουβῶνα τοῦ γόνατος ὕψος ὀλίγον ὑπερέχειν, σκοπὸν ἔχων ἐν τοῖς πᾶσι τήν τε εὐσχημοσύνην καὶ τὴν εἰς τὰς ἐνεργείας ἑτοιμότητα καὶ τὴν ἀσφάλειαν τῆς ἕδρας, ὡς δυσπερίτρεπτον εἶναι τὸν καθεζόμενον ἰτως. διὸ καὶ τὰ γόνατα καὶ ὅλους δηλονότι τοὺς μηροὺς ρε τῶν βουβώνων διάστασιν ἔχειν ἀξιοῖ τοσαύτην ἀπ' ἀλλήλων, ὡς εὐσχημόνως τε ἅμα καὶ ἀσφαλῶς καὶ πρὸς τὰς ργείας ἀκωλύτως ἐνίοτε μὲν ἐρείδεσθαι τοὺς ἀγκῶνας τῶν ρῶν καὶ τοὺς πήχεις τοῖς μηροῖς, ἐνίοτε δὲ ἑκατέρωθεν αὐν παρατεταγμένους ἐνεργεῖν· τὸ μὲν γὰρ *'θέσι*. τῆς ἐπ' αὐ- ἕδρας δηλωτικὸν, τὸ δὲ *'παραθέσι*. τῆς αὐτῶν πλαγίως.

ΙΣΤ'.

'Ιμάτιον εὐσταλέως, εὐκρινέως, ἴσως ὁμοίως ἀγκῶσιν, ὤμοισιν.

Τὸ μὲν εὐσταλέως ἀντὶ τοῦ προσεσταλμένως εἴρηκεν, ὡς τε περιτετραμμένον αὐτὸ μήτε χαλαρὸν περικεῖσθαι τῷ μάτι τοῦ ἰατροῦ. τὸ δὲ εὐκρινέως ἐπ' αὐτοῦ τοῦ ἱματίου λέγεται· κελεύει γὰρ καὶ τοῦτο, μηδὲν αὐτοῦ μέρος ἐνδεπλῶσθαι. Τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον *'ἴσως*, ιοίως, *ἀγκῶσιν, ὤμοισιν*. ἀμφίβολόν ἐστιν· ἤτοι γὰρ ἴσως καὶ ὁμοίως ἐν ἀμφοτέραις ταῖς χερσὶ περιβεβλῆσθαι τοῖς γκῶσι καὶ τοῖς ὤμοισιν ἀξιοῖ τὸ ἱμάτιον, ὡς παραβάλλεσθαι τὰς δύο χεῖρας ἀλλήλαις, *ὅπερ οἱ πολλοὶ συγκρίνεσθαι

καλοῦσιν*, ἢ τοὺς ἀγκῶνας καὶ τοὺς ὤμους ἀλλήλοις παραβάλλει κατ' ἀμφοτέρας τὰς χεῖρας, κελεύων ἴσως καὶ ὁμοίως τοῖς ἀγκῶσι καὶ τοῖς ὤμοις καθ' ἑκάτερον αὐτῶν περιβεβλῆσθαι τὴν ἐσθῆτα. ὅτι μὲν οὖν οὐκ ἀνωτέρω τῶν ἀγκώνων βούλεται τὴν περιβολὴν γίγνεσθαι τοῦ ἱματίου, πρόδηλον· ἀσκεπάστους γὰρ εἶναι τούτους αἰσχρὸν οὐκ ἰατρῷ μόνον, οὕτω σεμνὴν ἐργαζομένῳ τέχνην, ἀλλὰ καὶ τοῖς κατὰ τὴν ἀγορὰν ἐν θορύβῳ πολλῷ δίκας λέγουσιν, οὓς καὶ αὐτοὺς αἰδουμένους ἰδεῖν ἔστιν ἀνωτέρω τῶν ἀγκώνων ἔχειν τὸ ἱμάτιον, ὡς εἰς παγκράτιον παρεσκευασμένους. ἔστι δὲ καὶ ἄλλως ἐκκρῖναι τὸ τοιοῦτον τῆς περιβολῆς εἶδος, ψυκτικὸν οὐ μόνον ὂν τῶν κατὰ ἀγκῶνα μορίων, ἀλλὰ καὶ τῆς ὅλης χειρός. Οὐ μὴν ἐδήλωσε τὸ, πόσον ὑπὲρ τὸν δεξιὸν ἀγκῶνα τοῦ πήχεως ἐπιλαμβάνειν αὐτὸ προσῆκεν, ἢ δηλονότι παρέλιπεν ὡς σαφὲς τοῦτο καὶ πρὸς ἁπάντων ἡμῶν εὑρεθῆναι δυνάμενον. οὐ γὰρ χαλεπόν ἐστι στοχάσασθαι καθ' ἑκάστην ἐνέργειαν, ὁπόσον δεῖ τοῦ ἱματίου τοὺς ἀγκῶνας ὑπερβαῖνον ἐκτετάσθαι κατὰ τοῦ πήχεως, σκοπὸν κἀνταῦθα πεποιημένους διττὸν, τόν τε τῆς εὐσχημοσύνης καὶ τὸν τῆς πρὸς τὴν προκειμένην χειρουργίαν χρείας· ὥσπερ καὶ ὀλίγον ἔμπροσθεν ἐφ' ὧν ἐχρῆν λαθεῖν, ἐναντίους ἔφην εἶναι σκοπούς· ἵνα μὲν γὰρ τοῖς ἄλλοις μὴ βλέπηται τὸ χειριζόμενον, δεῖ σκοτεινοτέρου, ἵνα δὲ ὁ χειρίζων αὐτὸ βλέπῃ, λαμπροῦ φωτός· ὁπότερος δ' ἂν αὐτῶν ἐπικρατῇ, ἐκείνῳ προσχωρεῖν· εἰ δέ σοι δόξειεν ἴσοι εἶναι, τὸ μέσον ἀκριβῶς ἀμφοτέρων αἱρεῖσθαι· κατὰ τὸν αὐτὸν οὖν τρόπον καὶ νῦν ἐστι καὶ διὰ παντὸς ἐπὶ πάντων ποιητέον, ἔνθα πρὸς ἐναντία πράγματα ποδηγοῦσιν οἱ σκοποὶ, τὸ μέσον μὲν ἀμφοῖν αἱρουμένους πάντως, ὁπότε-

ὃς δ' ἂν ἐπικρατῇ, πρὸς ἐκεῖνον ἐκκλίνοντας. τὸ μὲν οὖν κατὰ τὴν χειρουργίαν, ὅσον ἐπ' αὐτῇ, ἐδεῖτο τῆς ὅλης χειρὸς γυμνῆς, τὰ δὲ τῆς εὐσχημοσύνης ὅλης αὐτῆς ἐσκεπασμένης· διὰ τοῦτ' οὖν ἀεὶ μὲν τὸ μέσον ἀμφοῖν αἱρεῖσθαι προσήκει, προσχωρεῖν δὲ τῷ μᾶλλον ἐπείγοντι.

ΙΖ'.

Πρὸς δὲ τὸ χειριζόμενον· τοῦ μὲν πρόσω καὶ ἐγγὺς ὅριον, ἀγκῶνας ἐς μὲν τὸ πρόσθεν γούνατα μὴ ἀμείβειν, ἐς δὲ τὸ ὄπισθεν πλευράς· τοῦ δὲ ἄνω, μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖρας ἔχειν· τοῦ δὲ κάτω, μὴ κατωτέρω ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν ἔχοντα ἔχειν ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας· τὰ μὲν κατὰ μέσον οὕτως· τὰ δὲ ἔνθα ἢ ἔνθα, μὴ ἔξω τῆς ἕδρης, κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς πρόσω βαλλόμενον τὸ σῶμα καὶ τοῦ σώματος τὸ ἐργαζόμενον.

Ἐπειδὴ τὸν ἰατρὸν ἐκέλευσε συμμέτρως ἔχειν πρὸς ἑωυτόν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν, ἤτοι καθήμενον ἑστῶτα, καὶ πρῶτον ἐνεχείρησε λέγειν τὴν τοῦ καθημένου συμμετρίαν πρὸς ἕκαστον τῶν τριῶν, ἀρξάμενος ἀπὸ τῆς αὐγῆς, εἶτα μεταβὰς ἐπὶ τὴν πρὸς ἑαυτὸν αὐτοῦ συμμετρίαν καὶ ταύτην διελθών, ἐπὶ τὸ λοιπὸν ἔτι τρίτον ἥκει, διδάσκων τὴν πρὸς τὸ χειριζόμενον αὐτοῦ συμμετρίαν. οὔτε γὰρ ἐγγὺς πάνυ προσήκει καθῆσθαι τοῦ χειριζομένου τὸν ἰατρόν, ὡς ὑπὸ στενοχωρίας ἐμποδίζεσθαι τὰς τῶν χειρῶν ἐνεργείας, οὔτε διεστηκέναι τοσοῦτον, ὡς μόγις ἐφικνεῖσθαι τοῦ χειριζομένου· τίθησι γοῦν κἀνταῦθα τινὰς ὅρους, ὧν οὔτ' εἰς τὸ

4

πρόσω χωρεῖν οὔτ' εἰς τοὐπίσω προσήκει τὸν χειρίζοντα. μεμνήμεθα δὲ ὅτι περὶ τοῦ καθημένου πρῶτον ὁ λόγος ἐστὶν αὐτῷ. τοσοῦτον οὖν ἀξιοῖ διεστηκέναι τοῦ κάμνοντος, ὡς μήτε προσωτέρω ποτὲ τῶν γονάτων ἴσχειν τοὺς ἀγκῶνας μήτε ὀπίσω τῶν πλευρῶν. ἐπὶ μὲν δὴ τῆς κατὰ τοὐπίσω τε καὶ πρόσω διαστάσεως τούτους ἔθετο τοὺς ὅρους. ὀνομάζεται δὲ κατὰ τὸ μῆκος ἡ διάστασις αὕτη. λοιπῶν δὲ οὐσῶν δυοῖν διαστάσεων, μιᾶς μὲν τῆς κατὰ τὸ πλάτος, ἑτέρας δὲ τῆς κατὰ τὸ βάθος καὶ ὕψος, ἑκατέρως δὲ ὀνομάζεται· ,τῆς μὲν κατὰ τὸ ὕψος ὅρια τίθησι μήτε ἀνωτέρω τῶν μαστῶν ἄκρας χεῖρας ἔχειν τὸν ἐνεργοῦντα μήτε κατωτέρω ἢ ὡς τὸ στῆθος ἐπικείμενον ἔχοντα τοῖς γόνασι τὰς χεῖρας ἐγγωνίους ἐσχηματικέναι πρὸς τὸν βραχίονα. καλεῖ δὲ ἐγγωνίους, ὅταν ὀρθὴν γωνίαν ὁ πῆχυς ἐργάζηται πρὸς τὸν βραχίονα· μέσον γάρ ἐστι τοῦτο τὸ σχῆμα καμπῆς τε τῆς κατ' ἀγκῶνα τελείας, μεθ' ἣν οὐκέτι κάμψαι δυνατόν ἐστι, ἐκτάσεώς τε τελείας, μεθ' ἣν ἀμήχανον ἔσται ἐπεκτεῖναι τὴν χεῖρα. τῆς δὲ κατὰ πλάτος εἰς τὰ πλάγια μέρη γιγνομένης διαστάσεως ὅρον ἑκατέρωσε ἐτίθετο, τῆς κατὰ τὸ δεξιὸν καὶ τὸ λαιόν, ἄχρι τοσούτου ποιεῖσθαι τὰς ἐπιστροφάς, ὡς μὴ κατακινεῖσθαι τὰς ἕδρας, τουτέστὶ τὰ μόρια τοῦ σώματος οἷς ἑδραζόμεθά τε καὶ στηριζόμεθα κατὰ τῶν ὑποκειμένων. εἴρηνται μὲν οὖν ἐφεξῆς ἀλλήλων οἱ ὅροι κατὰ διαφέροντας χρόνους· ἐν ᾧ γὰρ χρόνῳ περὶ τῶν κατὰ μῆκος ἐδίδασκε διαστάσεων, ἐν τούτῳ περὶ τῆς κατὰ πλάτος καὶ ὕψος οὐχ οἷόν τε ἦν διδάσκειν, ὥσπερ οὐδὲ ὁπότε περὶ ἑκατέρας τῶν λοιπῶν δυοῖν. αὐτὸν δὲ τὸν ἰατρόν, οἶμαι, ᾧ ταῦτα συμβουλεύει, διὰ παντὸς ἀποβλέπειν χρὴ τῇ διανοίᾳ πρὸς τὰ λε-

λεγμένα πάντα. καὶ γὰρ πάντων ἐστὶν ἅμα χρεία κατὰ πᾶσαν ἐνέργειαν. οὔσης μὲν οὖν τινὸς μέσης καταστάσεως ἐν τῷ καθῆσθαι τὸν ἰατρὸν, ὅταν μηδέπω μηδὲν ἐνεργῇ, ταύτην εὐσχημονεστέραν τε καὶ σεμνοτέραν εἶναι προσῆκεν, ὡς εἰ καὶ γραφεύς τις ἢ πλάστης ἔμελλεν αὐτοῦ ποιήσειν εἰκόνα· πρὸς δὲ τὴν χειρουργίαν ἀφικνουμένου χρὴ κινεῖσθαι τὰς χεῖρας, ἐνίοτε μὲν ἅμα πρόσω τε καὶ ἄνω, κἄπειτα δ' ἐπ' ἀριστερὰ, μετὰ τοῦ πρόσω τε καὶ ἄνω πάλιν ἐκ τούτων τῶν σχημάτων ἢ καὶ ὀπίσω τὰς χεῖρας ἀμφοτέρας ἢ μόνην μίαν φέρειν· οὕτω δὲ καὶ ἢ κάτω ποτὲ ἢ πάλιν ἄνω καὶ κάτω τε καὶ ὀπίσω· πολυειδῶς γὰρ τὰ σχήματα ὑπαλλάσσεται συμπλεκομένων ἀλλήλαις τῶν διαστάσεων. ἐν ἁπάσαις δὲ ταύταις ἐστὶ κοινὸν τὸ φυλάττειν τὴν ἕδραν, ἣν διαφθείρουσιν ἔνιοι τοὺς ὅρους τῶν διαστάσεων ὑπερβάλλοντες. ἐάν τε γὰρ οὕτως ὑψηλὸν ᾖ κείμενον τὸ χειριζόμενον μόριον, ὡς ὑπὲρ τοὺς αὐτοῦ τιτθοὺς ἀναφέρειν τὰς χεῖρας τὸν ἰατρὸν, ἀναγκασθήσεταί ποτε κουφίσαι μετεωρότερον αὐτὸν ἐπὶ τῆς ἕδρας, ὡς ἀνιστάμενος, ὡς μήτε ἑστάναι μηδέπω μήτε καθῆσθαι μηκέτι, ἀλλ' ἐν ἀστηρίκτῳ τε καὶ μέσῳ τούτων σχήματι καθεστάναι· ἄν τ' ἐπὶ πλεῖστον ἐπὶ τὸ δεξιὸν ἢ ἐπὶ τὸ ἀριστερὸν μέρος ἀποκεχωρηκὼς ἐπικλίνῃ ἐκεῖσε, αὐτὸς ἐκ τῆς ἕδρας κινηθήσεται, ὡς ὀλισθῆσαι ἂν ἐξ αὐτῆς κινδυνεῦσαι. τί δὲ δεῖ λέγειν, ὡς ἐπὶ τοῦ πρόσω ἢ ὀπίσω μέρους ἀμφοτέρως ὅμοια πείσεται; καὶ νεύων γέ τις οὕτως εἰς τὰ κάτω καὶ πρόσω σκοτίσει αὐτοῦ τὴν ἐνέργειαν, εἰ μὴ ἐν ᾧ πρέπει σχήματι καθήσεται.

ΙΗ΄.

Ἑστεῶτα δὲ δεῖ, μὴ ἐπ' ἀμφοτέρων βεβαότα ἐξ ἴσου τ. ποδῶν ἅλις, ὀρθὴν δὲ τῷ ἑτέρῳ ἐπιβεβαότα, μὴ τῷ κα τὴν δρῶσαν χεῖρα· ὕψος γούνατι πρὸς βουβῶνας, ἐν ἕδρῃ· καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά.

Τὸν περὶ τοῦ καθημένου συμπληρώσας λόγον ἐπὶ τὸν ἑ στῶτα μετέβη, πᾶν τὸ αὐτὸ κελεύων φυλάττειν ὃ μικρ ἔμπροσθεν ἐπὶ τοῦ καθημένου ἐκέλευσεν, ἔτι δὲ τὸ τῆς βά σεως τῶν ποδῶν ἄνισον· ὑψηλότερον γὰρ εἶναι βούλεται τ ἕτερον αὐτῶν, ὃς μὴ κατ' εὐθύ ἐστι τῆς ἐνεργούσης χειρ κατὰ τὴν τοιαύτην στάσιν, ἣν, ὅτι καὶ αὐτὴν φυλάξει δι πάσης ἐνεργείας, ἐὰν μήτε ὑψηλὸν ᾖ κείμενον τὸ χειριζόμ νον μόριον μήτε πορρώτερον κατὰ τὸ μῆκος ἢ πλάτος, ε δῆλον τῷ μεμνημένῳ τῶν προειρημένων. τὸ μὲν γὰρ οὕτω ὑψηλὸν, ὡς τὸν ἰατρὸν ἀναγκάζεσθαι μετεωροτέρας τῶν ἐπ τοῦ τιτθῶν ἔχειν τὰς χεῖρας, ἀποσαλεύσει τῆς ἕδρας αὐτὸ ἀνατεινόμενον ἀμέτρως· τὸ δὲ ἐπὶ πλεῖστον ἀφεστηκὸς καὶ προβαίνειν ἀναγκάζον ἀπολείπειν βιάσεται τὴν ἐξ ἀρχ ἕδραν. ἐπεὶ δὲ ἐπί τινος ἐστηρίχθαι τὸν ἕτερον τῶν ποδῶ βούλεται, κἀνταῦθα τὸ ποσὸν τοῦ ὕψους ἐδήλωσεν, ἀξιῶν τὴν αὐτὴν εἶναι σχέσιν τῷ γόνατι πρὸς τοὺς βουβῶνας, κἀπὶ τῶν καθημένων εἶπεν· εἰρήκει δ' ἐπ' ἐκείνων *γούνα δὲ ἀνωτέρω βουβώνων σμικρὸν*, ὡς ἀσφαλεστάτης τε ἅ καὶ εὐσχημονεστάτης καὶ πρὸς τὰς ἐνεργείας ἑτοιμοτάτης σης τῆς τοιαύτης ἕδρας. ἀλλὰ νῦν γε τῷ ἑτέρῳ γόνατι, ὑψηλῷ, μόνῳ πρὸς τοὺς βουβῶνας εἶναι τὴν αὐτὴν σχέ ἀξιοῖ.

ΙΘ'.

Ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω, ἢ ἑστεὼς ἢ καθήμενος ἢ κείμενος, ὅκως ἂν ῥήιστα ὃ δεῖ σχῆμα ἔχων διατελέῃ, φυλάσσων ὑπόρρυσιν, ὑπόστασιν, ἔκτρεψιν, καταντίαν· ὡς ὃ δεῖ σώζηται καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου, ἐν παρέξει, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξει.

Διαφερούσας ἐξηγήσεις ἐποιήσαντο τῆς ῥήσεως οἱ ἐξηγησάμενοι τὸ βιβλίον, εὐλόγως. ἥ τε γὰρ τῶν τεττάρων ὀνομάτων ἀσάφεια, τοῦ τῆς ὑπορρύσεως λέγω καὶ τοῦ τῆς ὑποστάσεως καὶ τοῦ τῆς ἐκτρέψεως καὶ προσέτι τοῦ τῆς καταντίας, τό τε βουληθῆναι τὸν Ἱπποκράτην πολλὰ πράγματα δι' ὀλίγων λέξεων δηλῶσαι, τὴν αἰτίαν αὐτοῖς παρέσχηται τῶν λεγομένων ζητῆσαι τὸν νοῦν. ἅ τε οὖν ἀσαφοῦς οὔσης τῆς τοῦ γράψαντος ταῦτα διανοίας, εἰκάζοντές τε καὶ στοχαζόμενοι μᾶλλον, οὐ σαφῶς εἰδότες, εἰς ποικίλην διαφωνίαν ἐξέπεσον. ἐγὼ δὲ, ὅπερ ἐν ἅπασι τοῖς τοιούτοις εἴωθα ποιεῖν, οὕτω καὶ νῦν πειράσομαι· τὰ μὲν ἀπιθάνως αὐτοῖς εἰρημένα παριεὶς διώξω τὰ δόξαντά μοι πιθανῶς ἐπινενοῆσθαι, μετὰ τοῦ προστιθέναι τι καὶ τῆς ἐμῆς γνώμης· ἄρξομαι δὲ ἀπὸ τῆς τῶν ἀσαφῶν ὀνομάτων ἐξηγήσεως, ἐπειδὴ πρῶτόν ἐστι τὸ ἁπλοῦν τοῦ συνθέτου· καί τοι πολλάκις γε, τῶν ἁπλῶν μηδενὸς ὄντος ἀσαφοῦς, ἡ σύνθεσις αὐτῶν τὴν ἀσάφειαν ἐργάζεται· τοῦτο δὲ ἀμέλει καὶ κατὰ τὴν προκειμένην γέγονε ῥῆσιν. ἔνιοι μὲν γὰρ ὑπόρρυσιν ἤκουσαν ἐπὶ τῶν ὑγρῶν, καὶ τούτων αὐτῶν διττῶς, οἱ μὲν ἐπὶ τῶν ἐκ τοῦ σώματος ἐκκρινομένων, οἱ δὲ ἐπὶ τῶν ἐπιβρεχομένων ἔ-

ἔξωθεν· ἀλλὰ καὶ ἐκείνων αὖ ἔνιοι μὲν τῶν κατὰ τὴν χειρουργίαν ἐκρεόντων ἔφασαν αὐτὸν μνημονεύειν, ἔνιοι δὲ τῶν μετὰ τὴν χειρουργίαν. ἡ αὐτὴ δὲ καὶ περὶ τοῦ τῆς ὑποστάσεως ὀνόματος γέγονε διαφωνία· τῷ γὰρ ἐκρεῖν τὰ ὑγρὰ τὸ ὑφίστασθαι κατὰ τοὐναντίον λεγόμενον εἰκότως ἐν μέρει διαφωνίαν ἔσχεν. ἕτερος δέ τις χορὸς ἐξηγητῶν οὐκ ἐπὶ τῶν ὑγρῶν, ἀλλ' ἐπὶ τῶν στερεῶν τοῦ σώματος μορίων ἤκουσε τοῦ τε τῆς ὑποστάσεως καὶ τοῦ τῆς ὑποῤῥύσεως ὀνόματος, ὑπόστασιν μὲν τὸ μὴ μετεωρισμένον ἤτοι τῶν τεμνομένων μερῶν ἢ καὶ παντὸς τοῦ σώματος εἰρῆσθαι νομίζοντες, ὑπόῤῥυσιν δὲ τὴν εἰς τὰ κάτω ῥοπήν, ὡς εἰ καὶ κατάῤῥυσιν εἰρήκει. τὸ γοῦν *καταῤῥεῖν* ἐπὶ τοῦδε τοῦ σημαινομένου λέλεκται κατὰ τὸ Προγνωστικόν, ἔνθα φησὶν "*ἢν δὲ καὶ προπετὴς γίγνηται καὶ καταῤῥέῃ ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι*... τοῖς γ' οὕτως ἐξηγησαμένοις μαρτυρεῖ καὶ τὸ τῆς ἐκτρέψεως καὶ τὸ τῆς καταντίας ὄνομα, τῶν προειρημένων ἑξῆς γεγραμμένα. τὴν μὲν γὰρ εἰς τὸ πλάγιον ἐκτροπὴν ἔκτρεψιν εἴρηκεν, ἐάν τε ἐφ' ὅλου τοῦ σώματος ἐάν τε ἐπὶ τοῦ χειριζομένου μορίου γίγνηται· τὴν δὲ καταντίαν ἐπὶ τῶν κώλων ἰδίως λέγεσθαί φασιν, ὥσπερ ἐπὶ παντὸς σώματος τὴν ὑπόῤῥυσιν. ὅταν γὰρ ὅλον τὸ σῶμα φυλάττων τις ἐν τῷ αὐτῷ χωρίῳ καὶ μὴ μετακινῶν, ἤτοι τὸ σκέλος ἢ τὴν χεῖρα κάτω ῥέπον ἐργάσηται, κατάῤῥοπον ὀνομάζεσθαί φασι τὴν τοιαύτην θέσιν· ἀληθῆ λέγοντες αὐτὰ καθ' ἑαυτά, κἂν μὴ διαρκῶς φυλάττωσι τὴν καθ' ὅλην τὴν ῥῆσιν ὁμολογίαν. ἑτέρα γάρ τις πάλιν αὐτῶν ἁπάντων ἐγένετο διττὴ στάσις, ἐνίων μὲν ἡγουμένων ἀξιοῦν τὸν Ἱπποκράτην διασώζειν τοὺς χειριζομένους τὰ κατὰ τὰς τέσσαρας προσηγο-

ίας σημαινόμενα, τὴν ὑπόστασιν καὶ τὴν ὑπόῤῥυσιν καὶ τὴν ἔκτρεψιν καὶ τὴν καταντίαν, ἐνίων δὲ μὴ φυλάττειν. διαφέρει δὲ οὐδὲν εἰς τὴν ὅλην τῆς ῥήσεως περίνοιαν τὸ τρεῖς γεγονέναι γραφὰς τοῦ τῆς ἐκτρέψεως ὀνόματος. ἔνιοι μὲν γὰρ *ἔκτρεψιν* γράφουσι διὰ τοῦ τ καὶ ρ καὶ ε κατὰ τὴν δευτέραν συλλαβὴν, τινὲς δὲ καὶ τὸ σ προστιθέασιν ἐν ἀρχῇ, γράφοντες *ἔκστρεψιν*, ἔνιοι δὲ καὶ *ἔκτριψιν* διὰ τοῦ τ καὶ ρ καὶ ι. παρεστήσαμεν γὰρ μίαν τέως γραφὴν, τὴν *ἔκτρεψιν*. αἱ δ' οὖν εἰρημέναι προσηγορίαι σαφεῖς εἰσιν· ἀπὸ γὰρ τοῦ ἐκτρέπεσθαι ῥήματος ἔκτρεψις, ἀπὸ δὲ τοῦ ἐκτρίβεσθαι ἔκτριψις γέγονεν, ἀξιούντων τῶν οὕτως γραφόντων φυλάττεσθαι ταῦτα τὸν κάμνοντα. Φαίνονται δὲ ὅμως πάντες οἱ ἐξηγησάμενοι τὴν ῥῆσιν ἐκ μέρους μὲν ἑωρακέναι τὴν γνώμην ἀνδρὸς, ὅλην δὲ ἀκριβῶς μὴ δεδυνῆσθαι περιλαβεῖν. ἐὰν γὰρ πρόσχῃ τις τῷ τέλει ταύτης, καθ' ἅ φησιν *ἐν παρέξι, ἐν χειρισμῷ, ἐν τῇ ἔπειτα ἕξι*, φανοῦνται μὲν ἅπαντες λέγοντες ἀληθῶς, ἄλλως ἄλλων χρησίμων ἐπὶ τοῦ κάμνοντος ἐσομένων ἐν τοῖς τρισὶ καιροῖς, παρέξει, χειρισμῷ, ἔπειτα ἕξει· ἀντας δὲ αὐτοὺς συνθεῖναι μὴ δυνηθέντες. ἔσται δὲ φανερὸν τοῦτο, διορισθέντων σαφῶς τῶν τριῶν καιρῶν. πρῶτος ἓν οὖν αὐτῶν ἐστιν, ἡνίκα παρέχουσιν οἱ πεπονθότες ἑαυτοὺς τοῖς ἰατροῖς εἰς ἀκριβῆ διάγνωσιν τῶν παθῶν, ὃν ὠνόμασε πάρεξιν. ἐφεξῆς δὲ αὐτῶν δεύτερος, ὁπότε πράττει κατὰ τὸ πεπονθὸς μέρος ὁ ἰατρὸς, ὃν ἐκάλεσε χειρισμόν. ἐξῆς τρίτος, ὃν προσηγόρευσε τῆς ἔπειτα ἕξεως· ἐν τῷ τῷ γὰρ σχήματι πρόκειται τηνικαῦτα φυλάττειν τῷ κάμνοντι τὸ πεπονθὸς μόριον. ἀπὸ τοῦ τοίνυν ἔχειν ἐν αὐτῷ ν προσηγορίαν τῆς ἕξεως ἐποίησεν. ἐν ἅπασι δὲ τοῖς τρισί.

καιροῖς τὸ μέν τι κοινόν ἐστι, τὸ δὲ καθ' ἕκαστον ἴδιον· κοινὸν μὲν τὸ φυλάττειν ἀκίνητον τὸ πεπονθὸς μέρος, ὡς ἐπιδέδετο, πλὴν εἰ μετακινῆσαι αὐτό πως ὁ ἰατρὸς ἐπιχειρήσει. ἴδιον δὲ καθ' ἕκαστον ἀγαθὸν ἐκ τούτου πρὸς τὴν τελείαν ἴασιν γίγνεται· κατὰ μὲν τὴν πάρεξιν, ἀκριβῶς διαγνῶναι τὸν ἰατρὸν ὃ μέλλει θεραπεύειν· κατὰ δὲ τὸν χειρισμόν, ἐπὶ μὲν τῶν καταγμάτων, ἀντιτεῖναι καὶ διαπλάσαι προσηκόντως καὶ ἐπιδῆσαι· ἐπὶ δὲ τῶν ἐξαρθρημάτων, ἀντιτεῖναι καὶ ἐμβαλεῖν καὶ περιλαβεῖν ἐπιδέσει προσηκούσῃ τὸν πεπονθότα τόπον· κατὰ δὲ τὰς τομάς, ἐκκριθῆναι τὸ πῦον ἤ τινα ἰχῶρα, περικοπῆναί τε τὸ σεσηπὸς ἢ διὰ πυρὸς ἐκκαυθῆναι. τούτοις οὖν καὶ ἡ τῶν ὑγρῶν ὑπόρρυσίς τε καὶ ὑπόστασις ὠφέλιμος, ἡ μέν, ὅπως γίγνοιτο· ἐχρῆν γὰρ ἐκκρίνεσθαι τὸ παρὰ φύσιν ὑγρόν· ,ἡ δέ, ὅπως μὴ γίγνοιτο, ·μένειν γὰρ ἔνδον οὐ προσήκει τὸ μοχθηρόν. ἐνίοτε δὲ καὶ ὑπόστασις γίγνεται χρήσιμος, καθάπερ ἐφ' ὧν ἀθρόως ἐκκενωθῆναι πῦον ἐξ ἀποστάσεως μεγάλης ἢ τὸ τῶν ὑδερικῶν ὑγρὸν εὐλαβούμεθα. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ τῶν ὑποκειμένων τῇ χειρουργίᾳ κόλπων ὑπόστασίν τε καὶ ὑπόρρυσιν, ὡς εἴρηται, φυλάττεσθαι προσήκει. ὡσαύτως δὲ κἀπὶ τῶν στερεῶν τοῦ σώματος μορίων τὰ λελεγμένα ταῦτα φυλάττεσθαι χρὴ πρὸς τοῦ κάμνοντος· ὡς ταὐτὰ γενέσθαι κατὰ τοὺς τρεῖς καιρούς, πάρεξιν, χείρισιν, ἔπειτα ἕξιν. τὸ μὲν γὰρ ἐξαίρειν αὐτὸν ἑαυτὸν ἀπαντῶντα τῷ χειρουργοῦντι, τὰς τομὰς ἐν οὐ προσήκοντι μέρει τὸν ἰατρὸν ἀναγκάζει ποιεῖν, διὰ τὸ παρεῖναι ἀεὶ τῇ σμίλῃ τὸν κάμνοντα· τὸ δὲ ἀποφεύγειν ἐλλειπῆ τὴν ἐνέργειαν ἐργάζεται, ποτὲ μὲν μεῖζον ἄν τι μέρος τῆς χειρουργίας τοῦ ἰατροῦ περαίνοντος, ποτὲ δὲ ἐξ ἡμίσεος

ἐγκαταλείποντος τὸ ἔργον καὶ θᾶττον ἔτι τοῦδε. γίγνεται δὲ ταῦτα καὶ καταδεδεμένων τῶν χειριζομένων, ἐνίοτε μὲν, οἷον ὅταν κατὰ τὸ ἐπιγάστριον χειρίζωνταί τι ἢ κατὰ τὴν ῥάχιν, ἑαυτοὺς ὑψούντων ἢ πρὸς τὸ πλάγιον ἐκτρεπομένων· ὅπερ ἐδηλοῦτο παρὰ τῆς ἐκτρέψεως· ἐνίοτε δὲ τούτων μὲν οὐδὲν πραττόντων, τεινόντων δὲ σφοδρῶς τοὺς μύας, ἥντινα μεταβολὴν δοκεῖ μοι δηλῶσαι διὰ τῆς 'ὡς δ δεῖ' προσηγορίας, ἐν τῷ φάναι '*ὡς δ δεῖ σώζηται καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου*'. πηλίκον δὲ κακόν ἐστιν, ὀφθαλμοῦ παρακεντουμένου, τὸν κάμνοντα μὴ φυλάξαι τὸ αὐτὸ σχῆμα καὶ εἶδος, ἢ μετακινούμενον, ἢ ἐντεινόμενον οὕτω σφοδρῶς, ὡς αἵματος πληροῦσθαι τὸ πρόσωπον, εὔδηλον παντί. παραπλήσιον δὲ κἀπειδὰν, ἐκκόπτοντος τοῦ ἰατροῦ τῆς κεφαλῆς ὀστοῦν, ἢ ὑψώσας βραχύ τι ταύτην ὁ χειριζόμενος ἢ ταπεινώσας ἢ πρὸς τὸ πλάγιον ἐκτρέψας διαφθείρῃ τὴν ἀκρίβειαν τῆς χειρουργίας· οὕτω δὲ καὶ ἐντείνων σφοδρῶς ἑαυτόν. ἐν μὲν γὰρ τῇ μεταβολῇ τῶν σχημάτων ἡ θέσις ἐπαλλάττεται τοῦ χειριζομένου μέρους· αἱ δὲ τάσεις ἐπὶ μὲν τῶν ἄλλων μορίων εἰς αἱμοῤῥαγίαν συντελοῦσιν, ἐπὶ δὲ τῶν μυῶν οὐ μόνον εἰς τοῦτο βλάπτουσιν, ἀλλὰ καὶ τὸ μόριον ἐνίοτε μὲν ὑψηλότερον, ἐνίοτε δὲ ταπεινότερον ἐργάζονται, ἔνθα μὲν ὀστοῦν ὑποτέταται μετεωριζομένου τοῦ μυὸς, ἔνθα δὲ λαγαρὰ ἡ χώρα, προστελλομένου τε καὶ διατεινομένου, καθάπερ ἐπὶ τῶν κατὰ μεσοπλεύριόν τε καὶ γαστέρα χωρίων.

Κ'.

4. *Ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν δακτύλων κορυφάς· ἐς χρῆσιν ἀσκέειν, δακτύλοισι μὲν ἄκροις τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν· ὅλῃ δὲ καταπρηνεῖ· ἀμφοτέρῃσι δὲ ἐναντίῃσι.*

Ἐπειδὴ εἶπε περὶ τοῦ χειριζομένου κατὰ τὴν προηγουμένην, εἶτα ἑξῆς πάλιν ἐπανῆλθεν ἐν τῇδε τῇ ῥήσει πρὸς τὸν περὶ τοῦ χειρίζοντος λόγον, πηλίκους μὲν εἶναι προσήκει τοὺς ὄνυχας αὐτοῦ διηγούμενος, ὁποίους δὲ τοὺς δακτύλους, ὅπως τε ἀσκεῖν αὐτούς. ὡς μὲν οὖν εἰς τὰς τῶν δακτύλων ἄκρων ἐνεργείας, αἵπερ δὴ καί εἰσιν ἴδιαι τῶν δακτύλων, τὸ μὴ ὑπερέχειν αὐτῶν τοὺς ὄνυχας μηδὲ ἐλλείπειν ἄριστον, ἐν τῷ πρώτῳ τῶν *Περὶ χρείας μορίων* ἐπὶ πλεῖστον ἐξειργασάμεθα· καθ' ὃ πᾶσαν ἄκρας τῆς χειρὸς ἐξηγησάμην τὴν φύσιν. ἐν δὲ τῷ παρόντι τὰς λέξεις μόνας ἀρκέσει σαφῶς ἐξηγήσασθαι. διττῆς οὖν οὔσης γραφῆς, ἑκατέραν ἐξηγήσομαι· τὴν μὲν ἑτέραν αὐτῶν οὕτως ἔχουσαν· '*ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν δακτύλων κορυφάς*,' εὐληπτότατα γὰρ οὕτως ἔσται τὰ τοῖς δακτύλοις ἄκροις θηρώμενα μικρὰ σώματα, πρὸς ἃ καὶ χρώμεθα ταῖς δι' ἄκρων αὐτῶν ἐνεργείαις. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς· '*ἐς χρῆσιν ἀσκέειν, δακτύλοισι μὲν ἄκροις τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν*,' ἵνα κατὰ μὲν τὴν προτέραν λέξιν ἡ διδασκαλία περὶ τοῦ μεγέθους τῶν ὀνύχων γίγνηται, κατὰ δὲ τὴν δευτέραν περὶ τῆς χρήσεως τῶν δακτύλων. Ἑτέρα δὲ γραφὴ τοιάδε ἐστίν· '*ὄνυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν*,' εἶτα ἀφ' ἑτέρας ἀρχῆς· '*δακτύλων κορυφῇσι χρῆσις*,' κατὰ δοτικὴν γεγραμ-

μένου τοῦ *κορυφῇσιν* ὀνόματος· ὡς εἶναι τὴν ὅλην διάνοιαν τοιάνδε· τοὺς ὄνυχας οὔτε ὑπερέχειν οὔτε ἐλλείπειν χρὴ τὸ μῆκος τῶν δακτύλων, ἀλλ' ἀκριβῶς ἐξισοῦσθαι· ταῖς γὰρ κορυφαῖς αὐτῶν χρῆσίς ἐστι. δόξει δὲ τοῦτο οὐ ψεῦδος, ἐὰν ὡς προσήκει αὐτό τις ἀκούῃ. τινὰ μὲν γὰρ ἔργα ταῖς ὅλαις χερσὶ δρῶμεν, ὥσπερ, εἰ τύχοι, περιλαβόντες ἀμφοτέραις αὐταῖς πῆχυν ἢ μηρὸν ἢ κνήμην ἤ τι τοιοῦτον ἕτερον, κατατείνομέν τε καὶ ἀντιτείνομεν· ἐν οἷς ἔργοις ὡς μόρια τῆς χειρὸς ἐνεργοῦσιν οἱ δάκτυλοι, παραπλησίως τοῖς θέναρσι καὶ τοῖς ἄλλοις αὐτῆς μέρεσι· παρακεντοῦντες δὲ καὶ ἀναῤῥάπτοντες ἢ καταῤῥάπτοντες ἢ πτερύγιον ἐξ ὀφθαλμοῦ κομιζόμενοι, τοῖς δακτύλοις ὡς δακτύλοις, οὐχ ὡς μορίοις τῆς χειρὸς χρώμεθα. παραπλησίως δὲ κἀπειδὰν ἤτοι διὰ σμίλης ἤ τινος ἑτέρου τοιούτου τὴν ἐνέργειαν ποιώμεθα. κατὰ πάσας οὖν τὰς ἐνεργείας τῶν δακτύλων ἄκροις αὐτοῖς χρώμεθα, καὶ διὰ τοῦτο ἔφην ὀρθῶς εἰρῆσθαι '*δακτύλων κορυφῇσι χρῆσις*', εἶτ' ἀφ' ἑτέρας ἀρχῆς '*ἀσκέειν, δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν*·' ᾗ αὖ λέξει δηλοῦται τὰς πλείστας τῶν δακτύλων ἐνεργείας γίγνεσθαι πρὸς τὸν μέγαν, ὃν περ ἀντίχειρα καλοῦσιν, ἀντιταττομένου τοῦ λιχανοῦ, ὥστε λαμβάνεσθαι τὸ λαμβανόμενον ὑπ ἀμφοτέρων, ἄκρων δηλαδή· τηνικαῦτα γάρ ἐστι χρεία μόνων τῶν εἰρημένων δακτύλων ἐνεργούντων. ἀλλὰ κἂν διὰ τῶν τριῶν λαμβάνηται δακτύλων, οἷον ὑπαλειφόντων τῇ μήλῃ, ἢ παρακεντούντων, τὸ πλεῖστον μὲν τῆς ἐνεργείας ὑπὸ τοῖν δυοῖν τῶν εἰρημένων γίγνεται, συνεπιβοηθεῖ δέ τι καὶ ὁ μέσος. ὅλῃ μέντοι πρηνεῖ χρώμεθα κατὰ τὰς ἐν ἰατρικῇ χειρουργίας, τῷ κοίλῳ περιλαμβάνοντες αὐτῆς τὸ σῶμα, περὶ δ

Κ'.

Ονυχας μήτε ὑπερέχειν μήτε ἐλλείπειν δακτύλων
κορυφάς· ἐς χρῆσιν ἀσκέειν, δακτύλοισι μὲν ἄκροις τὰ
πλεῖστα λιχανῷ πρὸς μέγαν· ὅλῃ δὲ καταπρηνεῖ ἀμ-
φοτέρῃσι δὲ ἐναντίῃσι.

Ἐπειδὴ εἶπε περὶ τοῦ χειριζομένου κατὰ τὴν προηγουμέ-
νην, εἶτα ἑξῆς πάλιν ἐπανῆλθεν ἐν τῇδε τῇ ῥήσει πρὸς τὸν
περὶ τοῦ χειρίζοντος λόγον, πηλίκους μὲν εἶναι προσήκει τοὺς
ὄνυχας αὐτοῦ διηγούμενος, ὁποίους δὲ τοὺς δακτύλους, ὅπως
τε ἀσκεῖν αὐτούς. ὡς μὲν οὖν εἰς τὰς τῶν δακτύλων ἄκρων
ἐνεργείας, αἵπερ δὴ καί εἰσιν ἴδιαι τῶν δακτύλων, τὸ μὴ
ὑπερέχειν αὐτῶν τοὺς ὄνυχας μηδὲ ἐλλείπειν ἄριστον, ἐν τῷ
πρώτῳ τῶν *Περὶ χρείας μορίων* ἐπὶ πλεῖστον ἐξειργασά-
μεθα· καθ' ὃ πᾶσαν ἄκρας τῆς χειρὸς ἐξηγησάμην τὴν φύ-
σιν. ἐν δὲ τῷ παρόντι τὰς λέξεις μόνας ἀρκέσει σαφῶς ἐξη-
γήσασθαι. διττῆς οὖν οὔσης γραφῆς, ἑκατέραν ἐξηγήσομα
τὴν μὲν ἑτέραν αὐτῶν οὕτως ἔχουσαν· *ὄνυχας μήτε ὑπ*
ρέχειν μήτε ἐλλείπειν δακτύλων κορυφάς· εὐληπτότε
γὰρ οὕτως ἔσται τὰ τοῖς δακτύλοις ἄκροις θηρώμενα μ.
σώματα, πρὸς ἃ καὶ χρώμεθα ταῖς δι' ἄκρων αὐτῶν
γείαις. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς· *ἐς χρῆσιν ἀσκέειν, δ*
λοισι μὲν ἄκροις τὰ πλεῖστα λιχανῷ πρὸς μέγα
κατὰ μὲν τὴν προτέραν λέξιν ἡ διδασκαλία περὶ το
θους τῶν ὀνύχων γίγνηται, κατὰ δὲ τὴν δευτέραν
χρήσεως τῶν δακτύλων. Ἑτέρα δὲ γραφὴ τοιάδε ἐστ
χας μήτε ὑπερέχειν μήτε ἐλλείπειν· εἶτα ἀφ' ἑ
χῆς· *δακτύλων κορυφῇσι χρῆσις*, κατὰ δοτικὴ

ἔθος ἐπ' ἐνίων φαινόμενον βρεφῶν ἀνενεγκεῖν τὸν λόγον, ἐθισάντων ἑαυτὰ τοῖς ἄλλοις δακτύλοις κατέχειν τὸν μέγαν· καὶ διὰ τοῦτο τὸ τοῦτον μένειν ἀργοῦντα, σμικρὸν καὶ ἀναυξὲς μένειν αὐτὸ τὸ πρὸς τὸν λιχανὸν αὐτοῦ διάστημα· καὶ ταῦτ' εἰς νόσον ἄκρας τῆς χειρὸς τελευτᾶν, ὡς εἰ καὶ εἰς βλάβην εἰρήκει. τινὲς δὲ ὑπὸ νόσου φασὶν αὐτὸν λέγειν γίγνεσθαι τοῦτο, καὶ τὴν νόσον ταύτην ἐξαρθρήσαντος τοῦ μεγάλου δακτύλου συμβαίνειν ἢ ἕλκους τινὸς ἐν τῇ μεταξὺ χώρᾳ γενομένου τοῦ τε λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου, καὶ τοῦ ἕλκους ἐν τῇ θεραπείᾳ σκληρὰν οὐλὴν ποιήσαντος· καὶ σκιῤῥωθεὶς δὲ ὁ μεταξὺ μῦς ἢ ἐκταθεὶς κατά τινα διάθεσιν ὡς ἂν ἄτροφός τε καὶ ἀναυξὴς γίγνεται. καὶ σηπεδὼν δ' ἐνίοτε μεγάλη, τὴν μεταξὺ τῶν δακτύλων σάρκα ἀφανίσασα, κἄπειτα σκληρὰν ἐργασαμένη τὴν οὐλὴν, μικρὸν ἀποτελεῖ τὸ τοῦ λιχανοῦ δακτύλου πρὸς τὸν μέγαν διάστημα καὶ ὥσπερ συνδεδεμένους ἀλλήλοις αὐτοὺς ἐργάζεται, καὶ μάλισθ' ὅταν, ὡς ἔφην, ἡ οὐλὴ σκληρὰ γένηται. καὶ μὲν δὴ καὶ καταῤῥυθμεῖσθαι τὰ τοιαῦτα πάντα παθήματα τοῖς παιδίοις εἰκὸς εἶναι· τοὺς γὰρ τελείους, ὑπὸ τῶν ἰατρῶν διδασκομένους, τῷ μαλάττειν τε καὶ κινεῖν τὸν μέγαν δάκτυλον εὐτροφίαν παρασκευάζειν τῇ μεταξὺ χώρᾳ· πρὸς δὲ τούτῳ τοῖς μὲν τελείοις ἅπαν ηὐξῆσθαι τὸ σῶμα, καὶ, εἴπερ ἄρα βλάπτοιντό τι, μόνον εἰς ἀτροφίαν τελευτᾷν τὸ πάθος· ἐπὶ δὲ τῶν βρεφῶν ἐν αὔξῃ τῇ πρώτῃ καταλαμβανομένων ὑπό τε τοῦ πάθους αὐτοῦ καὶ πρὸς τῷ πάθει τῆς ἀκινησίας τῶν δακτύλων, μηδ' αὔξεσθαι τὰ πεπονθότα μόρια, καὶ διὰ τοῦτο τὸ μεταξὺ τῶν δακτύλων πᾶν γίγνεσθαι μικρόν. ἐνίοις μὲν οὖν τοῦτο συμβαίνειν φασὶ κατά τινα διάθεσιν νοσηρὰν τοῦ

τὴν ἐνέργειαν ποιούμεθα. δακτύλους μὲν οὖν πεπονθότας κατατεῖναί τε καὶ διαπλάσαι καὶ ἡ μία χεὶρ ἱκανὴ, βραχίονα δὲ ἢ πῆχυν ἢ μηρὸν ἢ κνήμην οὐχ ἱκανὴ, ἀλλ' ἀμφοῖν εἰς τὰ τοιαῦτα μόρια χρήζομεν ἀντιταττομένων ἀλλήλαις, ὡς περιλαμβάνεσθαι τὸ κῶλον ἐν κύκλῳ. καὶ σικύαν δὲ προστιθέντες ἐν τῇ χειρὶ πρηνεῖ χρώμεθα, καὶ διὰ μικροῦ καυτῆρος ἐκθλίβοντες, καὶ σπογγιὰν ἐπιβάλλοντες, κατ' ἄλλα τε πολλὰ τῶν κατὰ τὴν ἰατρικὴν ἔργα, περὶ ὧν ἴσως καὶ τὰ λελεγμένα περιττὰ διὰ σαφήνειαν· αὐτὸς γάρ τις ἕκαστος ἀναμιμνήσκεσθαι δύναται τῶν δακτύλων καὶ τῶν χειρῶν τὰς ἐνεργείας ἁπάσας, τὰς μὲν ὑπ' ἀμφοτέρων γιγνομένας, τὰς δὲ ὑπὸ τῶν δακτύλων μόνων ἢ μόνης τῆς χειρός.

ΚΑ'.

Δακτύλων εὐφυΐη· μέγα τὸ ἐν μέσῳ τῶν δακτύλων καὶ ὑπεναντίον τὸν μέγαν τῷ λιχανῷ.

Οὐ γὰρ δυνατὸν ἄλλως ἀντιτετάχθαι κατὰ τὰς ἐνεργείας τῷ λιχανῷ τὸν μέγαν δάκτυλον, εἰ μὴ τὸ μέσον αὐτῶν εἴη μέγα. τοῦτο δὲ κἀπὶ τῶν ἄλλων δακτύλων ἄριστον, ἵν', ὅταν ἐν κύκλῳ δέῃ περιλαβεῖν τι σῶμα μέγα, πανταχόθεν αὐτὸ περιλαμβάνωσιν ἐπὶ πλεῖστον διϊστάμενοι.

ΚΒ'.

Νοῦσος δὲ, δι' ἣν καὶ βλάπτονται, οἷσιν ἐκ γενεῆς (—ἢ, ἐν τροφῇ—) εἴθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων κατέχεσθαι δακτύλων.

Ἐπειδὴ ἡ αὐτὴ ἡ διάνοια μένει κατ' ἀμφοτέρας τὰς γραφὰς, ἀπὸ τῆς σαφεστέρας ἄρξομαι. τισὶ μὲν οὖν ἤρεσεν εἰς

ἔθος ἐπ' ἐνίων φαινόμενον βρεφῶν ἀνενεγκεῖν τὸν λόγον, ἐθισάντων ἑαυτὰ τοῖς ἄλλοις δακτύλοις κατέχειν τὸν μέγαν· καὶ διὰ τοῦτο τὸ τοῦτον μένειν ἀργοῦντα, σμικρὸν καὶ ἀναυξὲς μένειν αὐτὸ τὸ πρὸς τὸν λιχανὸν αὐτοῦ διάστημα· καὶ ταῦτ' εἰς νόσον ἄκρας τῆς χειρὸς τελευτᾶν, ὡς εἰ καὶ εἰς βλάβην εἰρήκει. τινὲς δὲ ὑπὸ νόσου φασὶν αὐτὸν λέγειν γίγνεσθαι τοῦτο, καὶ τὴν νόσον ταύτην ἐξαρθρήσαντος τοῦ μεγάλου δακτύλου συμβαίνειν ἢ ἕλκους τινὸς ἐν τῇ μεταξὺ χώρᾳ γενομένου τοῦ τε λιχανοῦ δακτύλου καὶ τοῦ μεγάλου, καὶ τοῦ ἕλκους ἐν τῇ θεραπείᾳ σκληρὰν οὐλὴν ποιήσαντος. καὶ σκιῤῥωθεὶς δὲ ὁ μεταξὺ μῦς ἢ ἐκτακεὶς κατά τινα διάθεσιν ὡς ἂν ἄτροφός τε καὶ ἀναυξὴς γίγνεται. καὶ σηπεδὼν δ' ἐνίοτε μεγάλη, τὴν μεταξὺ τῶν δακτύλων σάρκα ἀφανίσασα, κἄπειτα σκληρὰν ἐργασαμένη τὴν οὐλὴν, μικρὸν ἀποτελεῖ τὸ τοῦ λιχανοῦ δακτύλου πρὸς τὸν μέγαν διάστημα καὶ ὥσπερ συνδεδεμένους ἀλλήλοις αὐτοὺς ἐργάζεται, καὶ μάλισθ' ὅταν, ὡς ἔφην, ἡ οὐλὴ σκληρὰ γένηται. καὶ μὲν δὴ καὶ καταῤῥυθμεῖσθαι τὰ τοιαῦτα πάντα παθήματα τοῖς παιδίοις εἰκὸς εἶναι· τοὺς γὰρ τελείους, ὑπὸ τῶν ἰατρῶν διδασκομένους, τῷ μαλάττειν τε καὶ κινεῖν τὸν μέγαν δάκτυλον εὐτροφίαν παρασκευάζειν τῇ μεταξὺ χώρᾳ· πρὸς δὲ τούτῳ τοῖς μὲν τελείοις ἅπαν ηὐξῆσθαι τὸ σῶμα, καὶ, εἴπερ ἄρα βλάπτοιντό τι, μόνον εἰς ἀτροφίαν τελευτᾶν τὸ πάθος· ἐπὶ δὲ τῶν βρεφῶν ἐν αὔξῃ τῇ πρώτῃ καταλαμβανομένων ὑπό τε τοῦ πάθους αὐτοῦ καὶ πρὸς τῷ πάθει τῆς ἀκινησίας τῶν δακτύλων, μηδ' αὔξεσθαι τὰ πεπονθότα μόρια, καὶ διὰ τοῦτο τὸ μεταξὺ τῶν δακτύλων πᾶν γίγνεσθαι μικρόν. ἐνίους μὲν οὖν τοῦτο συμβαίνειν φασὶ κατά τινα διάθεσιν νοσηρὰν τοῦ

ΟΒΕΛΙΣΜΟΣ.

ιή' Ἑστεῶτα δὲ δεῖ, [μὴ] ἐπ' ἀμφοτέρων . . :

Ἐν Μουνυχίᾳ, ἱσταμ. μην. Ποσειδεῶνος πέμπτῃ, ἔτους 1865.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

9.

Κατ' ἰητρεῖον.

Β'.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.

Τὸ Ἱπποκράτους Κατ' ἰητρεῖον βιβλίον καὶ Γαληνοῦ εἰς αὐτὸ ὑπόμνημα Β'.

Α'.

7. *Ἐπιδέσιος δύο εἴδεα, εἰργασμένον καὶ ἐργαζόμενον· ἐργαζόμενον μὲν, ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως· ταχέως μὲν, ἀνύειν τὰ ἔργα· ἀπόνως δὲ, ῥηιδίως δρῆν· εὐπόρως δὲ, ἐς πᾶν ἑτοίμως· εὐρύθμως δὲ, ὁρῆσθαι ἡδέως· ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται.*

Τὰ μὲν δὴ κοινὰ ταῖς ἐπιδέσεσιν ἀμφοτέραις ἐστὶ, τὰ δὲ καθ' ἑτέραν αὐτῶν ἴδια· τὰ μὲν γὰρ *εὐπόρως* καὶ *ταχέως* τῆς γιγνομένης ἐπιδέσεως ἴδια, τὰ δὲ *ἀγαθῶς* καὶ *καλῶς* τῆς ἤδη γεγονυίας. ὀνομάζει δ' αὐτὸς τὸ μὲν τῆς γιγνομένης ἐπιδέσεως *ἐργαζόμενον* εἶδος, τὸ δὲ τῆς ἤδη γεγονυίας *εἰργασμένον*. τὸ δὲ *ἀπόνως* καὶ *εὐρύθμως* ἀμφοῖν ἐστι κοινά· τὸ μὲν ἀπόνως κατ' ἄμφω τῷ τε ὀνόματι καὶ τῷ σημαινομένῳ, τὸ δὲ εὐρύθμως τῷ μὲν ὀνόματι κατ' ἄμφω, τῷ σημαινομένῳ δὲ οὐχ ὡσαύτως. ἐπὶ μὲν γὰρ τῆς ἔτι γιγνομένης ἐπιδέσεως ἡ εὐρυθμία κατὰ τὴν τῶν χειρῶν γίγνεται κίνησιν, ἐπὶ δὲ τῆς γεγονυίας ἤδη κατὰ τὴν οὖσαν περιβολὴν τῶν ὀθονίων. ἐγχωρεῖ δὲ καὶ τὴν γιγνομένην ἔτι περιβολὴν τῶν ἐπιδέσμων εὔρυθμον γίγνεσθαι

φάναι κατὰ τὸ ἐργαζόμενον εἶδος τῆς ἐπιδέσεως· μή τι δὴ καὶ τὸ ἀπόνως ἐπὶ πλέον ἐστὶν ἐν τῇ γιγνομένῃ ἢ ἐν τῇ ἤδη γεγονυίᾳ· ἡ μὲν γὰρ ἤδη γεγενημένη κατὰ τὴν τῶν ἐπιδέσμων μόνον θλίψιν ὀδύνην φέρει, ἡ δὲ γιγνομένη καὶ κατὰ τοῦτο μέν, ἀλλὰ καὶ κατὰ τὸ κρατεῖσθαι τὸ κῶλον μὴ προσηκόντως· θλίβεται γὰρ ἐνίοτε κατὰ τοῦτο μόνον, αὐτῆς τῆς περιβολῆς τῶν ἐπιδέσμων ἀναμαρτήτως ἐπιτελουμένης. ἐγχωρεῖ δὲ φάναι καὶ τὴν κατὰ τὴν τῶν ψαυόντων ὁμιλίαν ἤτοι ἀπονίαν ἢ μὴ κοινὴν ἀμφοῖν εἶναι· κατὰ μὲν τὴν γιγνομένην ἐπίδεσιν, τῶν ὑπηρετῶν τῶν κρατούντων τὸ θεραπευόμενον μέρος ἤτοι θλιβόντων ἢ μή· κατὰ δὲ τὴν ἤδη γεγονυῖαν, ἐπὶ τῆς ἀναλήψεως μέν, ὡς ἐπὶ τῆς χειρός, διὰ τὴν ταινίαν, ἀποθέσεως δέ, ὡς ἐπὶ σκέλους, διὰ τὰ ὑποβεβλημένα καθ' ὧν ἐστήρικται. οὐ μικρὸν δὲ τῇ τῆς γιγνομένης ἐπιδέσεως ἀπονίᾳ συντελεῖ τὸ τάχος τῆς ἐνεργείας, ὃ πάλιν αὐτὸ διὰ τῆς εὐπορίας μάλιστα συμπληροῦται. Καὶ δὴ ταῦτά ἐστι τὰ κυριώτατα τῆς γιγνομένης ἐπιδέσεως ἀγαθά, τό τε τῆς κρατήσεως ἄθλιπτον καὶ τὸ τῆς εὐπορίας ἕτοιμον· ἡ γὰρ ἐν τῷ σχήματι πλημμέλεια κοινὴ καὶ τῶν ἐπιδεδεμένων μορίων ἐστί. καὶ νῦν ὁ λόγος ἐνέστηκεν αὐτῷ περὶ τῆς ἐν τῷ προσήκοντι σχήματι γιγνομένης ἐπιδέσεως· ἴδιαι γὰρ ἀρεταὶ καὶ κακίαι τῶν σχημάτων εἰσίν, ὥσπερ καὶ τῶν ἐπιδέσμων, ὑπὲρ ὧν νῦν μόνων ποιεῖται τὸν λόγον ἄνευ τοῦ σχήματος. Ὅταν οὖν εὐπόρως ἡ ἐπίδεσις γένηται, ταχέως ἀνύει τὸ ἔργον· αὐτὸς γὰρ ἐδήλωσε τὴν εὐπορίαν ὅ,τι ποτὲ δύναται σημαίνειν ἐν τῷ φάναι· *εὐπόρως δέ, ἐς πᾶν ἑτοίμως*. καὶ γίγνεται τοῦτο προεγνωσμένου τῷ ἰατρῷ οὗ νῦν ἐπιδεῖται, ὡς μηδεμίαν ἀμφι-

βολίαν αὐτῷ καὶ σκέψιν ὑποπίπτειν ἐνεργοῦντι ὕστερον, πῶς δεῖ ἢ πῶς μὴ δεῖ ἄγειν τὸν ἐπίδεσμον. ἡ γοῦν εὐπορία τ'αὐτὸν οὖσα τῇ ἑτοιμότητι ῥᾴστην ἀποτελεῖ τὴν ἐνέργειαν· αὐτὸς δὲ εἶπε τὴν ἀπονίαν ἐκ τοῦ ῥᾳδίως δρᾶν γίγνεσθαι. πρόδηλον δὲ ὅτι καὶ τάχος ἔζευκται ταῖς εὐπόροις τε καὶ ἀπόνοις ἐνεργείαις. ἡ μὲν οὖν ἀπονία τῶν λυσιτελεστάτων ἐστὶ τῷ χειριζομένῳ, καὶ δὴ ταύτην τὸ τάχος τῆς ἐνεργείας καὶ ἡ εὐπορία τῷ ἀῤῥώστῳ ἐκπορίζουσιν. Τὸ δὲ τῆς εὐρυθμίας, ἡδονὴν τοῖς ὁρῶσιν ἐργαζόμενον, ὡς ἐφεξῆς αὐτὸς εἶπεν, ὡς ἐκ περιουσίας κεῖται τῷ χειρίζοντι, ἐπαῦξον αὐτῷ τὴν παρὰ τοῖς ἰδιώταις δόξαν· ἧς ὁ μὲν φιλόδοξος ἀνὴρ ἥττων ἐστὶν, ὡς ἐραστὴς παιδικῶν, ὁ δὲ φιλάνθρωπος ἥττων μὲν οὐ, ἀντιποιεῖται δὲ ἐπαινεῖσθαι, φροντίζων τοῦ μᾶλλον πιστεύεσθαι παρὰ τοῖς κάμνουσι· καὶ γὰρ καὶ πειθομένους αὐτῷ μᾶλλον ἕξει· λυσιτελὲς δὲ μᾶλλον τοῦτ' ἐστιν αὐτοῖς. ἕνεκα τοίνυν ταύτης τῆς παρὰ τοῖς πολλοῖς εὐδοξίας οὐ μόνον ἰατρὸς, ἀλλὰ καὶ φιλόσοφος ἀντιποιεῖται ἐπαινεῖσθαι· μᾶλλον γὰρ ὠφελεῖ τοὺς ἀνθρώπους τιμώμενός τε καὶ θαυμαζόμενος ὑπ' αὐτῶν, ὡς ἂν καὶ μᾶλλον μιμουμένων ἃ πράττει καὶ πειθομένων οἷς κελεύει, καθάπερ τινὸς θεοῦ προστάγμασιν. *ἀφ' ὧνδὲ ταῦτα ἀσκημάτων, εἴρηται*· τὸ ταχέως καὶ ἀπόνως καὶ εὐπόρως καὶ εὐρύθμως, ἀφ' ὧν ἀσκημάτων περιγίγνεται τοῖς ἰατροῖς, εἰρῆσθαί φησι· καὶ γὰρ εἴρηται μάλιστα μὲν ἐν τῷ *'τὰ ἔργα ἀσκέειν ἑκατέρῃσι δρῶντα καὶ ἀμφοτέρῃσιν ἅμα· ὅμοιαι γὰρ εἰσιν ἀμφότεραι*· ἔτι δὲ κἂν τῷ *'ἀσκέειν, δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν· ὅλῃ δὲ καταπρηνέϊ ἀμφοτέρῃσι δὲ ἐναντίῃσι.*

φάναι κατὰ τὸ ἐργαζόμενον εἶδος τῆς ἐπιδέσεως· μή τι δὴ καὶ τὸ ἀπόνως ἐπὶ πλέον ἐστὶν ἐν τῇ γιγνομένῃ ἢ ἐν τῇ ἤδη γεγονυίᾳ· ἡ μὲν γὰρ ἤδη γεγενημένη κατὰ τὴν τῶν ἐπιδέσμων μόνον θλῖψιν ὀδύνην φέρει, ἡ δὲ γιγνομένη καὶ κατὰ τοῦτο μὲν, ἀλλὰ καὶ κατὰ τὸ κρατεῖσθαι τὸ κῶλον μὴ προσηκόντως· θλίβεται γὰρ ἐνίοτε κατὰ τοῦτο μόνον, αὐτῆς τῆς περιβολῆς τῶν ἐπιδέσμων ἀναμαρτήτως ἐπιτελουμένης. ἐγχωρεῖ δὲ φάναι καὶ τὴν κατὰ τὴν τῶν ψαυόντων ὁμιλίαν ἤτοι ἀπονίαν ἢ μὴ κοινὴν ἀμφοῖν εἶναι· κατὰ μὲν τὴν γιγνομένην ἐπίδεσιν, τῶν ὑπηρετῶν τῶν κρατούντων τὸ θεραπευόμενον μέρος ἤτοι θλιβόντων ἢ μή· κατὰ δὲ τὴν ἤδη γεγονυῖαν, ἐπὶ τῆς ἀναλήψεως μὲν, ὡς ἐπὶ τῆς χειρὸς, διὰ τὴν ταινίαν, ἀποθέσεως δὲ, ὡς ἐπὶ σκέλους, διὰ τὰ ὑποβεβλημένα καθ' ὧν ἐστήρικται. οὐ μικρὸν δὲ τῇ τῆς γιγνομένης ἐπιδέσεως ἀπονίᾳ συντελεῖ τὸ τάχος τῆς ἐνεργείας, ὃ πάλιν αὐτὸ διὰ τῆς εὐπορίας μάλιστα συμπληροῦται. Καὶ δὴ ταῦτά ἐστι τὰ κυριώτατα τῆς γιγνομένης ἐπιδέσεως ἀγαθὰ, τό τε τῆς κρατήσεως ἄθλιπτον καὶ τὸ τῆς εὐπορίας ἕτοιμον· ἡ γὰρ ἐν τῷ σχήματι πλημμέλεια κοινὴ καὶ τῶν ἐπιδεδεμένων μορίων ἐστί. καὶ νῦν ὁ λόγος ἐνέστηκεν αὐτῷ περὶ τῆς ἐν τῷ προσήκοντι σχήματι γιγνομένης ἐπιδέσεως· ἴδιαι γὰρ ἀρεταὶ καὶ κακίαι τῶν σχημάτων εἰσὶν, ὥσπερ καὶ τῶν ἐπιδέσμων, ὑπὲρ ὧν νῦν μόνων ποιεῖται τὸν λόγον ἄνευ τοῦ σχήματος. Ὅταν οὖν εὐπόρως ἡ ἐπίδεσις γένηται, ταχέως ἀνύει τὸ ἔργον· αὐτὸς γὰρ ἐδήλωσε τὴν εὐπορίαν ὅ,τι ποτὲ δύναται σημαίνειν ἐν τῷ φάναι' *εὐπόρως δὲ, ἐς πᾶν ἑτοίμως*. καὶ γίγνεται τοῦτο προεγνωσμένου τῷ ἰατρῷ οὗ νῦν ἐπιδεῖται, ὡς μηδεμίαν ἀμφι-

ολίαν αὐτῷ καὶ σκέψιν ὑποπίπτειν ἐνεργοῦντι ὕστερον, πῶς
εἴ ἢ πῶς μὴ δεῖ ἄγειν τὸν ἐπίδεσμον. ἡ γοῦν εὐπορία
αὐτὸν οὖσα τῇ ἑτοιμότητι ῥάστην ἀποτελεῖ τὴν ἐνέργειαν·
ὗτὸς δὲ εἶπε τὴν ἀπονίαν ἐκ τοῦ ῥαδίως δρᾶν γίγνεσθαι.
ρόδηλον δὲ ὅτι καὶ τάχος ἔζευκται ταῖς εὐπόροις τε καὶ
πόνοις ἐνεργείαις. ἡ μὲν οὖν ἀπονία τῶν λυσιτελεστάτων
στὶ τῷ χειριζομένῳ, καὶ δὴ ταύτην τὸ τάχος τῆς ἐνερ-
γείας καὶ ἡ εὐπορία τῷ ἀῤῥώστῳ ἐκπορίζουσιν. Τὸ δὲ τῆς
ὐρυθμίας, ἡδονὴν τοῖς ὁρῶσιν ἐργαζόμενον, ὡς ἐφεξῆς αὐ-
ὸς εἶπεν, ὡς ἐκ περιουσίας κεῖται τῷ χειρίζοντι, ἐπαῦξον
ὐτῷ τὴν παρὰ τοῖς ἰδιώταις δόξαν· ἧς ὁ μὲν φιλόδοξος
νὴρ ἥττων ἐστὶν, ὡς ἐραστὴς παιδικῶν, ὁ δὲ φιλάνθρωπος
ἥττων μὲν οὐ, ἀντιποιεῖται δὲ ἐπαινεῖσθαι, φροντίζων τοῦ
μᾶλλον πιστεύεσθαι παρὰ τοῖς κάμνουσι· καὶ γὰρ καὶ πει-
θομένους αὐτῷ μᾶλλον ἕξει· λυσιτελὲς δὲ μᾶλλον τοῦτ' ἐ-
στιν αὐτοῖς. ἕνεκα τοίνυν ταύτης τῆς παρὰ τοῖς πολλοῖς
εὐδοξίας οὐ μόνον ἰατρὸς, ἀλλὰ καὶ φιλόσοφος ἀντιποιεῖται
ἐπαινεῖσθαι· μᾶλλον γὰρ ὠφελεῖ τοὺς ἀνθρώπους τιμώμε-
νός τε καὶ θαυμαζόμενος ὑπ' αὐτῶν, ὡς ἂν καὶ μᾶλλον μι-
μουμένων ἃ πράττει καὶ πειθομένων οἷς κελεύει, καθάπερ
τινὸς θεοῦ προστάγμασιν. *ἀφ' ὧνδε ταῦτα ἀσκημάτων, εἴρη-*
ται· τὸ ταχέως καὶ ἀπόνως καὶ εὐπόρως καὶ εὐρύθμως, ἀφ' ὧν
ἀσκημάτων περιγίγνεται τοῖς ἰατροῖς, εἰρῆσθαί φησι· καὶ γὰρ
εἴρηται μάλιστα μὲν ἐν τῷ '*τὰ ἔργα ἀσκέειν ἑκατέρῃσι*
δρῶντα καὶ ἀμφοτέρῃσιν ἅμα· ὅμοιαι γάρ εἰσιν ἀμφότε-
ραι· ἔτι δὲ κἂν τῷ '*ἀσκέειν, δακτύλοισι μὲν ἄκροις, τὰ*
πλεῖστα λιχανῷ πρὸς μέγαν· ὅλῃ δὲ καταπρηνέϊ ἀμφο-
τέρῃσι δὲ ἐναντίῃσι.

B′.

Εἰργασμένον δὲ ἀγαθῶς, καλῶς· καλῶς μὲν, ἁπλῶς, εὐκρινέως· ἢ ὅμοια καὶ ἴσα, ἴσως καὶ ὁμοίως, ἢ ἄνισα καὶ ἀνόμοια, ἀνίσως καὶ ἀνομοίως· τὰ δὲ εἴδεα, ἁπλοῦν, σκέπαρνον, σιμὸν, ὀφθαλμὸς, ῥόμβος, καὶ ἡμίτομον· ἁρμόζον τὸ εἶδος τῷ εἴδεϊ καὶ τῷ πάθεϊ τοῦ ἐπιδεομένου.

Δύο τῆς ἐπιδέσεως εἰπὼν εἴδη καὶ καλέσας αὐτῶν τὸ μὲν ἔτι γιγνόμενον ἐργαζόμενον, τὸ δὲ ἤδη γεγενημένον εἰργασμένον, ἐν τῇ πρὸ ταύτης ῥήσει τὸ ἐργαζόμενον ὅπως ἂν ἄριστα γίγνοιτο διῆλθεν, ἐν δὲ ταύτῃ τῇ νῦν προκειμένῃ τὸ εἰργασμένον· ἐν ᾧ τὸ μὲν καλῶς φησιν αὐτὸς γίγνεσθαι διά τε τοῦ ἁπλῶς καὶ διὰ τοῦ εὐκρινέως· τοῦ μὲν ἁπλῶς, ὅταν μήτε πεπαγμένον αὐτῶν τι ἢ τῶν ὀθονίων μήτ' ἐνδεδιπλωμένον μήτε ῥυτίδας ἔχον, ἀλλ' ὁμαλῶς καθ' ἅπαντα τὰ μέρη τεταμένον· τοῦ δ' εὐκρινέως, ὅταν αἱ δεύτεραι καὶ τρίται κατὰ τὸν αὐτὸν τρόπον νομαὶ προσηκόντως γίγνωνται. καί μοι δοκεῖ κ'ἀνταῦθα τῶν εἰρημένων ὑπ' αὐτοῦ δυοῖν, ἐξ ὧν συμπληροῦται τὸ καλῶς ἐπιδεδέσθαι, τὸ μὲν ἕτερον, τὸ ἁπλῶς, ἀνεξήγητον, ὡς σαφὲς, εἰρηκέναι, τὸ δ' εὐκρινῶς ἐξηγούμενος εἰρηκέναι τὰ ἐφεξῆς πάντα. καὶ τοίνυν ἤδη πρόσεχε τὸν νοῦν αὐτοῖς, μεμνημένος ὡς ἀρτίως ἐγὼ τὸ εὐκρινῶς ἔφην εἶναι προσηκόντως. προστίθεμεν οὖν δευτέραν περιβολὴν τοῦ ἐπιδέσμου ποτὲ μὲν ἀκριβῶς ἴσην τῇ πρώτῃ καὶ μηδαμόθεν παραλλάττουσαν, ποτὲ δὲ οὐκ ἴσην· γένοιτο δ' ἂν ἴση τις, τῶν κατὰ τὸ πλάτος αὐτοῦ περάτων ἐς τ'αυτὰ τελευτώντων, ὡς μήτε ὑπερβάλλειν μήτ' ἐνδεῖν τὸ ἕτερον, ἀλλ' ἀμφοῖν γενέσθαι τὸ πέρας, ὡς εἰ καὶ μία τις ἦν ἑνὸς

ἐπιδέσμου διπτύχου θέσις. ὡσαύτως δὲ τῇδε αὖ δεῖ καὶ τὴν τρίτην γίγνεσθαι καὶ, εἰ τετάρτης δέοι, καὶ ταύτην. ἐπί γ' οὖν τοῦ καλουμένου ῥόμβου τε καὶ ἡμιρομβίου τὴν ἀκρίβειαν ταύτην φυλάττεσθαι χρή.

Τὴν μέν τοι καταγματικὴν ἐπίδεσιν, ὅταν ἐπὶ πήχεως ἢ βραχίονος ἢ μηροῦ γίγνηται, τὸν εὐκρινέστερον τύπον ἴσχειν συμβαίνει· νέμεσθαι γὰρ ἐπ' αὐτῆς κελεύει τὸν μὲν πρῶτον ἐπίδεσμον ἄνω, τὸν δὲ δεύτερον πρῶτον μὲν κάτω, μετὰ ταῦτα δὲ αὖθις ἄνω, μέχρις ἐς τ'αυτὸν ἀφίκηται πέρας τῷ πρώτῳ· τοῦτο δὲ οὐ δύναται γενέσθαι χωρὶς τοῦ παραλλάττειν ἄλληλα τὰ πέρατα τοῦ πλάτους τῶν ὀθονίων. ἐν τύπῳ δὲ πάλιν αὐτὸ τοῦτο γενήσεται, φυλαττομένης διὰ πάσης τῆς ἐπιδέσεως ἴσης τῆς ἐγκλίσεως, ἣν ἀπὸ τῆς ἐγκύκλου περιβολῆς ἐποιησάμεθα· καλεῖται δὲ ἔγκυκλος ἡ κατὰ κύκλον ἀπερεγκλίτως περιλαμβάνουσα τὸ πεπονθὸς μέρος. ἐπὶ ταύτης μὲν οὖν τὰ τῆς πρώτης καὶ δευτέρας καὶ τρίτης περιβολῆς τῶν ὀθονίων τοῦ πλάτους πέρατα κατ' ἀλλήλων ἐπικείσεται, μήτε ὑπερέχοντός τινος μήτ' ἐνδέοντος· τῆς δὲ ἐγκεκλιμένης ἀναγκαῖον μὲν δήπου τὴν νομὴν ἢ πρὸς τὰ κάτω τοῦ πεπονθότος μέρους ἢ πρὸς τὰ ἄνω γίγνεσθαι· φυλαττομένης δὲ κἂν τούτῳ τῆς ἐγκλίσεως ὁμοίας διὰ παντὸς, εὐκρινὴς οὕτως ἡ ἐπίδεσις ἔσται. Εἴπερ οὖν προσέχεις τὸν νοῦν τοῖς εἰρημένοις, ἤδη σοι δῆλόν ἐστιν ἕνα μὲν τρόπον εἶναι τῆς ἐγκύκλου περιβολῆς τῶν ὀθονίων, οὐκ ἔχοντα τὸ μᾶλλον καὶ ἧττον, οὐχ ἕνα δὲ τῆς ἐγκεκλιμένης· ἧττον τε γὰρ καὶ μᾶλλον ἑτέραν ἑτέρας ἐγκεκλίσθαι δυνατόν. αὐτὸς μὲν οὖν ἐνταῦθα τὴν μὲν ὀλίγον ἐγκεκλιμένην σκέπαρνον ὀνομάζει, τὴν δὲ πολὺ, σιμὴν, ἐκ

μεταφορᾶς τοῖς ὀνόμασι χρώμενος· σκέπαρνον μὲν γὰρ οἱ τέκτονες ὀνομάζουσιν ὄργανόν τι κατὰ τὸ πέρας αὐτοῦ, καθ' ὃ τέμνει τὰ ξύλα, βραχεῖαν ἐπιστροφὴν ἔχον ὀφρυώδη, καθάπερ ἡ ἄμβη· σιμὰ δὲ καλοῦσιν οἱ Ἕλληνες χωρία καθ' ἃ συνάπτει λόφῳ πεδίον· ὧν τῇ συμβολῇ γεννᾶται τὸ σιμὸν, ἑκατέρου καθ' ἑαυτὸ τῶν συμβαινόντων οὐκ ὄντος σιμοῦ· τὸ μὲν γὰρ πεδίον εὐθὺ καὶ ὁμαλές ἐστιν, ὁ δὲ λόφος ἀνάντης καὶ ὑψηλός· ἔνθα δὲ ἀλλήλοις συμβάλλουσι, τὸ σιμὸν γίγνεται σχῆμα. ὡσαύτως δὲ τοῦτο, κἂν ὁδὸς κατάντης ἀνάντει συνάπτῃ, κατὰ τὴν συμβολὴν αὐτῶν γίγνεται· οὕτω καὶ τῆς ῥινὸς τὸ σιμὸν ᾧ κατὰ μέσον τῶν ἑκατέρωθεν ὑψουμένων τὴν γένεσιν ἔχει· καὶ ἤδη σύμπασα ἡ ῥὶς ἀπὸ τούτου τοῦ μέρους ὀνομάζεται σιμή· πολλὰς γὰρ ἴσμεν ὅλοις τοῖς σώμασι προσηγορίας ἀπὸ τῶν μορίῳ τινὶ συμβεβηκότων γιγνομένας, ὥσπερ καὶ αὐτὸν τὸν σιμὸν ἄνθρωπον· οὐ γὰρ οὕτω σιμὸς, ὡς παχὺς ἢ ἰσχνὸς ἢ λευκὸς ἢ μέλας, ἀλλ' ὡς ἢ γλαυκὸς ἢ χαροπὸς ἢ κυρτὸς λέγεται. Ἐπὶ μὲν οὖν τῆς ῥινὸς καὶ τῶν ὀδῶν ἡ σιμότης κυρίως ὀνομάζεται· ἐπὶ δὲ τῆς ἐπιδέσεως ὑφ' Ἱπποκράτους, ὥσπερ καὶ τὸ σκέπαρνον, εἶδος τῆς περιβολῆς τῶν ὀθονίων. ὅταν γὰρ κελεύῃ τοὺς σπλῆνας σκεπαρνηδὸν περιβαλεῖν τῷ κώλῳ, διορίζει τῆς ἐγκύκλου περιβολῆς τὸ ἐγκεκλιμένον οὕτως, ὡς τὸ τεκτονικὸν σκέπαρνον. οὐ γὰρ βούλεται λοξὴν ἱκανῶς γίγνεσθαι τὴν περιβολὴν τῶν σπληνῶν, ἀφεστηκυῖαν πολὺ τῆς ἐγκύκλου καλουμένης, ἀλλ' ἐγκεκλίσθαι μικρὸν, ὅσον ἱκανὸν ἀσφαλεστάτην ἐργάσασθαι τὴν κράτησιν τῶν συντετριμμένων. εὔδηλον δὲ ὅτι καθ' ἑκατέραν τῶν εἰρημένων περιβολῶν τὸ μᾶλλόν τε καὶ ἧττόν ἐστιν, οὐδετέρας αὐτῶν ἁπλῆς

οὔσης οὐδὲ μονοειδοῦς, ὥσπερ ἡ ἔγκυκλος. Ἐπὶ κοινῆς μὲν οὖν ὑπεναντίαν ἀκούει τῇ ἁπλῇ ἢ ἐγκύκλῳ τὴν ἐγκεκλιμένην, ἐφεξῆς δὲ τό τε σκέπαρνον καὶ τὸ σιμὸν ἑκάτερον ἰδίᾳ καὶ καταμόνας, ὡς διώρισται. τὸ τοίνυν εὐκρινέως σημαίνει μὲν τὸ οἷον διακεκριμένως τε καὶ διωρισμένως, γίγνεται δὲ, ὡς ἔφην, ἤτοι πασῶν τῶν περιβολῶν τοῦ ἐπιδέσμου τὰ αὐτὰ πέρατα κατὰ τὸ πλάτος ἐχουσῶν ἢ τὴν ἔγκλισιν τεταγμένην· ὀνομάζω δὲ τεταγμένην ἔγκλισιν, εἰ τὰ φαινόμενα μέση τοῦ πλάτους τῶν ὀθονίων ἴσον ἀλλήλων ἀφέστηκεν· ἔσται δὲ τοῦτο, ἴσην τὴν ἔγκλισιν ἀεὶ φυλάττοντος τοῦ ἐπιδοῦντος ἣ ἐξ ἀρχῆς ἐνεστήσατο.

Καινοτομοῦντες δὲ, ὥσπερ ἐν ἄλλοις, καὶ μετατιθέντες τὰς παλαιὰς γραφὰς ὅ τε Ἀρτεμίδωρος καὶ ὁ Διοσκουρίδης, οὕτως κ'ἀνταῦθα μεταβάλλοντες τὴν κλῆσιν *ἁπλοῦν ἔγκυκλον* ἔγραψαν, νοήσαντες μὲν ὀρθῶς, μεταγράψαντες δὲ τολμηρῶς. ἐπὶ μέν τοι τῶν πλείστων οὐδὲ καλῶς νοήσαντες ἐτόλμησαν μεταγράψαι· διὰ τοῦτο δὲ νῦν αὐτῶν ἐμνημόνευσα, καίτοι μυρία τῶν ἔμπροσθεν ἄχρι τοῦ δεῦρο μεταγεγραφότων οὐ μνημονεύσας, ἐπεὶ τοῦτ' ἔδοξάν μοι καλῶς ἐννενοηκότες ἐπὶ τὸ σαφέστερον μεταγράψαι, σφαλέντες ἐν πλείστοις ἄλλοις καὶ μὴ νοήσαντες ὃ ὁ συγγραφεὺς βούλεται. Περὶ μὲν δὴ τούτων ἅπαξ ἀρκέσει λελέχθαι· προειπὼν δὲ ὁ Ἱπποκράτης '*καλῶς μὲν, ἁπλῶς, εὐκρινέως*, ἐφεξῆς δὲ προσθεὶς '*ἢ ὅμοια καὶ ἴσα, ἴσως καὶ ὁμοίως· ἢ ἄνισα καὶ ἀνόμοια, ἀνόμοια καὶ ἀνομοίως*, τὸν κοινὸν σκοπὸν ἐδίδαξε τῶν εὐκρινῶν ἐπιδέσεων. τὰ μὲν γὰρ ἴσα καὶ ὅμοια μέλη τοῦ σώματος ἴσως καὶ ὁμοίως κατὰ πάνθ' ἑαυτῶν τὰ μόρια τὸν ἐπίδεσμον ἐπιδεῖσθαι δεῖται, τὰ δὲ ἄνισα καὶ ἀνόμοια

ἀνίσως καὶ ἀνομοίως. καίτοι τά γε παλαιὰ τῶν ἀντιγρά-φων καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον ἐλλιπῶς ἴσασι γεγραμ-μένην τὴν λέξιν, οὐ προσκειμένου τοῦ *ἀνίσως καὶ ἀνομοίως*, ἀλλὰ μόνου γεγραμμένου τοῦ *ἄνισα καὶ ἀνόμοια*· ᾧ προσ-υπακούειν κελεύουσι τὸ *ἀνίσως καὶ ἀνομοίως*, ὡς παρα-λελειμμένον ὑπ' αὐτοῦ διὰ τὸ φαίνεσθαι σαφῶς ἐξ ἀκολου-θίας τῆς πρὸς τὰ εἰρημένα. τοιόνδε δὲ τῆς ἑρμηνείας εἶδος οὐ βραχυλογίας ἴδιόν ἐστιν, ἀλλ' ἡμαρτημένον προδήλως. ἄ-μεινον οὖν, εἴπερ οὕτως εὑρέθη γεγραμμένον, ἡγεῖσθαι, κα-θάπερ καὶ ἄλλα πολλὰ τῶν πρώτων ἀντιγράφων ἡμαρτήθη, καὶ τοῦτο συμβῆναι, τοῦ μὲν βιβλιογράφου παραλιπόντος αὐτὰ, φυλαχθείσης δὲ ἄχρι δεῦρο τῆς ἁμαρτίας. Ἐπὶ μὲν οὖν βραχίονος ἴσως καὶ ὁμοίως ἐγχωρεῖ ποιεῖσθαι τὰς περι-βολὰς, ἐπὶ δὲ μηροῦ καὶ πήχεως ἀπολειπομένας, βραχὺ δὲ πλεῖον ἐπὶ κνήμης. ἐπ' ὤμου μέν τοι καὶ ἰσχίου ἀντικειμέ-νων μερῶν δεόμεθα, καθάπερ κἀπὶ τῶν πλαγίων τῆς κεφα-λῆς· τὰ μὲν γὰρ κατὰ μέτωπον καὶ ἡ ῥὶς ἐγκύκλου δεῖται τῆς περιβολῆς ἴσως καὶ ὁμοίως γιγνομένης, καθάπερ καὶ τὰ κατὰ τὴν κορυφὴν, εἰ καὶ μὴ ἐγκύκλως, ἀλλ' ἴσως γε καὶ ὁμοίως κἀνταῦθα τῆς ἐπιδέσεως γιγνομένης χρῄζει. Περὶ μὲν οὖν τούτων ἐν τοῖς ἐφεξῆς ἐπιμελέστερον εἰρήσεται· νυνὶ δὲ ἐπὶ τὸ λοιπὸν τῆς ῥήσεως ἴωμεν. διελθὼν γὰρ ὁ Ἱππο-κράτης τὰς ἁπλᾶς περιβολὰς τῶν ἐπιδέσμων, τρεῖς οὔσας, ἔγκυκλον, σκέπαρνον, σιμὸν, ἐφεξῆς μέμνηταί τινων συνθέ-των, ὀφθαλμοῦ, ῥόμβου καὶ ἡμιτόμου· καλοῦσι δὲ τὸ ἡμίτο-μον τοῦτο καὶ ἡμιρόμβιον. εἶτ' ἐφεξῆς πάλιν φησὶν '*ἁρμό-ζον τὸ εἶδος τῷ εἴδει καὶ τῷ πάθει τοῦ ἐπιδεομένου*,' τὸ εἶδος τοῦ ἐπιδέσμου κελεύων ἁρμόττον εἶναι τῷ τε τοῦ πε-

ιότος μέρους εἴδει καὶ τῷ κατ' αὐτὸ πάθει· τὸ μὲν γὰρ ἐπιδέσεως εἶδος, ὃ καλοῦμεν ὀφθαλμὸν, ἐπ' ὀφθαλμοῦ ιλαμβάνομεν ἤτοι πρόπτωσιν κινδυνεύοντος ἢ κρατήματ ἕνεκα τῶν ἐπικειμένων αὐτῷ· τὸν δὲ ῥόμβον ἐπὶ κεφα-, ἤτοι ῥαφὰς κεχαλασμένας βουλόμενοι συναγαγεῖν ἢ ους ἐκπεπταμένα χείλη καί ποτε καὶ προστεῖλαι καὶ λῆσαι τὸ δέρμα μέχρι πλείονος ἀποσεσυρμένον. ἀνάλο- δὲ τοῖσδε καὶ ἡ τοῦ ἡμιρομβίου γίγνεται χρεία. Ταῦτα οὖν ὡς παραδείγματα γέγραφεν Ἱπποκράτης· ἀναλόγως αὐτοῖς ἡμᾶς ἐξευρίσκειν δεῖ καθ' ἕκαστον μέρος καὶ πά- ἐπίδεσιν ἁρμόττουσαν ἢ παρὰ τῶν εὑρηκότων μανθά- · ἄμεινον δὲ καὶ τὸν διδάσκοντα μὴ ἁπλῶς κελεύειν, ὰ μετὰ τοῦ τὴν ὁδὸν ὑφηγεῖσθαι, καθ' ἣν αὐτὸς εὗρε ἐπίδεσμον· ἥ τε γὰρ ἀνάμνησις τοῖς μανθάνουσι, κἂν λανθάνωνταί ποτε, γίγνοιτ' ἂν οὕτως· ἀτὰρ καὶ τὸ προσ- οεῖν ὃ μὴ μεμαθήκασιν ὑπάρξει. διὰ τοῦτο οὖν ἴσως ινόν ἐστι καὶ ἡμᾶς ἰδίαν ποιήσασθαι καθ' ἓν ὑπόμνημα κσκαλίαν περὶ τῆς πρεπούσης ἐπιδέσεως καὶ τῷ μέρει σώματος καὶ τῷ πάθει.

Γ'.

ι. *'Αγαθῶς δὲ, δύο εἴδεα τοῦ ἐπιδεομένου, ἰσχύος · ἢ πιέξι, ἢ πλήθεϊ ὀθονίων.*

)τι μὲν εἴδη λέγειν εἴωθε τὰς διαφορὰς, ἔμπροσθεν εἴ- ιι· ζήτημα δὲ μέγιστον εἰργάσατο, διαφωνίας αἴτιον ἐξηγησαμένοις τὸ βιβλίον, οὐκ εἰπὼν ὀνομαστὶ τὰ δύο ι, καθάπερ ἔμπροσθεν ἐπ' ἄλλων ἐποίησε. τὸ μὲν οὖν τῶν ιν εἶναι ἐν τῷ ποσῷ τῆς πιέσεως, ὅπερ αὐτὸς ἰσχὺν ὠ-

νόμασε, δῆλον ἐκ τοῦ λέγειν αὐτόν· *ἰσχύος μὲν, ἢ πιέξι, ἢ πλήθεϊ ὀθονίων*. ἔστι γάρ τις συμμετρία τῆς κατὰ τὴν ἐπίδεσιν ἰσχύος, ἧς ὑπερβαλλούσης μὲν οἱ κάμνοντες ὀδυνῶνται, θλιβομένων τῶν μορίων, ἐλλειπούσης δὲ χαλαρὸς τὸ σχῆμα ὁ ἐπίδεσμος γίγνεται· τὸ δὲ ἕτερον εἶδος τῆς ἀγαθῆς ἐπιδέσεως οὐκ εἶπεν. ἐφεξῆς δὲ οἷς περὶ τῆς ἰσχύος ἔγραψεν, ὡδέ πως φησί.

Δ'.

Τὸ μὲν οὖν αὐτὴ ἡ ἐπίδεσις ἰῆται, τὸ δὲ τοῖσιν ἰωμένοισιν ὑπηρετέει.

Τοῦτο δὴ οὐκ ἔστιν ἕτερον εἶδος, ἀλλὰ καθόλου χρεῖαι κοιναὶ πασῶν ἐπιδέσεων· καὶ μέν τοι καὶ μετὰ ταῦτα, πῶς ἂν ἡ συμμετρία τῆς ἐπιδέσεως φυλαχθείη, γράφει, καὶ μετὰ τοῦτο περὶ ἅμματος· εἶθ' οὕτως ἄρχεται τῆς ἐφεξῆς διδασκαλίας λέγων· *εὖγε μὴν γνόντα, ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος· οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω*· καὶ τὰ τούτων ἐφεξῆς λεγόμενα. ὁ δὲ λοιπὸς λόγος αὐτῷ περὶ τοῦ ποιοῦ τῆς ἐπιδέσεως γίγνεται. τεμνομένου δὲ καὶ τοῦδε πάλιν εἴς τε τὸ γνῶναι, πόθεν ἄρχεσθαι προσήκει καθ' ἕκαστον μέρος καὶ πάθος, εἰς ὅ,τι τε πάντων ὕστατον ἄγειν τὴν τελευτὴν τῆς ἐπιδέσεως, καὶ εἰς τὸ, τήν τε ἐν τῷ μεταξὺ νομὴν τῶν ἐπιδέσμων ὁποίαν τινὰ χρὴ ποιεῖσθαι, τάς τε καθ' ἕκαστον μέρος περιβολὰς, καὶ ταῦτ' ἐδίδαξεν. ἐν οἷς γάρ φησι *τὰ δὲ κινούμενα, οἷον ἄρθρα, ὅπη μὲν συγκάμπτεται*, τὸν τρόπον τῆς περιβολῆς τῶν ἐπιδέσμων διέρχεται. καὶ μέν τοι καὶ ὅπως χρὴ τὰ πέρατα τῶν ἐπιδέσμων ἀσφαλῶς τούτοις φυ-

εσθαι ἐφεξῆς ἔγραψεν· ἐντεῦθέν τε μεταβὰς, τίνα τῶν σμων ἐστὶν ἔργα, διῆλθεν· ὥστε τῆς ἀγαθῶς γιγνο- ἐπιδέσεως τὸ ἕτερον εἶδος, ὃ τῷ τῆς ἰσχύος ἀντι- ῖται, τὴν ὅλην ποιότητα τῆς ὅλης ἐπιδέσεως εἶναι. ποῦ δ' ὄντος ἑνὶ περιλαβεῖν κοινῷ ὀνόματι τὰς ἐν τού- ῳ εἴδει μερικὰς διαφορὰς, διὰ τοῦτ' ἴσως οὐδ' ἐπεχεί- ἔτι τὸ ἀντιδιῃρημένον τῇ ἰσχύϊ διὰ μιᾶς προσηγο- δηλῶσαι. ὅτι δὲ τοῦτο οὕτως ἔχει, ἐξ αὐτῶν τῶν ῥή- ἔσται φανερὸν, δι' ὧν σημαίνει τὰς γιγνομένας αὖθις βολὰς ἐφ' ἑκάστων τῶν εἰρημένων κατὰ μέρος κεφα- ν. ὠνομάσθω δὲ ἅπαν αὐτῶν τὸ γένος ἕνεκα σαφοῦς τκαλίας καὶ συντόμου ποιότης ἐπιδέσεως. *Ἰσχύος μὲν, ξι ἢ πλήθεϊ ὀθονίων*· ὥσπερ τὸ τῆς δυνάμεως ὄνομα μὲν ἀντίον τάττοντες τῷ τῆς ἀσθενείας λέγουσι, ποτὲ πὶ τοῦ κοινοῦ ῥώμης τε καὶ ἀῤῥωστίας ἐπιφέρουσιν, τως δὲ καὶ τὸ μέγεθος λέγουσι καὶ ἄλλα πολλὰ τῶν μέρος ὁμωνύμως τῷ κοινῷ· οὕτως νῦν καὶ αὐτὸς κέ- χι τῷ τῆς ἰσχύος ὀνόματι· προσήκει γὰρ οὔτε ἰσχυρῶς ιν, οὔτε ἀσθενῶς περιλαμβάνειν τὰ πεπονθότα μόρια ἐπιδέσμοις ὡς μὴ αἰσθάνεσθαι περικειμένων αὐτῶν τὸν ιοῦντα. καὶ μέν τοι καὶ τὸ *πλήθεϊ τῶν ὀθονίων*, ἀντὶ ποσότητι δεκτέον, ὡς μὴ δὴ ἐνταῦθα τὸ ἀντιδιαιροῦ- ν τῇ ὀλιγότητι πλῆθος ἀκούειν ἡμᾶς. ἡ γὰρ συμμετρία ῆς ἐπιδέσεως ἀγαθὸν ἐργάζεται· καλῶ δὲ ἀγαθὸν δη- ι τὸ συμφέρον τε καὶ ὠφέλιμον αὐτῆς. καὶ μέντοι ἐν ροσκεῖσθαι παραβαλλομένων ἀλλήλαις δυοῖν ἐπιδέσεων, οτέραν μὲν τὴν μᾶλλον πιέζουσαν, ἀσθενεστέραν δὲ τὴν ν ἐροῦμεν· οὐδὲν γὰρ ἄτοπον ὡς πρὸς μὲν τὴν ὑποκει-

ένην ἀεὶ διάθεσιν συμμέτρως ἔχειν τὴν ἐπίδεσιν, πρὸς δὲ
τέραν τινὰ παραβαλλομένην ἰσχυρὰν ἢ ἀσθενῆ λέγεσθαι. ε
ὁπηνίκα δὲ λύειν ἢ ἐπιτείνειν χρὴ τὴν ἐπίδεσιν ἢ τὸ τῶν
ὀθονίων πλῆθος αὐξάνειν ἢ μειοῦν, ἐν τῷ Περὶ ἀγμῶν αὐ-
τὸς ἐδίδαξε σαφέστατα.

Ε΄.

Ἐς μὲν οὖν ταῦτα νόμος.

Οἱ κατὰ τὰς πόλεις νόμοι λόγοι τινές εἰσι προστακτικοὶ
μὲν ὧν χρὴ ποιεῖν, ἀπαγορευτικοὶ δὲ ὧν οὐ χρή· τούτοις
οὖν τοῖς νόμοις ἐοικέναι φησὶ τὰ νῦν εἰρημένα, μηδὲν ἔχοντα
στοχαστικὸν ἢ ἀμφίβολον, ὡς ἄλλα τινὰ τῶν κατὰ τὴν ἰα-
τρικὴν τέχνην. τὸ δ' αὐτὸ κἂν τῷ περὶ καταγμάτων εἴρη-
κεν, ἐπὶ τὸ μετριώτερον ὑφεὶς τὸ τῆς ἀποφάσεως σφοδρόν·
οὐ γὰρ ἁπλῶς εἶπεν *'ἐς μὲν οὖν ταῦτα νόμος'*, ὡς νῦν, ἀλ-
λ' *'οὗτος ὁ λόγος ὥσπερ νόμος δίκαιος κεῖται περὶ κα-
ταγμάτων ἰήσιος.'*

ΣΤ΄.

*Ἐν δὲ τούτοισι μέγιστα ἐπιδέσιος πίεξις μὲν, ὥ
τὰ ἐπικείμενα μὴ ἀφεστάναι μηδὲ ἐσκίμφθαι, ἀλλὰ
μάσθαι μὲν, προσηναγκάσθαι δὲ μὴ, ἧσσον μὲν
σχατα, ἥκιστα δὲ τὰ μέσα.*

Ἐν τούτοις φησὶ τοῖς κατὰ τὸ τῆς ἰσχύος εἶδος δ
μένοις μέγιστα παραγγέλματα τῆς ἐπιδέσεως εἶναι,
κείμενα τῷ πεπονθότι μορίῳ, λέγει δὲ δηλονότι τὸ
μήτε ἀφεστάναι τοῦ χρωτὸς μήτε θλίβειν, ἀλλ'
μὲν, τουτέστιν ἀσφαλῶς ἐρηρεῖσθαι, προσηναγκάσθ

αίνει δὲ τοῦτο δηλονότι τὸ προσηναγκάσθαι τὰ ὀθόνια
σφοδρῶς περιβεβλῆσθαι τοῖς πεπονθόσι μορίοις, ὡς ὀδύ-
παρέχειν. αὐτὰ δὲ ταῦτα τὰ παραγγέλματα περὶ τοῦ
οῦ τῆς πιέσεως, ἔνθα μὲν τὸ πάθος ἐστὶν, ἥκιστα πα-
αίνειν προσήκει, κατὰ δὲ τὰ πέρατα φροντίζειν μὲν κἀν-
θα πάντως αὐτῶν, ἀλλ' ἧττον ἢ κατὰ τὰ μέσα. κάλ-
τον γὰρ ἀναμάρτητον εἶναι τέχνην· εἰ δέ πού τι μικρὸν
αρτάνοι, κατ' ἐκεῖνα γίγνεσθαι τὰ μόριά τε καὶ πάθη,
θ' ἃ ἡ βλάβη μικροτέρα, ἥκιστα δὲ ἁμαρτάνειν ἐν οἷς ἀ-
όλογος ἡ βλάβη.

Ζ'.

Ἄμμα καὶ ῥάμμα νεμόμενον μὴ κάτω, ἀλλ' ἄνω, ἐν παρέξι καὶ σχέσι καὶ ἐπιδέσι καὶ πιέξι.

Διὰ τί μὲν ἀτάκτως παρήνεγκε τῷ περὶ τῆς ἐπιδέσεως λόγῳ τὸν περὶ τούτων, ὀλίγον ὕστερον ὀψόμεθα· νυνὶ δὲ πρότερον ὃ λέγει νοῆσαι πειραθῶμεν· ἐπεὶ διαφωνία γέγονε τοῖς ἐξηγηταῖς· ἔνιοι μὲν γὰρ ἁπλῶς ἤκουσαν περὶ τῆς κατὰ τὸ μῆκος διαστάσεως εἰρῆσθαι τό τε ἄνω καὶ τὸ κάτω, τινὲς δὲ ἐπὶ τῆς κατὰ τὸ πάθος, οὐδέτεροι ἐξηγησάμενοι τὸ νεμόμενον οὔτε ἐπὶ τοῦ ῥάμματος οὔτε ἐπὶ τοῦ ἅμματος. Ὅτι μὲν οὖν ἅμμα καλεῖται τὸ ἐκ τῶν ἐπιδέσμων γιγνόμενον, ἀλλήλοις ἐπιπλεκομένων καὶ δεσμουμένων ἢ τῶν δύο περάτων ἢ θατέρου σχισθέντος σκέλους καὶ τρίτου γε ἐπ' αὐτοῖς τοῦ καλουμένου καταβλήματος ἔξωθεν ἐπιβαλλομένου, παντὶ δῆλον· ὡσαύτως δὲ καὶ ὅτι ῥάμμα τὸ διὰ τοῦ τρήματος τῆς βελόνης διειρμένον ἕνεκα τοῦ συνάγειν ἀλλήλοις ἤτοι τὰ μόρια τοῦ διατετμημένου σώματος ἢ τὸ

πέρας τοῦ ἐπιδέσμου τοῖς προϋποβεβλημένοις αὐτοῦ μέρεσι· καὶ ὁ νῦν ἐνεστὼς λόγος ἐστὶ περὶ τοῦ πρὸς ταύτην τὴν χρείαν παρεσκευασμένου ῥάμματος. ἀξιοῖ δὲ τούτου τὴν νομὴν ἄνω γίγνεσθαι· τί δὲ καλεῖ νομὴν, ἐχρῆν παρ' αὐτοῦ μεμαθηκέναι, πολλάκις κεχρημένου τῷ ὀνόματι κατὰ τῆς τῶν ἐπιδέσμων ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ πέρατος φορᾶς. ἐπὶ γοῦν τῶν καταγμάτων ἐκέλευσε τὴν μὲν ἀρχὴν τῶν πρώτων ἐπιδέσμων ἀμφοτέρων ἐπ' αὐτοῦ τοῦ κατάγματος τιθέναι, τοὐντεῦθεν δὲ τοῦ μὲν προτέρου τὴν νομὴν ἄνω ποιεῖσθαι, τοῦ δὲ δευτέρου κάτω μὲν πρότερον, εἶτ' αὖθις ἄνω· νομὴν ὀνομάζων τὴν οἷον ὁδοιπορίαν τῶν ἐπιδέσμων, ἣν ἀπ' ἀρχῆς μέχρι τέλους ποιοῦνται περιελιττόμενοι τῷ σώματι τοῦ κάμνοντος. ἀνάλογον μὲν οὖν κἀπὶ τοῦ ῥάμματος ἡ νομὴ σημαίνει· δυναμένης γὰρ τῆς βελόνης καὶ ἐκ τῶν ἄνω μερῶν εἰς τὰ κάτω διεκβάλλεσθαι καὶ κατὰ τοὐναντίον ἐκ τῶν κάτω πρὸς τὸ μετέωρον ἀναφέρεσθαι, δυναμένης δὲ καὶ μηδετέρωσε ἕρπειν, ἀλλ' ἀπαρεγκλίτως ἤτοι πρὸς τὸ δεξιὸν μέρος ἀπὸ τῶν ἀριστερῶν ἢ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ λαιὰ διεκβάλλεσθαι, κελεύει διὰ παντὸς αὐτὴν ἄνω τὴν φορὰν ἴσχειν. ἐὰν μὲν οὖν τὸ πέρας αὐτὸ μόνον τοῦ ἐπιδέσμου συῤῥάπτηται τοῖς ὑποκειμένοις αὐτοῦ μέρεσιν, ἐφ' ὧν μὲν ἐπιδέσεων οὐ δεόμεθα τῶν ἀντικειμένων μορίων, ὡς ἐπὶ πήχεως καὶ βραχίονος καὶ μηροῦ καὶ κνήμης, ἐπὶ τούτων ἱκανόν ἐστιν ἤτοι ἀπὸ τῶν ἀριστερῶν μερῶν ἐπὶ τὰ δεξιὰ διείρειν τὴν βελόνην ἢ ἀνάπαλιν, ἑκατέρως δὲ πειρᾶσθαι, τὴν φορὰν αὐτῆς ἐκκλίνοντα πρὸς τὰ ἄνω, συνάπτειν οὕτως τὸ πέρας τῆς ὀθόνης ταῖς ὑποβεβλημέναις περιβολαῖς. ἐφ' ὧν δέ ἐστι χρεία τῶν ἀντικειμένων μορίων,

ὡς ἐπ' ὤμου καὶ ἰσχίου, πειρᾶσθαι δεῖ τὴν τελευτὴν τοῦ ἐπιδέσμου ποιεῖσθαι κατὰ τὴν ἄνω φορὰν, εἶτ' ἐνταῦθα τὴν βελόνην διείροντα κάτωθεν ἄνω, τὴν συῤῥαφὴν οὕτω ποιεῖσθαι μὴ κατασπῶντα τὸ ὑψηλὸν μέρος τῆς ἐπιδέσεως, ἀνασπῶντα δὲ τὸ ταπεινόν· ἐγχωρεῖ γὰρ ἑκάτερον ποιεῖν ἐν τῇ συῤῥαφῇ τῶν ὀθονίων· ἀλλὰ οὖν, διεκβαλόντα τὸ ῥάμμα μετὰ τῆς βελόνης, ἀνατείνειν χρὴ τὸ κάτω αὐτοῦ μέρος πρὸς τὸ ἄνω καὶ μὴ κατατείνειν τὸ ἄνω πρὸς τὸ κάτω, σκοπὸν ἔχοντα διὰ τῶν ἄνω μερῶν τῆς ἐπιδέσεως ἀνέλκεσθαι τὰ κάτω. καὶ τοῦτο ποιεῖν ἡμᾶς κελεύει ἐν ᾧ τε παρέχει τὸ πεπονθὸς ὁ κάμνων τοῖς ἰατροῖς εἰς σημείωσιν, ἐν ᾧ τε παρασκευάζουσι πρὸς τὴν χειρουργίαν αὐτὸ, καὶ τρίτον ἐν τῇ χειρουργίᾳ αὐτῇ, ἧς μέρος ἐστὶν ἡ ἐπίδεσις. ὠνόμασε δὲ τὸ μὲν πρῶτον' ἐν παρέξι, τὸ δὲ δεύτερον 'ἐν σχέσι., τὸ δὲ τρίτον 'ἐν ἐπιδέσι., τὸ δὲ τέταρτον 'ἐν πιέξι.. γράφουσι δὲ ἀντὶ τοῦ '*ἐν πιέξι.* τινὲς '*ἐν τῇ ἔπειτα ἕξι.*' ὃ κἀμοὶ μᾶλλον ἀρέσκει· καὶ πρόσθεν γὰρ ἤδη τὸν τοιοῦτον καιρὸν κέκληκεν '*ἐν ἕξι.*· καὶ δῆλόν ἐστιν, ὥσπερ ἓν σχῆμα καὶ τὸ αὐτὸ ἐν πᾶσι τοῖς καιροῖς βούλεται φυλάττεσθαι τῶν ἐπιδεομένων μορίων, οὕτω καὶ τὴν νομὴν τοῦ τε ἅμματος καὶ τοῦ ῥάμματος ἀεὶ τὴν ἀνάτασιν ἴσχειν ἄνω, πρώτου μὲν τοῦ πέρατος τῆς ἐπιδέσεως ἀσφαλῶς ἀνατεινομένου τε καὶ κρατουμένου, δι' ἐκείνου δὲ καὶ ὅλης αὐτῆς. Ἀλλ' ἐκεῖνό τοι σκέψεως δεῖται, παραλελειμμένον ἄσκεπτον τοῖς ἐξηγηταῖς αὐτοῦ, τὸ τὴν νομὴν τοῦ τε ἅμματος καὶ τοῦ ῥάμματος, ὥσπερ ἐν τοῖς ἄλλοις καιροῖς, οὕτως καὶ κατ' ἐκεῖνον ἐν ᾧ παρέχουσιν οἱ κάμνοντες τοῖς ἰατροῖς ἑαυτοὺς, ἐπὶ τὴν ἄνω χώραν γίγνεσθαι τοῦ πεπονθότος μορίου. παραγίγνονται γὰρ ἐπὶ τὸν ἰατρὸν οἱ μὲν βαδίζοντες,

οἱ δὲ βασταζόμενοι, καθότι ἂν αὐτοῖς δόξῃ, ποτὲ μὲν ἀνειλημμένοι τὰ πεπονθότα μόρια, ἢ ἐπιδεδεμένοι, ποτὲ δὲ ἄμμα πεποιηκότες. ἐπ' ἐκείνοις οὖν ἐστιν ἡ ἐξουσία τῶν ἀμμάτων καὶ τῶν ῥαμμάτων, οὐκ ἐπὶ τοῖς μέλλουσι καταμανθάνειν αὐτοὺς ἢ θεραπεύειν ἰατροῖς· ἴσως οὖν ἡγεῖται καὶ κατ' ἐκεῖνον τὸν καιρὸν ἐνίοτε ἰατρείας γίγνεσθαι χρείαν τοῖς πάσχουσι. καὶ γὰρ ἐν ὁδοιπορίᾳ καὶ κατ' ἀγρὸν ἐνίοτε πληγαὶ συμπίπτουσι τοῖς ἰδιώταις ἢ ἐξαρθρήματα ἢ τραύματα, δεόμενα μὲν ἰατρῶν πλειόνων συνόδου ἕνεκα σκέψεως ἀκριβοῦς, ὀργάνων τέ τινων ἢ ἀρμένων ἢ ὀθονίων ἢ καὶ βρόχων εἰς τὴν θεραπείαν· ὧν οὐδενὸς ἦν εὐπορία κατὰ τὸν ἀγρὸν ἢ τὸν ὁδοιπορίαν· ὥστε ἐν ἐκείνῳ τῷ καιρῷ παραφανεὶς ὁ ἰατρὸς ἐπιδήσει τε καὶ ἀναλήψεται τὰ πάσχοντα μόρια τοῖς ἐκπορισθεῖσιν ὀθονίοις, καὶ δηλονότι, κἂν ἄμματι καταλαβεῖν δεήσῃ τὴν ἐπίδεσιν ἢ ῥαφαῖς, καὶ τοῦτο πράξει προσηκόντως. εἶτ' ἐν τῇ πόλει πάλιν ἑαυτὸν παρέξει ὁ κάμνων τοῖς συνήθεσιν ἰατροῖς, πρῶτον μὲν εἰς ἀκριβεστέραν διάγνωσιν ὧν ἔπαθεν, εἶτ' ἐφεξῆς εἰς ἐμβολὴν τῶν ἐκπεπτωκότων ἄρθρων ἢ διάπλασιν τῶν κατεαγότων ὀστῶν ἢ ῥαφὴν τῶν τραυμάτων ἢ τῶν τεθλασμένων προσήκουσαν ἐπιμέλειαν· οἷς ἐφεξῆς δηλονότι τὴν δέουσαν ἐπίδεσιν οἱ ἰατροὶ ποιήσονται καὶ μετὰ τὴν ἐπίδεσιν ἐν τῷ αὐτῷ σχήματι προνοήσονται τῆς ἀποθέσεως.

Η′.

Ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθα τὸ ἄμμα.

Τί καλεῖ νῦν ἄμμα, ἐκ τῶν ἐξηγημένων ἔστι συμβάλλεσθαι· κατὰ μὲν γὰρ τὴν ἔμπροσθεν ῥῆσιν ἀντιδιῄρηται τῷ ἄμματι τὸ ῥάμμα, νυνὶ δὲ θατέρου μόνον ἐμνημόνευσεν, ὡς δυναμέ-

νου καὶ ῥάμματος εἰς ἅμμα τελευτᾷν· καὶ γὰρ τελευτᾷ εἰς τοῦτο πάντως ἐν ἅπασι τοῖς ῥαπτομένοις· οὐ γὰρ ἁπλῶς διεκβάλλεται τῶν ῥαπτομένων τῇ βελόνῃ τὸ ῥάμμα, ἀλλὰ μετὰ τοῦτο τὰ τοῦ ῥάμματος πέρατα ἀλλήλοις ἅμματι συσφίγγεται. πολλάκις μὲν οὖν ἐγγὺς ἀλλήλων αἵ τε ἀρχαὶ τοῦ ῥάμματος γίγνονται καὶ τὸ ἅμμα, καθάπερ ὅταν τὸ δέρμα διαῤῥάπτωμεν· ἐνίοτε δὲ ἀφεστήκασιν, ὡς ἐπὶ τῶν δεσμῶν συμβαίνει πολλάκις, ἐκ συναγωγῆς πολλῶν μερικῶν ῥαμμάτων ἑνὸς κοινοῦ ἅμματος γιγνομένου. εἰκὸς οὖν ἐστι νῦν αὐτὸν λέγειν μὴ κατ' ἐκεῖνο τὸ μέρος βάλλεσθαι τὰς ἀρχὰς τοῦ ῥάμματος, ἐν ᾧ τὸ ἕλκος ἐστίν· ᾧ προστάγματι συνυπονοεῖται μηδὲ τὸ ἅμμα κατὰ τὸ ἕλκος τίθεσθαι. θλίβεται γὰρ οὐ μόνον ὑπ' αὐτοῦ τοῦ ἅμματος τὸ ἕλκος, ἀλλὰ καὶ ὑπὸ τοῦ ἐπιδέσμου, πιλουμένου σφοδρότερον ὑπ' αὐτοῦ, ἅτε δεομένου τοῦ ἅμματος ἐσφίγχθαι βιαιότερον, εἰ μέλλει κρατήσειν τὸν ἐπίδεσμον. οὕτως δὲ κἂν χωρὶς ῥάμματος ἅμμα γένηται, τῶν τοῦ ἐπιδέσμου περάτων ἐπιπλεκομένων ἀλλήλοις ἤ τινι ἔξωθεν καταβλήματι, οὐ χρὴ βάλλεσθαι κατὰ τὸ ἕλκος αὐτό. συμβήσεται γὰρ οὕτως καὶ τὸ ἅμμα κατὰ τοῦ ἕλκους ἐπιβεβλημένον θλίβειν αὐτό, καὶ μάλιστα ὅταν ᾖ λεπτὸς ἢ ὁ ὑποκείμενος προεπίδεσμος ἢ χωρὶς ἐρίου περιβεβλημένος. Ἐμοὶ μὲν οὖν δοκεῖ τῆς ἐπιπλοκῆς εἰς ἅμμα τελευτώντων εἴτε ῥαμμάτων εἴτε ταινιῶν ὁ Ἱπποκράτης νῦν μνημονεύειν· ἔνιοι δὲ ἡγοῦνται τὰς ἀρχὰς τῶν ἐπιδέσμων αὐτὸν ἀξιοῦν μὴ τίθεσθαι κατὰ τὸ ἕλκος. ἐξ αὐτῶν δέ τινες καὶ γραφὴν ἐποιήσαντο ἀληθῶς μὲν ἔχουσαν, οὐ μὴν τῇ προκειμένῃ λέξει προσήκουσαν· οὐ γὰρ περὶ τῶν ἐπιδέσμων, ἀλλὰ περὶ ῥάμματος ὁ ἐνεστηκὼς λόγος αὐτῷ περαίνεται.

τὴν οὖν γραφὴν ἀληθές τι καὶ τεχνικὸν ἔχειν φημὶ ἣν ποιοῦνται ὧδε· *'ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν.*, τουτέστιν, ἑκατέρωθεν αὐτοῦ κατὰ τὸ δεξιὸν ἢ λαιὸν μέρος. οὕτω γοῦν συμβήσεται καὶ τὸ γεγραμμένον αὐτῷ κατὰ τὸ *Περὶ ἀγμῶν* ὀρθῶς εἰρῆσθαι καὶ μὴ μάχεσθαι τῷ νῦν λόγῳ. κελεύει γὰρ ἐν ἐκείνῳ τὰς ἀρχὰς τῶν ἐπιδέσμων βάλλεσθαι κατὰ τὸ πεπονθὸς μέρος, εἴτε κάταγμα τὸ πάθος ἢ ἕλκος εἴη, καὶ μήτε ἀνωτέρω μήτε κατωτέρω· πρὸς γὰρ τὴν κατὰ μῆκος διάστασιν ὁ ἐν ἐκείνῳ τῷ βιβλίῳ λόγος ἐκφέρεται· νυνὶ δὲ οὐ πρὸς ταύτην, ἀλλὰ πρὸς τὴν κατὰ πλάτος ἀποβλέπων ἔφη τὰς *'ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν.*, τουτέστιν ἐφ' ἑκάτερον τοῦ ἕλκους. ὁμολογεῖ γὰρ τούτῳ τὸ *'μήτε ἀνωτέρω μήτε κατωτέρω.*. οὐ μὴν ἴσασι τὴν γραφὴν ταύτην οἱ ἐξηγησάμενοι τὸ βιβλίον. εἰκότως οὖν ἀποροῦσι λέγοντος τοῦ Ἱπποκράτους *'ἀρχὰς βάλλεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθα τὸ ἅμμα.*· καί τισιν ἔδοξεν ἀρχὰς ἐπιδέσμων ἀκούειν ἀντὶ τοῦ πέρατα· καίτοι γενικώτερον ὄνομα τὸ πέρας ἐστὶ τῆς ἀρχῆς, ὡς καὶ Πλάτων ἡμᾶς ἐδίδαξε, πέρατα λέγων εἶναι καὶ τὴν ἀρχὴν καὶ τὴν τελευτήν. εἴπερ οὖν ἐγχωρεῖ τὴν γενικωτέραν προσηγορίαν ἀντὶ τῆς εἰδικωτέρας ἐπιφέρειν τῷ πράγματι, τὴν μὲν ἀρχὴν ἔξεστι λέγειν ἡμῖν πέρας, ὥσπερ καὶ τὴν τελευτήν, οὐ μὴν τήν γε τελευτὴν ἀρχήν. καὶ μήν, εἰ μηδενὸς μὲν ἄλλου δυνατὸν ἀρχὴν ἀκούειν παρὰ τὴν τῶν ἐπιδέσμων, τῶν ῥαμμάτων, τῶν ταινιῶν, ἀδύνατον δὲ ἐνταῦθα τὴν τῶν ἐπιδέσμων ἀκούειν, ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν ἀκούειν ἀρχὴν ῥαμμάτων τε καὶ ταινιῶν, εἰ δὲ βούλει, καὶ παρερμάτων· καὶ γὰρ καὶ ταῦτα τὸ αὐτὸ δύναται, κατα-

λαμβάνειν δηλονότι τὴν ἐπίδεσιν· ὥσπερ καὶ οἱ στενοὶ τελαμῶνες, ὅσοι κατὰ τὸ πέρας ἀντιπλεκόμενοι δεσμὸν ἐργάζονται.

Θ′.

Τὸ δὲ ἅμμα μήτε ἐν τρίβῳ μήτε ἐν ἐργῷ μήτε ἐκεῖσε ὅκου ἐς [κ]ένεὸν κέεσται.

Κατὰ τὴν πρὸ ταύτης ῥῆσιν ἀξιώσας τὰς ἀρχὰς, ἐργαζόμενον τὸ ἅμμα, μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἐν ἑτέρῳ τίθεσθαι χωρίῳ, καθ' ὃ καὶ τὸ ἅμμα προσήκει τεθῆναι, νῦν ἡμᾶς διδάσκει τοὺς τόπους αὐτοὺς, ἐν οἷς οὐ χρὴ τίθεσθαι τὸ ἅμμα. γίγνεται δὲ ἐνίοτε ἡ διδασκαλία τῶν πραγμάτων ἐκ τῶν οὐ συμφερόντων αὐτοῖς. καὶ εἴη ἂν ὁ λόγος αὐτοῦ δυνάμει τοιοῦτος· τὸ ἅμμα τίθεσθαι μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν, καὶ ὥστε τὴν νομὴν αὐτοῦ πρὸς τὴν ἄνω χώραν γενέσθαι, φυλαττόμενον τρίβον καὶ ἔργον καὶ τρίτον τὸ *κενεόν*. τρίβον μὲν οὖν καλεῖ καθ' ὃ τὴν ἐνέργειαν ἔχει τὸ μέρος καμπτόμενον ἢ ἐκτεινόμενον ἢ ἐς τὰ πλάγια παρατρεπόμενον. ἔσται δὲ τρίβος τῷ μὲν βαδίζοντι τὸ ἴχνος τοῦ ποδὸς, τῷ δὲ κατακειμένῳ τὸ νῶτον ἅπαν καὶ μάλιστα αὐτοῦ τὰ ἐξέχοντα καὶ τὰ τῆς κεφαλῆς ὀπίσω, τῷ δὲ καθημένῳ τῆς πυγῆς τὸ κάτω· εἰ δὲ διὰ τῶν χειρῶν τις ἐνεργεῖν ἐπιδεδεμένος μέλλοι, σκέψῃ τίνα τε τὴν ἐνέργειαν ἐνεργήσει καὶ περὶ τίνα τῶν ἔξωθεν· οὕτω γὰρ δυνήσῃ καὶ τὴν ἐν αὐτῇ τρίβον ἐξευρεῖν. αἱ δὲ ἐνέργειαι δῆλον ὅτι κατὰ τὰς διαρθρώσεις γίγνονται. φυλάξῃ τοίνυν αὐτὰς ἀεὶ καὶ μάλιστα τὰς μελλούσας ἐνεργεῖν ἐπιδεδεμένου τοῦ κάμνοντος. ὅτι δὲ καλῶς ὑπ' αὐτοῦ παρῄνηταί τὸ συνέχον ὅλην τὴν ἐπίδεσιν ἅμμα μὴ τί-

θεσθαι κατὰ τῶν μετασχηματιζομένων μορίων ἐν ταῖς κινήσεσιν, εὔδηλον. ἀναγκαῖον γὰρ ἔσται ποτὲ μὲν χαλαρὰ περαιτέρω τοῦ προσήκοντος, ποτὲ δὲ αὖθις θλίβοντα γίγνεσθαι τὰ ἅμματα καθ' ἥντιναοῦν ἐπιβαλλόμενα διάρθρωσιν. ὁ δὲ ἐπὶ τῆς τελευτῆς τῆς ῥήσεως εἶπεν, *ἐνεόν*, ἅπαντες ἀκούουσι μάταιον, ὡς εἰ καὶ ἄπρακτον εἰρήκει. καλοῦσι δὲ οἱ Ἕλληνες ἐνεοὺς τοὺς ἐκ γενετῆς ἅμα τε κωφοὺς καὶ ἀδιάρθρωτον φθεγγομένους. ὡς οὖν οὗτοι πρὸς τὰς κατὰ τὸν βίον ἐνεργείας τελέως εἰσὶν ἄχρηστοι, οὕτω φασὶν αὐτὸν ὠνομακέναι τὸ μηδὲν ὠφελοῦν τὴν ἐπίδεσιν *ἐνεόν*. ἐνδέχεται δὲ τὸν μὲν Ἱπποκράτην μετὰ τοῦ κ γεγραφέναι *κενεὸν*, ἁμαρτηθεῖσαν δὲ τὴν λέξιν εὐθὺς ἐξ ἀρχῆς διαφυλαχθῆναι τοιαύτην. ἥ γε μὴν διάνοια καὶ κατὰ ταύτην τὴν γραφὴν ἡ αὐτὴ μένει· κενὸν γάρ ἐστι τὸ λεγόμενον ὑφ' ἡμῶν κενὸν καὶ μάταιον· ὅπερ καὶ ἀνωφελὲς ὀνομάζουσιν. ἐπεὶ τοίνυν πολλοὺς ἴσμεν ἢ δι' ἄγνοιαν ἢ βουλομένους ἐπιμελεῖς εἶναι δοκεῖν ἄχρηστα ἐπιβάλλειν ἅμματα τοῖς ἐπιδέσμοις, διὰ τοῦτο νῦν ἔφη ὁ Ἱπποκράτης *'ὄκου μὴ ἐς κενεὸν κείσεται*, τουτέστιν εἰς κενόν, ὅπερ δηλονότι καὶ ἄχρηστόν ἐστι καὶ μάταιον. ἔδοξε δέ τινι τῶν ἐξηγουμένων τὸ βιβλίον κενεὸν ἡγεῖσθαι τὸ κενὸν χωρίον, ὡς εἰ καὶ μασχάλην ἢ ἰγνύην ἢ καὶ βουβῶνα προσαγορεύσειέ τις οὕτως ἀντιδιαιρούμενος ὤμοις, γόνατι καὶ ἰσχίῳ. προστετυπῶσθαι γὰρ ἔφη χρῆναι τὸ ἅμμα τῷ σώματι καὶ μὴ κρεμαμένῳ ὅμοιον εἶναι· τοιοῦτον δὲ ἔσεσθαι κατὰ μασχάλην τε καὶ ἰγνύην. εἰ δέ τῳ καὶ τοῦτο μετρίως δόξειεν εἰρῆσθαι, χρῆσθαι πάρεστιν· ἐν γὰρ τοῖς οὕτως ἀσαφέσι καὶ τὸ μετρίως πιθανὸν ἀρέσκει.

I'.

Ἄμμα δὲ καὶ ῥάμμα μαλθακόν, μὴ μέγα.

Πάλιν κἀνταῦθα καθάπερ ἐν ἀρχῇ, τοῖν δυοῖν ὀνομάτοιν ἐμνημόνευσεν, ἐφεξῆς ἀντιδιαιρῶν ἀλλήλοις τὰ πράγματα καθ' ὧν ἐπιφέρεσθαι δοκεῖ· ῥάμμα μὲν ὀνομάζων τὸ διεκβαλλόμενον ἅμα τῇ βελόνῃ, τὴν ὕλην ἔχον ἤτοι λίνον ἢ ἔριον ἤ τι τοιοῦτον, τὸ δὲ ἐξ ἐπιπλοκῆς τελαμώνων ἢ τῶν σκελῶν τοῦ ἐπιδέσμου γιγνόμενον, ἅμμα. πρόδηλον μὲν οὖν ὡς ἑκάτερον αὐτῶν μαλθακὸν εἶναι προσῆκεν, εἴ γε μὴ μέλλει θλίβειν· ὅτι δὲ καὶ μὴ μέγα, τὸ κατὰ τὰς ἐνεργείας ἐπαινούμενον ὑπ' αὐτοῦ τάχος ἐνδεικνύει μόνον ἂν μικροῖς ῥάμμασι γενέσθαι. ἐπὶ μέρους δὲ ἐπὶ τῶν τελαμώνων τε καὶ σκελῶν καὶ καταβλημάτων· ὀνόματα γὰρ αὐτοῖς τίθενται ταῦτα· κρεμασθήσεται οὖν τὰ μετὰ τὰ ἅμματα περιττά, πρὸς τῷ ματαίως ἐξηρτῆσθαι καὶ δυσχέρειαν παρέχοντα κατὰ τὰς περιπλοκὰς ἐνίοτε τῶν ψαυόντων ἀλλήλων ἀρτημάτων. ἀκριβῶς δὲ εἶπεν '*οὐ μέγα*,' δυνάμενος εἰρηκέναι μικρόν· ἀλλ' ὥσπερ τὸ μέγα φευκτέον ἐστὶ δι' ἃς εἶπον ἀτοπίας, οὕτως καὶ τὸ μικρὸν ἐν τῷ τῆς ἐνεργείας καιρῷ διαδιδράσκον ἐνίοτε τὰς λαβὰς τῶν ἐπιβαλλομένων αὐτῷ δακτύλων καὶ διὰ τοῦτο τριβὴν καὶ χρόνου μῆκος ἐργαζόμενον, ἔν τε τῇ θέσει πολλάκις ἐξολισθάνον ἀπὸ τοῦ συνδεομένου διὰ βραχύτητα καὶ διὰ τοῦτο δεύτερον ἡμᾶς ἀναγκάζον ἐνεργεῖν ἀμφ' αὐτὸ καὶ δοκιμάζειν· καὶ δὲ δεδέσθαι ποτὲ δόξαν τὸ μικρὸν ἅμμα λύεται μετὰ ταῦτα κατὰ τὸν τῆς ἀποθέσεως καιρόν. εὔλογον οὖν ἐστι καὶ τὸ πάμμικρον, ὥσπερ καὶ τὸ μέγα, φεύγειν, αἱρεῖσθαι δέ, ὥσπερ ἐν ἅπασιν, οὕτω κἂν τῷδε

τὸ σύμμετρον,˙ ὅπερ ἐνίοτε κατὰ τὴν τοῦ ἑτέρου τῶν ἄκρων ἀπόφασιν ὀνομάζουσιν, ὥσπερ νῦν καὶ ὁ Ἱπποκράτης, '*μὴ μέγα*,˙ ἀνθ' οὗ *καὶ εἰ μὴ μικρὸν* εἰρήκει, τ' αὐτὸν ἂν ἐδήλωσεν.

ΙΑ'.

9. *Εὖγε μὴν γνόντα ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξεα φεύγει πᾶς ἐπίδεσμος˙ οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω.*

Εἰ 'εὖγε μὴν γνῶναι κατὰ τὴν ῥῆσιν ἐγέγραπτο τὸ 'εὖ γε μὴν γνόντα, τέλειος ἂν ἦν ὁ λόγος˙ νυνὶ δὲ κρέμασθαι δοκεῖ καὶ αἰτεῖν τι πρὸς ἐπίζευξιν. διὸ καὶ τινὲς αὐτῷ τὰ ἐφεξῆς εἰρημένα συνάπτουσιν, ὡς εἶναι τὴν ὅλην ῥῆσιν τοιαύτην˙ 'Εὖ γε μὴν γνόντα ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει πᾶς ἐπίδεσμος, οἷον κεφαλῆς μὲν τὸ ἄνω, κνήμης δὲ τὸ κάτω˙, ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς. ἀλλὰ τοῦτό γε φαίνεται μηδεμίαν ἀκολουθίαν ἔχον. οὐ γὰρ διὰ τοῦτο χρὴ τὰς εἰρημένας ἐπιδέσεις ποιεῖσθαι, διὰ τὸ τὸ ἅμμα φεύγειν εἰωθέναι εἰς τὰ κατάντη καὶ ἀπόξη˙ δι' ἕτερον γάρ τι, ὡς ἐφεξῆς ἐροῦμεν, δεξιὰ μὲν ἐπ' ἀριστερὰ, ἀριστερὰ δὲ ἐπὶ δεξιὰ προσέταξεν ἐπιδεῖν˙ ἀκόλουθα δέ ἐστι τῷ '*εὖ γε μὴν γνόντα ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει*.... τὰ ἑξῆς εἰρημένα περὶ καταλήψεως τοῦ ξύμπαντος ἐπιδέσμου ἐν τοῖς ἡσυχάζουσι καὶ λαπαρωτέροις. καὶ τὰ τούτοις ἐφεξῆς, ἃ μετ' ὀλίγον ἐξηγήσομαι, αὐτὸ τοῦτο δείξει σαφέστερον˙ ἐν δὲ τῷ παρόντι μεταξὺ παρεγκείμενα παρὰ τάξιν ἐπισκεπτέον αὐτὰ καθ' ἑαυτά.

ΙΒ'.

Ἐπιδεῖν δεξιὰ ἐπ' ἀριστερὰ καὶ ἀριστερὰ ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς, ταύτην δὲ κατ' ἴξιν.

Ἐπὶ τῶν καταγμάτων μάλιστα τοῦ παραγγέλματος οὗ νῦν παραγγέλλει μεγίστη γίγνεται χρεία. περιτρέπειν γὰρ ἀεὶ χρὴ πρὸς τοὐναντίον, ὅταν ἐκ θατέρου τὸ ἕλκος ᾖ, τοῦ μὲν δεξιοῦ πεπονθότος, ἐπὶ τὸ λαιὸν, εἰ δ' ἐκεῖνο πεπόνθοι, πρὸς τοὐναντίον· ὡς, ὅταν γε κώλου ὀστοῦν ὅλον ἐγκαρσίως ᾖ κατεαγὸς, ἰσόῤῥοπον τὴν ἐπίδεσιν ποιούμεθα, περιβάλλοντες αὐτῷ σπλῆνας ἐν σχήματι τῷ καλουμένῳ ἐγκύκλῳ. τὸ τοίνυν λεγόμενόν ἐστι τοιοῦτον· ἐπιδεῖν τὰ μὲν δεξιὰ μέρη πεπονθότα περιτρέποντας ἐπ' ἀριστερὰ, τὰ δ' ἀριστερὰ τοὐναντίον ἐπὶ δεξιά. γίγνεται δὲ τοῦτο τὴν μὲν ἀρχὴν τοῦ ἐπιδέσμου βαλλομένων ἡμῶν κατὰ τὸ πεπονθὸς μέρος, μὴ μέντοι ἀκριβῶς κατ' αὐτοῦ τοῦ κατάγματος ἢ τοῦ ἕλκους, ἀλλ' ἔνθεν ἢ ἔνθεν τούτων, τῇ δ' ἑτέρᾳ περιτρεπόντων ἐπὶ τἀναντία τὸ πεπονθὸς ἅμα τῷ πιλεῖν· ἐπειδὰν δὲ ἐπὶ τὸ ἀντικείμενον μέρος ὁ ἐπίδεσμος ἑλιττόμενος παραγένηται, μηκέτι ἐκεῖ σφιγγόντων ὁμοίως, ἔτι δὲ μᾶλλον μηδὲ περιτρεπόντων, ἄχρις ἂν ἐν κύκλῳ περιελιττόμενος ὁ ἐπίδεσμος ἐπὶ τὴν ἰδίαν ἀρχὴν ἀφίκηται· τηνικαῦτα γὰρ, ᾗ κατείχομεν ἔμπροσθεν τῇ χειρὶ ἀρχῇ, ταύτῃ πάλιν ἐκεῖνο τὸ μέρος τοῦ ἐπιδέσμου, τὸ ψαῦσαν αὐτῆς, ἐπιτιθέντες κατ' αὐτῆς ἀσφαλῶς κρατοῦμεν, ὥστε δευτέρας ἄρξασθαι αὖθις κατὰ ταύτην τῶν ὀθονίων περιβολῆς ὁμοίως τῇ πρώτῃ πιλούσης τε καὶ περιτρεπούσης ἐπὶ τὰ ἐναντία· καὶ ταύτην πάλιν ὡσαύτως τῇ πρώτῃ περιελίξαντες καὶ, ὅταν αὖθις ἐπὶ τὴν ἀρχὴν ἀφι-

ΙΔ'.

Τὰ δὲ κινεύμενα, οἷον ἄρθρα, ὅκη μὲν ξυγκάμπτεται, ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύῃ, ὅκη δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, οἷον μύλῃ.

Ἐλάχιστα περιβαλεῖν ὀθόνια κατά τε τὴν ἰγνύαν καὶ τὰ ταύτῃ παραπλήσια κελεύει καὶ μάλιστα εὐσταλῆ, τὸ δὲ ἀντικείμενον τῇ ἰγνύῃ μόριον, τὴν μύλην, ἐναντίως ἐπιδεῖσθαι κελεύει. καλοῦσι δέ τινες ἐπιγουνίδα τὴν μύλην ταύτην, ὥσπερ ἕτεροί τινες ἐπιγουνατίδα. κατὰ ταύτην μὲν οὖν, ἔφη, πλατὺν χρὴ περιτάττεσθαι τὸν ἐπίδεσμον, ὡς ὅλην αὐτὴν περιλαμβάνειν. ὁ γὰρ μὴ περικείμενος οὕτως ἢ πρὸς τὴν ἄνω χώραν ἀναχθήσεται ῥαδίως ἢ πρὸς τὴν κάτω καταχθήσεται, περισφαλλόμενος ἐφ' ἑκάτερα διὰ τὴν κυρτότητα τῆς μύλης. τῇ δὲ ἰγνύῃ συνεσταλμένον τὸν ἐπίδεσμον ἀξιοῖ περιβαλεῖν· οὔτε γὰρ ὑποδέξασθαι δύναται τὸ εἰς πλάτος ἐκτεταμένον οὔτε φυλάξαι.

ΙΕ'.

Προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα, ἀναλήψιος δὲ τοῦ ξύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσι καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γούνατος.

Τὴν τοιαύτην βραχυλογίαν ἐπαινεῖν προσῆκεν, εἰ δι' ἑνὸς ὀνόματος δηλοῦται σαφῶς ὁ λόγος, ὥσπερ νῦν ὑπὸ μὲν τοῦ τῆς καταλήψεως ὀνόματος ὁ λόγος οὗτος δηλοῦται, καθ' ὃν τῶν ἐν τοῖς ἄρθροις ἐπιδέσεων τὸ τέλος ἀσφαλῶς φυλάττεσθαι

χρὴ διά τινος ἐκ περιττοῦ γενομένης ἐπιδέσεως ἔξω τῆς διαρθρώσεως· ὑπὸ δὲ τοῦ τῆς ἀναλήψεως, ἵνα πολλὴν ἔχωμεν πρόνοιαν τοῦ μήτε καταῤῥεῖν εἰς τὰ κατάντη χωρία τὸν περίδεσμον, μήτε ἀνατρέχειν εἴς τι τῶν κυρτῶν, ἅπερ ἀπόξη κέκληκεν αὐτὸς ἔμπροσθεν, ἡνίκα ἔλεγεν· *εὖ γε μὴν γνόντα ὅτι ἐς τὰ κατάντη καὶ ἀπόξη φεύγει.* . . . . . καὶ δῆλον δὴ γέγονεν ἐξ αὐτῶν τῶν ῥήσεων αὐτοῦ καλῶς ὑφ' ἡμῶν εἰρῆσθαι συνεχῆ τὰ νῦν λεγόμενα τοῖς κατ' ἐκείνην τὴν ῥῆσιν λεγομένοις εἶναι, καθ' ἣν ἔλεγεν '*εὖ γε μὴν γνόντα ὅτι εἰς τὰ κατάντη καὶ ἀπόξη φεύγει* . . . . . καὶ μέν τοι καὶ συντομώτατον τῶν ἐπιτηδείων χωρίων ἐμνημόνευσεν, ἐν οἷς χρὴ τὰ τέλη τῶν ἐπιδέσμων τίθεσθαι, δύο προσηγορίαις περιλαβὼν, τῇ τῶν ἀτρεμούντων καὶ τῇ τῶν λαπαρῶν. ἡσυχάζει γὰρ ὅσα τῆς διαρθρώσεως ἐκτός ἐστι, κατὰ τὸ ἕτερον τῶν συναπτόντων ἀλλήλοις ὀστῶν, ὡς ἐπὶ τοῦ γόνατος ἤτοι κατὰ τὸν μηρὸν ἢ κατὰ τὴν κνήμην· λαπαρώτερα γὰρ ταῦτά ἐστι τὰ χωρία· κέκληκε γὰρ οὕτως τὰ τοῖς ἐξέχουσι μορίοις ἐναντίως διακείμενα, τουτέστι τὰ κατεσταλμένα καὶ ταπεινά· καὶ γὰρ τὸ λαπαρὸν ἅπαν προσέσταλται. κυρίως μὲν οὖν ἡ *λαπαρὸν* φωνὴ σημαίνει τὸ κενὸν, ὥσπερ καὶ ἡ λαπάξαι τὸ κενῶσαι· καὶ γὰρ καὶ τὸ Ἴλιον ἐξαλαπάξαι εὐναιόμενον πτολίεθρον, ἐκκενῶσαι τὴν πόλιν δηλοῖ καὶ λαπάρας, ἢ κενεῶνας, τοῦ σώματος ἐκεῖνα τὰ μόρια καλοῦσιν, ὅσα μεταξὺ τῶν τε κατὰ τὰς λαγόνας ὀστῶν ἐστι καὶ τῶν νόθων πλευρῶν. ἤδη μέντοι καὶ τὸ προσεσταλμένον ἅπαν ὀνομάζουσι λαπαρὸν, ἐπειδὴ τὸ κενὸν ἐξ ἀνάγκης προσέσταλται, τὴν μεταφορὰν ἀπὸ κοινοῦ συμβεβηκότος ποιούμενοι.

καὶ αὕτη μηδὲν ἐγκεκλιμένη· μὴ περιαγομένη γὰρ οὕτως ἑλχθήσεται ἐν τοῖς ὀπίσω μέρεσι ἐπὶ τὸ καλούμενον ἰνίον, ὃ μεταξὺ τοῦ τε τραχήλου κεῖται καὶ τῆς ὀπίσω κυρτότητος, τῆς ἐπὶ τοῦ κρανίου. διὰ τοῦτό τε εἶπε τὴν ἐσχάτην περιβολὴν τῶν ἐπιδέσμων ἥκιστα λοξὴν εἶναι προσήκειν, ὅτι τὰς πρὸ αὐτῆς πολλάκις ἐξ ἀνάγκης διὰ τὸ πάθος λοξὰς γεγονυίας περιβολὰς ἡ ὑστάτη κατέχει μηδαμόθεν λοξουμένη, δηλονότι τῇ ταύτης ἀσφαλείᾳ κἀκεῖναι συνδιαμένουσιν ἀμετακίνητοι. ὡς οὖν ἐπὶ τῆς κεφαλῆς, κἀπὶ τῆς ἄνω τοῦ γόνατος ἢ κάτω γιγνομένης ἐσχάτης περιβολῆς ἀκριβῶς φυλάττεσθαι χρὴ τὸ ἀπαρέγκλιτον· ἀνάλογον δὲ τούτοις κἀπὶ τῆς κατὰ τὸν ἀγκῶνα διαρθρώσεως. ἐπὶ μέν τοι τῶν κατὰ βουβῶνα καὶ ὦμον ἐπιδέσεων, ἐν αἷς ἀναγκαζόμεθα καί τι τῶν ἀντικειμένων μορίων συγκαταλαμβάνειν, αἱ ἔσχαται περιβολαὶ κυκλοτερεῖς ἀπαρεγκλίτως γίγνεσθαι δέονται, κατὰ τοὺς κενεῶνας μὲν ἀμφοτέρους, ἐφ' ὧν τὸν βουβῶνα δεσμεῖν προαιρούμεθα, κατὰ δὲ τὰς μασχάλας ἀμφοτέρας, ἐφ' ὧν τὸν ὦμον.

ΙΗ'.

Ὁκόσοισι δὲ μὴ εὐκαταλήπτως τοῖσιν ὀθονίοισι μηδὲ εὐαναλήπτως ἔχει, ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυῤῥαφῆς.

Ὃ μὲν λέγει, τοιόνδε ἐστίν· ἐν οἷς μέρεσιν ἢ πάθεσι δύσκολόν ἐστιν αὐτοῖς τοῖς ὀθονίοις τήν τε κατάληψιν τοῦ πέρατος τῆς ἐπιδέσεως καὶ τὴν ἀνάληψιν ποιήσασθαι, ἐν τούτοις χρὴ ῥάμμασιν ἤτοι περιβάλλοντας κατὰ κύκλον ἢ συῤῥάπτοντας τὰ τῆς ἐπιδέσεως πέρατα τὰς καταλήψιας ποιεῖ-

ιι. ὅτι δὲ ἄτοπον εἴη, μέρος τοῦ σώματος ὀθονίοις μὲν
γχερῆ τὴν κατάληψιν καὶ ἀνάληψιν ἔχειν, ἑτοιμοτέραν δὲ
ι διὰ τῶν ῥαμμάτων, οὔ τι ἐγὼ λέγειν ἔχω τοῖς ἐξηγη-
ίς, εἰ μὴ ὅτι οἶδά τινα, μὴ φέροντα τὴν συνήθη ἐπίδεσιν·
ὧν, εἰ καὶ βραχὺ κινηθείη τὸ πεπονθὸς μόριον, ὀδύνη με-
τη γίγνεται. καθάπερ οὐ πρὸ πολλοῦ τις ἐκ καταπτώ-
ως οὕτως ἔπαθε κατὰ τὴν ῥάχιν, ὡς μηδὲ βραχυτάτην κί-
ιν δύνασθαι φέρειν διὰ τὸ μέγεθος τῆς ὀδύνης. ἠναγκά-
μεν οὖν αὐτὸν τὸν μὲν χιτωνίσκον ἀφελεῖν οὐκ ἀποδύ-
τες, ἀλλὰ διαῤῥήξαντες πρῶτον ἁπάσας τὰς ῥαφάς· μετὰ
ταῦτα,παμπόλλοις τοῖς διακρατοῦσιν ὅλον τὸ σῶμα χρη-
ιενοι πρὸς τὸ μετεωρίσαι τὸν ἄνθρωπον ἰσοῤῥόπως, ἐπὶ
έδρας πλατείας ἐκπετάσαντες ῥάκος, ἐπιβεβλημένην ἔχον
ιυ πλάκα, ταῦτα μὲν ἐκελεύσαμεν, ἐπειδὰν ὁ κάμνων ὑπὸ
ι διακρατούντων ἀπὸ τῆς στρωμνῆς ὑψωθείη, διὰ ταχέων
βαλεῖν μὲν ἐκείνῃ κατὰ τὸ πλάτος, ὑποβαλεῖν δὲ τῇ
ει τοῦ μετεωρισθέντος· αὐτοὶ δὲ ἑτέραν ἐρίου πλάκα
βροχον ἐλαίῳ θερμῷ μετὰ τὴν ἀφαίρεσιν τοῦ χιτωνίσκου
έως περιβαλόντες τῇ ῥάχει κατεκλίναμεν τὸν κάμνοντα
τῆς ὑποκειμένης πλακὸς ἅμα τῷ ῥάκει· καὶ οὕτως πρῶτα
ἀνηγάγομεν ἐπὶ τὰ πρόσω τοῦ σώματος τὰ πέρατα τῆς
βρόχου πλακὸς, ἓν ἑκατέρωθεν, εἶτα ἐπ' αὐτὰ τὰ τῆς
ῖς καὶ μετ' ἐκεῖνα τὰ τοῦ ῥάκους καὶ ταῦτα πρὸς ἄλληλα
ῥαφῶν ἠνώσαμεν. εἰ δὲ μὴ διὰ ῥαφῶν, ἀλλὰ διὰ ῥαμ-
ὼν μόνον βουληθείης ἐργάσασθαι τὴν ἀσφάλειαν τῆς ἐπι-
ιως, ὑπότεινον αὐτὰ πρῶτα πάντων κάτωθεν τῷ ῥάκει·
άρ ἄν που μετὰ τὴν ἐπίδεσιν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν
ἰσχίον μερῶν ἐπράξαμέν ποτε καὶ τῶν κατὰ τὸν μηρὸν

ἐπ' ἄλλου, καὶ κατὰ βραχίονά γέ ποτε καὶ τοῦ τραχήλου τὴν ὀπίσω χώραν.

ΙΘ'.

10. *Ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ, λεπτά.*

Περὶ τῆς ὕλης τῶν ἐπιδέσμων ἐνταῦθα διδάσκει, καθαροῖς καὶ κούφοις καὶ μαλθακοῖς καὶ λεπτοῖς χρῆσθαι κελεύων· καθαροῖς μὲν, ὅπως μήτε δήξεις ἐκ τοῦ ῥύπου γίγνοιντο μήτε διϊκνεῖσθαι πρὸς τὸν χρῶτα ἡ τῶν ἐπιβρεχομένων ὑγρῶν δύναμις εἴργοιτο· κούφοις δὲ, ὡς μὴ βαρύνοιτο ὁ πεπονθὼς τόπος· λεπτοῖς δὲ, διά τε τὸ καὶ κουφότερα καὶ μαλακώτερα εἶναι ταῦτα, διά τε τὸ καὶ τὰς ἐπιβροχὰς ἑτοίμως διαπέμπειν· μαλθακοῖς δὲ, ὅπως μὴ θλίβοι. πρόδηλον δὲ ὅτι τούτων ἕκαστον εἰς τὸ μὴ φλεγμῆναι τὸ πεπονθὸς μόριον συντελεῖ.

Κ'.

Ἑλίσσειν ἀμφοτέρῃσιν ἅμα καὶ ἑκατέρῃσι χωρὶς ἀσκέειν.

Ὅπερ ἔμπροσθεν εἰρήκει καθόλου περὶ τῶν εἰς χειρουργίαν πάντων ἔργων, ἀσκεῖν ἀξιῶν αὐτὰ δρᾷν ἑκατέρῃσί τε καὶ ἀμφοτέρῃσιν ἅμα, τοῦτο νῦν ἐπὶ μόνου τοῦ ἑλίσσειν ἔγραψε. πρὸς γὰρ τὸ τάχος τῆς ἐνεργείας, ὅπερ ἐστὶ μέγιστον ἐπὶ τῶν ὀδυνώντων, ἡ τοιαύτη τῶν χειρῶν ἄσκησις ὠφελιμωτέρα, τῶν δύο μὲν οὖν χειρῶν ἑλισσουσῶν ἅμα τὸν ἐπίδεσμον ἐν ταῖς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεσι, τῆς δ' ἑτέρας μόνης ἐν ταῖς ἄλλαις, ἀλλὰ καὶ ἐν ταύταις ἑκατέρας ἐν μέρει διαδεχομένης τὴν ἑτέραν. ἐν μὲν γὰρ ταῖς ἀπὸ δυοῖν

ἀρχῶν ἐπιδέσεσιν ἀμφότεραι καθ' ἕνα καιρὸν ἐνεργοῦσιν ὁμοίως, ἐν δὲ ταῖς ἀπὸ μιᾶς ἀρχῆς διαδεχόμεναι ἀλλήλας ἡ μὲν ἑτέρα τὸ κυριώτατον μέρος τῆς ἐπιδέσεως ἐκτελεῖ, περιελίσσουσα τὸν ἐπίδεσμον, ἡ δ' ἑτέρα χρήσιμος εἰς τὴν ταύτης ὑπηρεσίαν γίγνεται.

ΚΑ'.

Τῇ πρεπούσῃ δὲ ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν ὀθονίων τεκμάρσι χρέεσθαι.

Εἰς τὰ πλάτη καὶ τὰ πάχη τῶν ἐπιδουμένων μορίων ἀποβλέποντα τὴν προσήκουσαν αὐτοῖς ἐπίδεσιν ἐξευρίσκειν κελεύει. γιγνομένης δὲ τῆς ἐπιδέσεως ὀρθῶς κατὰ τὰ προειρημένα, δι' ὧν ὅθεν ἄρχεσθαι προσήκει καὶ καθ' ὅντινα τρόπον ἑλίττειν τὰ ὀθόνια κατὰ τὸ πεπονθὸς, ὅσα τε συγκαταλαμβάνειν αὐτοῖς μόρια, καὶ τὴν τελευτὴν ἐν ᾧ τίθεσθαι καὶ πῶς ἐπ' αὐτοῖς χρῆσθαι τοῖς ἅμμασί τε καὶ ῥάμμασιν ἐδίδαξεν, ἰστέον αὐτὸν οὐδὲν τούτων δηλοῦν· οὔτε γὰρ ἐκ τοῦ πλάτους οὔτε ἐκ τοῦ πάχους τῶν ἐπιδουμένων μερῶν ἐλήφθη τι τῶν εἰρημένων, ἀλλ' ἐκ τοῦ πάθους αὐτοῦ καὶ τοῦ σχήματος τοῦ μορίου, καθ' ὃ τὸ πάθος ἐγένετο. νῦν οὖν εὔλογόν ἐστι διδάσκειν αὐτὸν ὁπόσα κατὰ τὴν ἐπίδεσιν ἀγαθὰ γίγνεται, τὴν ὑπόδειξιν ἡμῶν λαμβανόντων ἐκ τοῦ πλάτους καὶ τοῦ πάχους τῶν ἐπιδουμένων μορίων· ἐκ τούτων γὰρ λαμβάνεται καὶ τὸ τῶν ὀθονίων αὐτῶν πλάτος τε καὶ μῆκος· οἷον, ἐπὶ μὲν μικροῦ παιδίου καὶ τῷ μήκει βραχέσι καὶ τῷ πλάτει στενοῖς εὔλογόν ἐστι χρῆσθαι τοῖς ἐπιδέσμοις, ἐπὶ δὲ μεγάλου νεανίσκου καὶ μακροῖς καὶ πλατέσιν, ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων ὅσα μεταξὺ τοῦ τε μεγάλου

καὶ τοῦ μικροῦ σώματός ἐστιν· εἰ μὲν γὰρ ἀκριβῶς ἀμφοτέρων ἐστὶ μέσον καὶ πλάτει καὶ πάχει τὸ ἐπιδούμενον μέρος, καὶ τὰς ὀθόνας μέσας τῷ τε πάχει καὶ τῷ πλάτει ποιήσομεν ἐκείνων τῶν ὀθονίων, οἷς ἐπὶ τοῦ μεγάλου καὶ τοῦ σμικροῦ σώματος ἐχρώμεθα· εἰ δὲ ἐγγυτέρω θατέρῳ τῶν ἄκρων εἴη, κατ' ἐκεῖνο καὶ τὸ ποσὸν αὐτῶν ὑπαλλάξομεν αὐξάνοντες ἢ μειοῦντες.

ΚΒ.

Ἑλίξιος κεφαλαὶ σκληραὶ, ὁμαλαὶ, εὐκρινέες.

Ἕλιξις ἀμφοτέρως ὑπάρχει τοῖς ἐπιδέσμοις, πρὶν περιβάλλεσθαι τῷ τοῦ κάμνοντος σώματι, καὶ τῆς ἐξ αὐτῶν ἐπιδέσεως γιγνομένης περὶ τὸν πεπονθότα τόπον· ἀλλὰ καὶ αἱ κεφαλαὶ τῶν ἐπιδέσμων, αἵτινες ἂν ὦσιν, ἀμφοτέρων εἰσὶ κοιναί. ἐάν τε γὰρ αἱ ἀρχαὶ τῶν ἐπιδέσμων, ἐάν τε τὰ πέρατα κεφαλαὶ νοηθῶσιν εἰρῆσθαι νῦν, ἐάν τε ἀμφότερα καὶ πρὸς τούτοις ἔτι τὰ κατὰ τὸ πλάτος αὐτῶν πέρατα, ταῦτα πάντα κοινὰ ταῖς ἑλίξεσι τῶν ἐπιδέσμων ἀμφοτέραις ἐστὶν, ἅς τε αὐτοὶ ἀπὸ προτέρας κατασκευῆς ἴσχουσιν, ἅς τε ἐν τῷ ἐπιβάλλεσθαι τῷ σώματι λαμβάνουσιν. ὥστε τοῦτο μὲν, εἰ καὶ διαπεφώνηται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον, οὐ χαλεπὸν εἰπεῖν· καὶ γὰρ ἐπὶ τῶν ἐλελιγμένων ἀληθὴς ὁ λόγος ἐστὶ καὶ ἐπὶ τῶν περιβεβλημένων τῷ σώματι. καὶ μέντοι τὸ 'κεφαλαὶ ἐπὶ πάντων τῶν περάτων ἀκούομεν, οὐχ, ὡς ἔνιοι μὲν ᾠήθησαν, τῶν κατὰ μῆκος, ἔνιοι δὲ, τῶν κατὰ πλάτος, τὸ 'κεφαλαὶ περὶ μόνον ἡγησάμενοι τῶν ἐκτὸς ἐπιδέσμων εἰρῆσθαι, τὸ δὲ σφιγγόμενον τῆς ἑλίξεως ὑπ' αὐτοῦ δηλοῦσθαι νομίσαντες. ὅτι μὲν οὖν ἐσφίγχθαι χρὴ τὸν ἐπι-

δεσμὸν ἔξω πρὶν ἐπιβάλλεσθαι τῷ σώματι, πρόδηλον· εὐληπτότερος γὰρ οὕτως ἔσται, ἅτε καὶ λεπτοτέρας τὰς περιβολὰς ἔχων διὰ τὸ τεταμένος ἐλελίχθαι· σφιγχθῆναι γὰρ ἄλλως οὐ δύναται. τὸ δὲ τὰς κεφαλὰς αὐτοῦ μόνας δεῖν ἐσφίγχθαι, περιφανῶς ψευδές ἐστιν· οὐ γὰρ ἐκείνας μόνον, ἀλλ' ὅλον ἐσφίγχθαι δεῖ τὸν ἐπίδεσμον. ὡς οὖν ἐν ἀπόροις, ἅ γέ μοι δοκεῖ ἤδη φράσω· κεφαλὰς μὲν ἀκουστέον ἅπαντα τὰ πέρατα τοῦ ἐπιδέσμου, τά τε κατὰ μῆκος ὄντα αὐτῷ καὶ τὰ κατὰ πλάτος. εἰρῆσθαι δ' οὐ κυρίως αὐτὰς νομιστέον σκληράς, καὶ διὰ τοῦτο ἀσάφειαν ἐσχηκέναι τὸν λόγον· ἔμπροσθεν γὰρ εἰπὼν '*ἐπιδέσματα καθαρὰ, κοῦφα, μαλθακὰ.*, πῶς ἂν νῦν αὖθις ἔλεγεν αὐτὰ σκληρά; κεχρῆσθαι δὲ νομίζω τῇ τοῦ '*σκληρά.* προσηγορίᾳ πρεπόντως τῷ δηλουμένῳ πράγματι· πολλάκις γὰρ ἐπὶ τοῖς πέρασι τῶν ὀθονίων, τέτταρσιν οὖσι, δύο μὲν κατὰ τὸ μῆκος, ἑτέροις δὲ δύο κατὰ τὸ πλάτος, ἤτοι μόνος ὁ στήμων εὑρίσκεται, μὴ συνακολουθούσης αὐτῷ πρὸς τὸ πέρας τῆς κρόκης, ἢ ἡ κρόκη μόνη χωρὶς τοῦ στήμονος. ἔτι δὲ ἤτοι χαλαρὸν ἔγκειται τῷ πέρατι τῶν εἰρημένων τὸ ἕτερον, ἢ κατὰ μέν τι μέρος ἔγκειται, κατ' ἄλλο δ' ὑπερεκπίπτει. τῶν οὖν τοιούτων ὀθονίων αἱ κεφαλαὶ τῆς ἑλίξεως μαλακώτεραι τῶν ἑτέρων εἰσὶ κεφαλῶν, ἐν αἷς ἐξισοῦται μέχρι τοῦ πέρατος ὁ στήμων τῇ κρόκῃ· καὶ τῇ τούτων μαλακότητι τοὐναντίον οἶμαι προσηκόντως αὐτὸν δεδηλωκέναι ἐν ᾧ ἔφη '*σκληραί.*.' βέλτιον δ' ἦν εἰρηκέναι *μὴ μαλακαί*, καθάπερ ἔμπροσθεν περὶ τοῦ ἅμματος ἔφη '*μὴ μέγα.*' τὰ γὰρ ἐν τῷ μέσῳ τῶν ἀμετριῶν, ὡς ἔφην, εἰώθασι δηλοῦν ἀποφάσκοντες ὁποτερανοῦν ἀμετρίαν. τὸ μὲν οὖν εἶδος σκληρῶν τῶν κεφαλῶν εἰρημένων οὕτως ἄν τις ἀκούσειε

πιθανώτατον τῷ τε μηδὲν ἔχειν ἄλλο μηδὲ μετρίως πιθανὸν εἰπεῖν καὶ τῷ τὴν εἰρημένην ἁμαρτίαν ἐν τοῖς ὀθονίοις ἐν ἄλλῳ λόγῳ μηδενὶ δεδηλῶσθαι πρὸς αὐτοῦ. Τῷ δὲ *'ὁμαλὲς* δηλοῦσθαι φήσομεν τὸ κατὰ πᾶν ἀπαραλλάκτως ὅμοιον· γίγνεται δὲ τοῦτο μήτε σκληρᾶς ἢ πλατυτέρας ἐν αὐταῖς τινος οὔσης μήτε μαλακωτέρας ἢ στενωτέρας ἢ λεῖπόν τι καὶ διαβεβρωμένον ἐχούσης δοκίδος τοῦ πηνίου, καθάπερ ἐπὶ τῶν παρυφασμάτων γίγνεται. Τὸ δὲ *'εὐκρινὲς*, ἐπὶ τῶν τεταμένων ὁμοίως ἐν ἅπασι τοῖς μέρεσι καὶ μὴ κατὰ τὶ μὲν ἀνεπτυγμένων ἢ ἀναπεπταμένων, κατὰ τὶ δὲ ἐνδεδιπλωμένων ἢ ἐπειλιγμένων ἀκουσόμεθα.

ΚΓ'.

Τὰ δὲ δὴ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντων· τὰ δὲ, ὡς μήτε πιέζειν μήτε ἀποπίπτειν.

Σόλοικος μὲν ἡ ἑρμηνεία πάντως ἐστὶν, ὅπως ἂν τις ἀκούσῃ τῆς λέξεως· τὸ γὰρ *'ἀποπεσόντων*, ἐάν τε κατὰ τὴν τῶν Ἀττικῶν συνήθειαν εἰρῆσθαι νομίσωμεν, τῶν πτώσει γενικῇ τῆς μετοχῆς πληθυντικῇ χρωμένων ἀντὶ τοῦ προστακτικοῦ πληθυντικοῦ προσώπου τρίτου, ὁμοίως τῷ 'ἵπποι δ' ἐς δόλιχον παριόντων, ἐάν τε κατὰ τὴν γενικὴν πτῶσιν ἀπ' εὐθείας τῆς ἀποπεσόντες, σολοικιοῦμεν. γενήσεται γὰρ ἡ λέξις κατὰ μὲν τὸ πρότερον σημαινόμενον ἀκουόντων ἡμῶν, τοιάδε· 'τὰ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσέτωσαν, ἢ, εἰ βούλοιο, ἀποπεσέτω, ὡς ἐπ' οὐδετέρῳ τῷ 'τὰ μέλλοντα. κατὰ δὲ τὸ δεύτερον σημαινόμενον ἡ λέξις ἔσται τοιάδε· 'τὰ μέλλοντα ἀποπίπτειν κακίω, ταχέως ἀποπεσόντων αὐτῶν,

ἄμεινον δ' οὖν ἦν γεγράφθαι τὴν ῥῆσιν οὕτω· 'τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντα.. καὶ δῆλόν ἐστιν, ὥσπερ ἐξ ἄλλων τινῶν, οὕτω κἀκ ταύτης τῆς λέξεως, ἐν πλείστοις ἀλλοιωθῆναι χωρίοις τὸ βιβλίον τοῦτο πρὶν ἐκδοθῆναι, τὰ μὲν αὐτοῦ τοῦ γράψαντος αὐτὸ παρὰ γράμματος ἑνὸς ἢ δυοῖν ἀφαίρεσιν ἢ πρόσθεσιν ἢ ὑπάλλαξιν ἁμαρτόντος, οἷα πολλὰ συμβαίνει τοῖς συγγράφουσι, 'τὰ δὲ τοῦ πρώτου βιβλιογράφου, τινὰ μὲν, ἀσαφέσι γράμμασι γράψαντος αὐτοῦ τοῦ συνθέτου, τινὰ δὲ, τοῦ χάρτου κοπέντος ἢ κατά τινα ἄλλην περίστασιν ἀπολομένου τοῦ γράμματος ἢ συγχυθέντος. ἴσως δέ τινων καὶ κατὰ τὸν ὀνομαζόμενον μεταγραμματισμὸν ἁμαρτηθέντων ὑπό τινων μεταβαλόντων εἰκῆ τὰς παλαιὰς γραφὰς εἰς ἑτέρας μὴ γεγραμμένας πρὸς τοῦ παλαιοῦ, πλῆθος ἁμαρτημάτων ἐκ τούτων ἁπάντων ἐν πολλοῖς τῶν ἀντιγράφων ἠθροίσθη. περὶ μὲν δὴ τούτων σε ἅπαξ ἀκούσαντα μεμνῆσθαι προσήκει· μακρὸν γὰρ ἂν εἴη καθ' ἕκαστον τῶν ἁμαρτημάτων λέγειν τὰ αὐτά. συγχωρήσαντες δὲ τὴν ἀναμάρτητον λέξιν εἶναι τοιάνδε, 'τὰ μέλλοντα ἀποπίπτειν κακίω ταχέως ἀποπεσόντα., ζητήσωμεν ἐπὶ τίνων εἴρηται, πότερον ἐπὶ μελῶν τινων τοῦ σώματος ἀποπίπτειν μελλόντων, ἢ ἐπὶ τῶν ἐπιδέσμων, ἢ τῶν ἐπιτιθεμένων τοῖς πεπονθόσι μέρεσιν ἕνεκα τῆς ἰάσεως, ἅπερ ἐστὶ καταπλάσματα καὶ φάρμακα, καὶ μοτοὶ καὶ βρόχοι. παρὰ γὰρ τὰ τρία γένη ταῦτα τοιοῦτον οὐδὲν φαίνεται δυνάμενον ἀποπίπτειν τῶν πασχόντων σωμάτων· καὶ μέν τοι καὶ λέλεκται τοῖς ἐξηγησαμένοις τὸ βιβλίον ἕκαστον αὐτῶν, οὐ μόνον τὰ τρία· καί τοι γε, εἴπερ ἕκαστον ἔδοξεν εἶναί τινι πιθανὸν, ἐνεδέχετο καὶ πάντα δόξαι. ἐμοὶ δὲ μοτοὶ μὲν, ἢ μόνοι πολ-

λάκις ἐντεθέντες, ὡς ἐπὶ τῶν αἱμοῤῥαγιῶν, ἢ καὶ φαρμάκοις τισι κερασθέντες, ἢ ἔξωθεν αὐτοῖς ἀντὶ κρατήματος ἐπιβληθέντες, οὐκ ἀλόγως ἀκούεσθαι δοκοῦσιν ἐν τῇ προκειμένῃ ῥήσει· προσήκει γὰρ αὐτοὺς ἀποπεσεῖν μὲν πάντως, οὐ μὴν ἀποπεσεῖν ταχέως, 'ὥσπερ οὐδὲ τοὺς βρόχους', ἀλλ' ὅταν ἀκριβῶς ἐκπυήσαντος τοῦ μορίου σὰρξ ἐπιτραφῇ τε καὶ περιτραφῇ τοῖς αἱμοῤῥαγοῦσιν ἀγγείοις. ὡσαύτως δὲ καὶ τὰς ἀπὸ τῶν καυτηρίων, ἢ φαρμάκων καυστικῶν, γενομένας ἐσχάρας οὐ χρὴ ταχέως ἀποπίπτειν· ἄλλα τε πολλὰ φάρμακα τὰ μὲν ὑγρὰ σηπεδονώδεσιν ἐγχεόμενα, τὰ δὲ ἐπιπαττόμενα ξηρὰ, τὰ δὲ κατὰ σπληνικῶν ἢ ὑδερικῶν ἐπιτιθέμενα μεγάλως ὀνίνησιν, ὅταν μὴ ταχέως ἀποπέσῃ. καὶ κατὰ ἄλλων δὲ μορίων καὶ διαθέσεων ἐπιτιθέμενα φάρμακα τῶν ἐχεκόλλων ὀνομαζομένων ὀνίνησι μεγάλως χρονίζοντα· καὶ γὰρ ἐπὶ καταγμάτων καὶ μασχαλῶν ὀλισθημάτων συνεχῶς γιγνομένων, ἔτι δὲ ποδαγρικῶν, ἰσχιαδικῶν τε καὶ νεφριτικῶν καὶ πάντων τῶν ἀρθριτικῶν, κεφαλαίας τε καὶ ἄλλων, οὐκ ὀλίγον ἐπειράθημεν ὠφελούντων τῶν φαρμάκων, εἰ μὴ ταχέως ἀποπέσοι. τούτων δὲ αὐτῶν ὅσα μὲν ἐχέκολλα καλεῖται, διὰ τὸ δυσαπολύτως κεκολλῆσθαι καὶ τοῦ χρωτὸς ἔχεσθαι, οὐδεμιᾶς ἐπιδέσεως χρῄζει· τινὰ δὲ, εἰ μὴ κρατοῖτο πρὸς τῶν ἐπιδέσμων, ἀποπίπτει,· περὶ ὧν νῦν ὁ λόγος ἐστὶν αὐτῷ. φησὶν οὖν· '*τὰ δὲ, ὡς μήτε πιέζειν μήτε ἀποπίπτειν*,· ὡς εἰ καὶ οὕτως ἂν εἶπεν· ὅσα δὲ μὴ συμφέρει φάρμακα ταχέως ἀποπεσεῖν, ταῦτα ἐπιθεῖν οὕτως, ὡς πιέζεσθαι μὲν μὴ ὑπὸ τῆς ἐπιδέσεως τὸ πεπονθὸς μόριον, ἀσφαλῶς δὲ κρατεῖσθαι· & τῷ μὴ ἀποπίπτειν ἴσον δύναται. τὸ μὲν οὖν τῶν ἔξωθεν ἐπιτιθεμένων αὐτάρκως ὁ λόγος ἐξήγηται· περὶ δὲ τῶν με-

ρῶν τοῦ σώματος ἐφεξῆς ἴδωμεν, εἰ κἀν τούτοις ἀληθές ἐστιν, ὡς, ὅσα μέλλει πάντως ἀποπεσεῖσθαι, ταῦτα χρὴ μὴ ταχέως ἀποπεσεῖν. ἔνιοι γὰρ οἴονται ψευδῆ τὸν λόγον τοῦτον, ὑπὸ τῶν σεσηπότων ἐξαπατώμενοι μορίων, ἃ διὰ ταχέων ἐκκοπῆναι προσήκει. τοῦτο μὲν ἀληθές ἐστιν αὐτὸ καθ' ἑαυτὸ λεγόμενον, οὐ μὴν ἐκείνῳ γε μάχεται· διαφέρει γὰρ πάμπολυ τοῦ μέλλειν ἀποπεσεῖσθαι τὸ δεῖσθαι ἐκκοπῆς. πολλάκις γὰρ ἀποσχίδες ὀστῶν καὶ λεπίδες ἀποπίπτουσιν ἐν χρόνῳ καὶ βέλτιον αὐτάς ἐστιν ὑπὸ τῆς φύσεως ὠθουμένας κατὰ βραχὺ τὴν ἔκπτωσιν ἔχειν ἐν χρόνῳ, οὐ διὰ φαρμάκων ἐρεθισθείσας ἢ δι' ὀργάνων ἐκλυθείσας. ὅσα γὰρ ὑπὸ βίας ἀθρόως ἀποσπᾶται, συριγγώδεις ἐργάζεται κοιλότητας· ὅσα δὲ ὑποφύσας ἤδη ἔχει πωροειδεῖς τινας σάρκας, ἐκπεσόντων τῶν ἐκπτώσεως δεομένων εὐθέως φαίνεται πλήρη καὶ διὰ ταχέων ἐπουλοῦται, προσαχθέντος αὐτοῖς μετρίως ξηραίνοντος καὶ στύφοντος φαρμάκου. καὶ νευρώδη δέ τινα καὶ ὑμενώδη σώματα πολλάκις ἐκπίπτει διαπυήσαντα μὲν ἀκινδύνως ἐν χρόνῳ πλείονι κατὰ βραχὺ, βιασθέντα δὲ ὑπὸ φαρμάκων βιαίων ἢ δι' ὀργάνου τινὸς ἢ διὰ τῶν ἡμετέρων δακτύλων ἀποσπασθέντα συμπαθείας ἐπάγεται τῶν ὑπολειπομένων μορίων, ὥστε φλεγμῆναι ταῦτα, πυρέξαι δὲ καὶ παραφρονῆσαι καὶ σπασθῆναι τὸν ἄνθρωπον. Ἐπὶ τὸ λοιπὸν μὲν οὖν ἤδη καὶ τρίτον ἀφικόμεθα γένος τῶν λεγομένων ἀποπίπτειν, ὅπερ ἐστὶν, ὡς ᾠήθησάν τινες, οἱ ἐπίδεσμοι. τούτους οὖν, φασὶν, ὅταν ὦσι χαλαροὶ καὶ μέλλωσι πάντως ἀποπίπτειν, ἄμεινον ἐν πλείονι χρόνῳ τὴν ἀπόπτωσιν ἔχειν· ἀλλ' ἔστι τοῦτο ψευδές· ἄμεινον γὰρ οὐκ ἐν χρόνῳ ἀποπεσεῖν τὰ κακῶς περιβεβλημένα τοῖς πεπονθόσι μορίοις, ἀλλ' ὅτι τάχι-

ϛτα· μᾶλλον δὲ, οὐδὲ ἀναμένειν ἀποπεσεῖν αὐτὰ προσήκει, ἀλλ' αὐτὸν ἐν τάχει λύσαντα τὴν ἐπίδεσιν αὖθις ἐπιδῆσαι συμμέτρως. ὅθεν ἔνιοι τῶν οὕτως ἐξηγησαμένων ὁμολογοῦσι μὲν ἄμεινον εἶναι ταχέως ἀποπεσεῖν τοὺς χαλαροὺς ἐπιδέσμους· ἐλλιπὲς δὲ καὶ οὕτως ἐστι τὸ λεγόμενον, εἰ μὴ πρὸς αὐτῷ καὶ ἄλλο τι συνυπακουσθείη, ὥστε γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε· τὰ μέλλοντα ἀποπίπτειν· κακίω τῶν ταχέως ἀποπεσόντων τῷ χρόνῳ πλείονι κινούμενα.. συγχωρηθέντος δὲ καὶ τούτου, τὸ γ' ἀποπίπτειν οὐ πιθανὸν ἐπὶ τῶν χαλαρῶν ἐπιδέσμων εἰρῆσθαι· τίς γὰρ ἀναμένει χρόνον τοσοῦτον ἐν μέλλουσιν ἀποπίπτειν αὐτομάτως, δυνάμενος ἐν τάχει λῦσαι καὶ ἐπιδῆσαι καλῶς ; ἕτεροι δὲ ἐπὶ τοὐναντίον ἐκτραπέντες ἀληθῆ μὲν εἶπον λόγον, ἐξηγήσαντο δὲ βιαίως τὴν λέξιν. πῶς γὰρ οὐ βίαιόν ἐστιν οὕτως ἀκοῦσαι αὐτήν;· 'τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω μέν ἐστι τῶν μὴ ἀποπιπτόντων ἄμεινον δ' αὖθις ταχέως ἀποπεσεῖν.· ἵνα περιγράψαντες ἐν μιᾷ διανοίᾳ τὸ πρότερον μέρος τῆς ῥήσεως ἄχρι τοῦ '*τὰ μέλλοντα ἀποπίπτειν κακίω*'. πάλιν ἀφ' ἑτέρας ἀρχῆς ἀναγνῶμεν τὸ '*ταχέως ἀποπεσόντων*', ὅπερ ἐστὶ ταχέως ἀποπεσέτω. Βίαιος δὲ, ὡς ἔφην, ἡ ἐξήγησις αὕτη ἡ κατὰ τὸ καλούμενον ἀσύναρθρον εἶδος τῆς ἑρμηνείας γεγενημένη, μετὰ τοῦ καὶ ψεῦδος εἶναι τὸ λεγόμενον ἐν τῷ καθόλου· 'τὰ δὲ μέλλοντα ἀποπίπτειν κακίω.' πολλὰ γὰρ ἐπ' ἀγαθῷ ἀπόπτωσιν ἔχει. βέλτιον οὖν ἐστιν, ὡς ἔφην, ἀκούειν ἐπί τε τῶν ἔξωθεν ἐπιτιθεμένων κατὰ τῶν πεπονθότων μορίων καὶ τῶν πάντως ἀποπεσουμένων εἰρῆσθαι τὸν λόγον, ἀποχωρήσαντα ἐπιδέσμων καὶ τῆς ὑστάτης ἄρτι λελεγμένης ἐξηγήσεως.

ΚΔ'.

11. *Ὧν δὲ ἔχεται ἡ ἐπίδεσις ἡ ὑπόδεσις, ἡ ἀμφότερα·*

Προσυπακοῦσαι δεῖ 'τάδε ἐστίν.' εἶτα ἑξῆς ἀναγιγνώσκειν '*Ὑπόδεσις μὲν αἰτίη ὥστε ἡ ἀφεστεῶτα προστεῖλαι*. καὶ τὰ ἄλλα τὰ τούτων ἐφεξῆς. κέχρηται δὲ τῷ '*ἔχεται*. ῥήματι, σημαίνων δι' αὐτοῦ τὸ οἷον ἐφίεται καὶ ἀντιποιεῖται καὶ στοχάζεται,' ἅπερ αὖ ἅπαντα δυνάμει τ'αὐτὸν δηλοῖ τῷ τίνες αἱ δυνάμεις εἰσὶ τῆς ἐπιδέσεως καὶ τίνα τὰ ἔργα· λέγω δὲ ἔργα νῦν οὐ τὰς ἐνεργείας, ἀλλὰ τὰ ἀποτελέσματα· καθάπερ οἰκοδόμου μὲν ἔργον οἰκία, τέκτονος δὲ σκιμπόδιον, ὑφάντου δὲ ἱμάτιον. Ἐπὶ οὖν τῆς ἐπιδέσεως, καὶ μάλιστα τῆς καταγματικῆς, δύο μὲν πρὸ τῶν σπληνῶν ἐπίδεσμοι περιβάλλονται, ἕτεροι δὲ μετὰ τοὺς σπλῆνας. ἴδιον οὖν ὄνομα κατὰ τῶν πρώτων δυοῖν Ἱπποκράτης ἔθετο τὰς *ὑποδεσμίδας*, αὐτήν τε τὴν ὑπ' αὐτῶν γιγνομένην ἐπίδεσιν *ὑπόδεσιν* ἐκάλεσεν. ἐφεξῆς δ' ἀκούσωμεν αὐτοῦ λέγοντος ὅσα δύναται ποιεῖν ἥδε ἡ ἰδίως ὑπόδεσις ὀνομαζομένη καὶ κοινῶς ἐπίδεσις. ἔδει μέν τοι κατὰ τὴν προτέραν ῥῆσιν εἰρῆσθαι, τίνων ἕνεκεν ἡ ἐπίδεσις ὑπὸ τῶν ἰατρῶν γίγνεται· καθάπερ ἐν ἀρχῇ διαιρεῖται, τὸ μὲν αὐτὴν ἰᾶσθαι λέγων, τὸ δὲ τοῖς ἰωμένοις ὑπηρετεῖν· καὶ ταῦτα πῶς γιγνομένη τῶν εἰρημένων ἕκαστον ἰάσεται. πρὸς γὰρ τὸν σκοπὸν τῆς ἰάσεως ἀποβλέποντες ἐξευρήσομεν τὴν προσήκουσαν ἐπίδεσιν· αὐτὸν δὲ τὸν σκοπὸν ἐνδείξεται τὸ θεραπευόμενον πάθος. οὐ μὴν ὁ Ἱπποκράτης οὕτως ἔγραψεν, ἀλλὰ περὶ τῆς ἐπιδέσεως, ὁποίαν χρὴ γίγνεσθαι, διελθὼν ἄχρι νῦν, ἐπί τε τὰ ἔργα καὶ τὴν δύναμιν αὐτῆς ἧκεν.

ΚΕ'.

'ὑπόθεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστεῶτα προστεῖλαι ἢ ἐκπεπταμένα ξυστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία.

Ἀφεστεῶτα πάντα καλεῖ νῦν ὅσα κατὰ φύσιν μὲν ἔχοντος τοῦ σώματος ἥνωτό τισι μορίοις ἑτέροις ἢ ἐπέψαυεν αὐτῶν, ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν οὐκέτι φυλάττει τὴν ἕνωσιν καὶ τὴν ψαῦσιν. σκοπὸς οὖν τῆς ἰάσεως τὸ προστεῖλαι. ἕνωσις μὲν γὰρ ἐν ἅπασι καὶ κατάγμασιν ἕλκεσί τε καὶ ῥήγμασι καὶ θλάσμασι συμφέρει, ψαῦσις δὲ ἐν ἀποστήμασι καὶ κόλποις, ἐμφυσήμασί τε καὶ οἰδήμασιν. ἐκπεπταμένα δὲ καλεῖ τὰ πλείστην διάστασιν ἀπ' ἀλλήλων ἔχοντα· γίγνεται δὲ αὖ τοῦτο κατὰ διττὸν τρόπον, ἤτοι δι' ὅλων αὐτῶν, ἢ κατὰ τὰ χείλη μόνον. σκοπὸς οὖν τῆς ἰάσεως τὸ συστεῖλαι. τὸ δὲ 'διεστραμμένα διορθῶσαι. κοινὸν ἁπάντων ἐστὶ τῶν εἰρημένων, ἐπανορθοῦσθαι καὶ διορθοῦσθαι τῶν Ἑλλήνων λεγόντων ὅσα περ ἂν ἐκβεβλημένα καθ' ὁντιναοῦν τρόπον εἰς ἔμμετρον ἐπανάγομεν κατάστασιν. οἱ μὲν δὴ σκοποὶ τῆς ἐπιδέσεως οἵδε εἰσίν· ἡ δύναμις δὲ αὐτῶν οὐ τούτων μόνον ἐστὶ ποιητικὴ τῶν σκοπῶν, ἀλλὰ καὶ τῶν ἐναντίων ἐνίοτε,· κατορθουμένης μὲν τῆς ἐπιδέσεως, τούτων, ἁμαρτανούσης δὲ, τῶν ἐναντίων. εἰκότως οὖν ἐπὶ τελευτῇ τῆς ῥήσεως εἶπεν '*ἢ τἀναντία*.. προύκειτο γὰρ αὐτῷ τί δύναται ποιεῖν ὑπόθεσις εἰπεῖν, οὐ περὶ μόνης τῆς ἀγαθῆς διελθεῖν. ἐν ἀρχῇ γέ τοι τῆς ῥήσεως ἔφη '*ὧν δὲ ἔχεται ἡ ἐπίδεσις ἡ ὑπόθεσις, ἢ ἀμφότερα*., περὶ πάσης ἐπιδέσεως, οὐ περὶ τῆς ἀρίστης μόνον, τὸν λόγον ποιούμενος. εἰ δὲ περὶ μό-

ς ἐπιδέσεως ἐνταῦθά τις αὐτῷ βούλοιτο εἶναί
κ τὰ τὴν τελευτὴν προσθήκη τόνδε τὸν νοῦν
αρὰ φύσιν ἔχειν τὰ μέν ἐστιν ἀφεστῶτα, τὰ
τὰ δὲ διεστραμμένα, κατὰ τὸν αὐτὸν τρόπον
ς ἐστὶν ἐναντία. τοῦ γὰρ ὑγιαίνοντος σώ·
ἰτρώς, ἅπαν πάθος ἐν τῷ διαφθείρεσθαι
ται. ἥπερ οὖν, ὅσα, τὴν κατὰ φύσιν
ωτό τισιν ἢ ἔψαυεν, ὅταν ἤτοι τὴν
λέσῃ, πεπονθέναι τε καὶ παρὰ φύ-
ως ὅσα μήθ' ἤνωτο μήτ' ἔψαυεν,
οεῖν ἂν ταῦτα φήσομεν. ἐναν-
θώσεως ἐπ' ἐναντίοις τεύξε-
ν ἄν τινι μάχεσθαι τῷ λό-
μενα, καλούμενα δὲ εὔ-
οειρημένῳ λόγῳ, καὶ
ιης ἀγαθῆς ἐπιδέσεως ἐρ-
ημένης ὑπάρχει. ἀναμνησθεὶς οὖν τις
οκράτης ἐπὶ μηροῦ καὶ βραχίονος, γνώσεται τὴν
ύτητα παρὰ φύσιν οὖσαν, οἷς τὸ ἔξω καὶ πρόσω
ύσει. καί τις ἐπιλαθόμενος τούτου τὸν κατα-
ἰὸν ἢ μηρὸν ἢ βραχίονα διέπλασε μὲν πρῶτον
ν δὲ καὶ πωρούμενον ἐν τούτῳ τῷ σχήματι πε-
ὅ τε προσεσχηκὼς τὸν νοῦν τῷ φυσικῷ σχήματι
αὶ φυλάττειν αὐτὸ μεμνημένος ἀεί, μηδέπω
ἐντυχών, ὕδατι μετὰ ἐλαίου πολλοῦ καταν-
διατείνας ἰσχυρῶς, πρῶτον μὲν κατέαξεν ὡς
κατεαγός, ἐφεξῆς δὲ ἐν τῷ κατὰ φύσιν σχήματι
ιὶ μετὰ ταῦτα ἐπέτρεψε τῇ φύσει πωρῶσαι τὸ

KE'.

'υπόθεσις μὲν αἰτίῃ, ὥστε ἢ ἀφεστεῶτα προστεῖλαι ἢ ἐκπεπταμένα ξυστεῖλαι, ἢ ξυνεσταλμένα διαστεῖλαι, ἢ διεστραμμένα διορθῶσαι, ἢ τἀναντία.

Ἀφεστεῶτα πάντα καλεῖ νῦν ὅσα κατὰ φύσιν μὲν ἔχοντος τοῦ σώματος ἥνωτό τισι μορίοις ἑτέροις ἢ ἐπέψαυεν αὐτῶν, ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν οὐκέτι φυλάττει τὴν ἕνωσιν καὶ τὴν ψαῦσιν. σκοπὸς οὖν τῆς ἰάσεως τὸ προστεῖλαι. ἕνωσις μὲν γὰρ ἐν ἅπασι καὶ κατάγμασιν ἕλκεσί τε καὶ ῥήγμασι καὶ θλάσμασι συμφέρει, ψαῦσις δὲ ἐν ἀποστήμασι καὶ κόλποις, ἐμφυσήμασί τε καὶ οἰδήμασιν. ἐκπεπταμένα δὲ καλεῖ τὰ πλείστην διάστασιν ἀπ' ἀλλήλων ἔχοντα· γίγνεται δὲ αὖ τοῦτο κατὰ διττὸν τρόπον, ἤτοι δι' ὅλων αὐτῶν, ἢ κατὰ τὰ χείλη μόνον. σκοπὸς οὖν τῆς ἰάσεως τὸ συστεῖλαι. τὸ δὲ 'διεστραμμένα διορθῶσαι. κοινὸν ἁπάντων ἐστὶ τῶν εἰρημένων, ἐπανορθοῦσθαι καὶ διορθοῦσθαι τῶν Ἑλλήνων λεγόντων ὅσα περ ἂν ἐκβεβλημένα καθ' ὁντιναοῦν τρόπον εἰς ἔμμετρον ἐπανάγομεν κατάστασιν. οἱ μὲν δὴ σκοποὶ τῆς ἐπιδέσεως οἵδε εἰσίν· ἡ δύναμις δὲ αὐτῶν οὐ τούτων μόνον ἐστὶ ποιητικὴ τῶν σκοπῶν, ἀλλὰ καὶ τῶν ἐναντίων ἐνίοτε, κατορθουμένης μὲν τῆς ἐπιδέσεως, τούτων, ἁμαρτανούσης δὲ, τῶν ἐναντίων. εἰκότως οὖν ἐπὶ τελευτῇ τῆς ῥήσεως εἶπεν '*ἢ τἀναντία*.. προύκειτο γὰρ αὐτῷ τί δύναται ποιεῖν ὑπόδεσις εἰπεῖν, οὐ περὶ μόνης τῆς ἀγαθῆς διελθεῖν. ἐν ἀρχῇ γέ τοι τῆς ῥήσεως ἔφη '*ὧν δὲ ἔχεται ἢ ἐπίδεσις ἢ ὑπόδεσις, ἢ ἀμφότερα*., περὶ πάσης ἐπιδέσεως, οὐ περὶ τῆς ἀρίστης μόνον, τὸν λόγον ποιούμενος. εἰ δὲ περὶ μό-

ης τῆς ἀγαθῆς ἐπιδέσεως ἐνταῦθά τις αὐτῷ βούλοιτο εἶναί ὸν λόγον, ἡ κατὰ τὴν τελευτὴν προσθήκη τόνδε τὸν νοῦν ξει· ὡς ἐν τῷ παρὰ φύσιν ἔχειν τὰ μέν ἐστιν ἀφεστῶτα, τὰ ὲ ἐκπεπταμένα, τὰ δὲ διεστραμμένα, κατὰ τὸν αὐτὸν τρόπον τερα πάθη τούτοις ἐστὶν ἐναντία. τοῦ γὰρ ὑγιαίνοντος σώ-ατος ἔχοντος συμμέτρως, ἅπαν πάθος ἐν τῷ διαφθείρεσθαι ὴν συμμετρίαν γεννᾶται. ὥσπερ οὖν, ὅσα, τὴν κατὰ φύσιν χοντα κατασκευὴν, ἥνωτό τισιν ἢ ἔψαυεν, ὅταν ἤτοι τὴν νωσιν ἢ τὴν ψαῦσιν ἀπολέσῃ, πεπονθέναι τε καὶ παρὰ φύ-ιν ἔχειν αὐτά φαμεν, ὡσαύτως ὅσα μήθ' ἥνωτο μήτ' ἔψαυεν, να ἂν ἑνωθῇ τε καὶ ψαύσῃ, νοσεῖν ἂν ταῦτα φήσομεν. ἐναν-ία οὖν ὄντα ταῦτα, τῆς ἐπανορθώσεως ἐπ' ἐναντίοις τεύξε-αι τοῖς σκοποῖς. ἀλλ' ἴσως δόξειεν ἄν τινι μάχεσθαι τῷ λό-γῳ τὰ τοῖς διεστραμμένοις ἀντικείμενα, καλούμενα δὲ εὐ-θέα· δεήσειε γὰρ ἂν, ὅσον ἐπὶ τῷ προειρημένῳ λόγῳ, καὶ ταῦτα διαστρέφειν,· ὅπερ οὐκέτι τῆς ἀγαθῆς ἐπιδέσεως ἔρ-γον, ἀλλὰ τῆς ἡμαρτημένης ὑπάρχει. ἀναμνησθεὶς οὖν τις ὧν εἶπεν Ἱπποκράτης ἐπὶ μηροῦ καὶ βραχίονος, γνώσεται τὴν ἐν αὐτοῖς εὐθύτητα παρὰ φύσιν οὖσαν, οἷς τὸ ἔξω καὶ πρόσω κεκύρτωται φύσει. καί τις ἐπιλαθόμενος τούτου τὸν κατα-γέντα καυληδὸν ἢ μηρὸν ἢ βραχίονα διέπλασε μὲν πρῶτον εὐθὺν, ὕστερον δὲ καὶ πωρούμενον ἐν τούτῳ τῷ σχήματι πε-ποίηκεν. ἀλλ' ὅ γε προσεσχηκὼς τὸν νοῦν τῷ φυσικῷ σχήματι τῶν ὀστῶν καὶ φυλάττειν αὐτὸ μεμνημένος ἀεί, μηδέπω πεπωρωμένῳ ἐντυχὼν, ὕδατι μετὰ ἐλαίου πολλοῦ καταν-τλήσας, εἶτα διατείνας ἰσχυρῶς, πρῶτον μὲν κατέαξεν ὡς ἐξ ἀρχῆς ἦν κατεαγὸς, ἐφεξῆς δὲ ἐν τῷ κατὰ φύσιν σχήματι διέπλασε καὶ μετὰ ταῦτα ἐπέτρεψε τῇ φύσει πωρῶσαι τὸ

ΚΖ'.

Ἀφεστεῶτα μὲν, ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή· ἦρχθαι ἐκ τοῦ ὑγιέος, τελευτᾶν πρὸς τὸ ἕλκος, ὡς τὸ μὲν ὑπεὸν ἐξαθέλγηται, ἕτερον δὲ μὴ ἐπιξυλλέγηται.

Ἐάν τε ὀστοῦ κατεαγότος τὰ μόρια διεστήκῃ παρὰ φύσιν ἀπ' ἀλλήλων, ἐάν τε συμφύσεως ἀποῤῥαγείσης ἢ τραύματος μεγάλου γενομένου, συνάγειν αὐτὰ δεῖ μέχρι τοῦ ψαύειν μὲν, οὐ μὴν καὶ θλίβειν ἄλληλα· καὶ γὰρ ὀδυνήσεται καὶ φλεγμονεῖ τὰ οὕτως ἐπιδεθέντα μόρια. μάλιστα δὲ ἐπὶ τῶν καλουμένων κόλπων ὁ λόγος αὐτῷ γίγνεται νῦν, ὡς ἐπὶ παραδείγματος. ἐδήλωσε γὰρ τοῦτο σαφῶς αὐτὸς ἐν τοῖς ἐφεξῆς γεγραμμένοις. μέχρι μὲν οὖν τοῦ '*ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν, πιέζειν δὲ μή*', κοινὸς ὁ λόγος αὐτῷ καὶ πρὸς τἄλλα πάντα ἐστὶν ὅσα τῆς φυσικῆς ψαύσεως ἢ συμφύσεως ἐλύθη· τὰ δὲ ἐφεξῆς τοῦδε καθ' ἅ φησιν '*ἦρχθαι ἐκ τοῦ ὑγιέος, τελευτᾶν πρὸς τὸ ἕλκος*, ἐπὶ τῶν ὄγκων εἴρηται προδηλότατα· τούτοις γὰρ χρὴ τοὺς μὲν ἰχῶρας ἐκκενοῦσθαι, μηδένα δὲ ἐπιῤῥεῖν τῷ μορίῳ χυμὸν ἐν τῷ τῆς κολλήσεως χρόνῳ. γενήσεται δὲ τοῦτο πιεζόντων μὲν ἡμῶν τὸν πυθμένα τοῦ κόλπου μέχρι τοῦ ἐκθλίβειν, ἐκλυόντων δὲ κατὰ βραχὺ τὴν πίεσιν ἄχρι τοῦ στόματος αὐτοῦ, τοῦτο δὲ ἀνεῳγμένον φυλαττόντων ἐν σχήματι καταῤῥόπῳ. κόλπους μὲν οὖν, ὅταν καθαροὺς ποιήσωμεν αὐτοὺς, θελήσαντες κολλῆσαι τὸν εἰρημένον τρόπον ἐπιδήσομεν· ἀπόσπασμα δὲ ἀκρωμίου, βιαίως θλίβοντές τε καὶ καταναγκάζοντες τὸ ὑψούμενον αὐτοῦ μέρος· οὐδὲν γὰρ ἐκ τῆς τοιαύ-

της θλίψεως ἄτοπον ἔσται, καθάπερ οὐδὲ ἐπὶ κλειδὸς κατεαγυίας, ὅταν ἐπὶ πολὺ τὸ ἕτερον αὐτῆς μέρος ἐξέχῃ· ἧττόν γε μὴν ἐπὶ ταύτης ἢ ἐπ᾽ ἀκρωμίου πιέσομεν. ἐπὶ δὲ τῶν ἄλλων καταγμάτων ἥκιστα θλίψομεν, εὐλαβούμενοι φλεγμονάς. Ἐγὼ μὲν οὖν ἐπὶ πάντων τῶν ἀφεστώτων πεποίημαι τὸν λόγον, ὁ δ᾽ Ἱπποκράτης ἐπὶ μόνων τῶν κόλπων, ὡς ἐπὶ παραδείγματος,· ἐφ᾽ ὧν τῶν ἐπιδέσεων τὴν συμμετρίαν ἐδήλωσε σαφῶς, εἰπὼν 'ὥστε *τὰ μετέωρα*, τουτέστι τὰ ἀφεστῶτα, '*ψαύειν μὲν τῆς ἕδρης, μὴ πιέζειν δὲ*, καλέσας ἕδρην δηλονότι τὸ ὑποβεβλημένον τῷ ἀφεστῶτι σώματι, καθ᾽ οὗ δεῖ στηριχθῆναί τε καὶ ἑδρασθῆναι τὸ προσαγόμενον αὐτῷ. πρὶν μὲν γὰρ τοῦ ψαῦσαι, τὴν ἀρχὴν οὐδ᾽ ἂν ἑνωθείη μέρος ἕτερον ἑτέρῳ, ψαυσάντων δὲ ἀθλίπτως ἡ ἕνωσις γίγνεται. πρόδηλον δὲ ὅτι τοὺς δεομένους κολλήσεως κόλπους, οὐχ ἁπλῶς πάντας ἐπιδεῖν οὕτως συμβουλεύει. χρὴ γὰρ ἀφλεγμάντους πρότερον αὐτοὺς ποιῆσαι καὶ μετὰ ταῦτα καθαροὺς καὶ ξηρούς· εἰ δὲ καὶ αἱ σάρκες ἐκτετηκυῖαι τύχοιεν, ἀναθρέψαι πρότερον ἐκείνας. οὕτως οὖν οὐδὲ τὰ ῥήγματα καὶ θλάσματα, τοῦ γένους τῶν ἑλκῶν τε ἅμα καὶ τῶν κόλπων ὄντα, διὰ τῆς εἰρημένης ἐπιδέσεως εὐθὺς ἅμα τῷ γενέσθαι θεραπεύομεν, ἀλλ᾽ ὅταν ἀφλέγμαντα καὶ ξηρὰ γένηται πρότερον. ἀμφοτέρων γὰρ αὐτῶν ἀρχή ἐστι συνεχείας λύσις ἐν σαρκώδει μορίῳ γενομένη μετὰ τοῦ προχεῖσθαί τι τοῦ αἵματος εἰς τὴν μεταξὺ χώραν,· ὅπερ ἐστὶ κοινὸν ἀποστήματός τε καὶ κόλπου. ἄχρι μὲν οὖν ἂν ἀστόμωτον ᾖ πρὸς τὴν ἐκτὸς ἐπιφάνειαν τὸ οὕτω διακείμενον μόριον, ἀφεστάναι μὲν αὐτὸ λέγεται, τὸ δὲ κατ᾽ αὐτὸ πάθος ἀπόστημα καλεῖται· στομωθέντος δὲ αὐτοῦ κατά τι μέρος, ὡς ἐκ-

4

κριθῆναι τὸ περιεχόμενον ὑγρὸν, οὐκέτι ἀπόστημα τὸ πάθος, ἀλλ' ἤδη κόλπος ὀνομάζεται. τὰ τοιαῦτα οὖν ἅπαντα πάθη δεῖται μὲν ἀεί τινος ἐπιδέσεως, οὐ μὴν ὁμοίας γε ἀεί· τινὸς μὲν γὰρ φλεγμονῆς ἐν αὐτοῖς ὑπαρχούσης, οὐδεμιᾶς ἐπιδέσεώς ἐστι χρεία, κατά γε ἰατρικὸν λόγον, ὥσπερ οὐδ' ἐπὶ τῶν ἐμπυημάτων· κόλπου δὲ ἤδη γεγενημένου, μήπω μὲν αὐτοῦ κατασεσαρκωμένου, μετριωτάτης ἐπιδέσεώς ἐστι χρεία, οὐ ψαύειν ποιούσης τῆς ἕδρας τὰ ἀφεστῶτα· χρὴ γὰρ ἐνίεσθαι διὰ τοῦ στομίου φάρμακα καθαίροντα καὶ ἀναστομοῦντα κολλήσεως δὲ χρῄζοντος, ὃ νῦν εἴρηκεν Ἱπποκράτης, ἐπίδεσις οἰκεία. Ταῦτα δ' ἀναγκαίως ἔγραψα, μή τις παρακούσας οἰηθῇ πάντας κόλπους οὕτως ἐπιδεῖν ἀξιοῦν τὸν Ἱπποκράτην. δέδεικταί γὰρ ὡς οὐ πάντες, ἀλλ' ὅσοι μηδὲν ἔχουσιν ἅμα αὐτοῖς πάθημα, μήτ' οὖν φλεγμονὴν μήτε σαρκὸς ἔκσπασιν μήτε ῥύπον μήτε χυμὸν ἐν αὐτοῖς συνεστῶτα, μόνοι οὗδε αὐτοὶ καθ ἑαυτοὺς ἐπιδέχονται μόνην τὴν ἑαυτῶν θεραπείαν. εἴρηται δέ μοι περὶ τῶν τοιούτων διορισμῶν ἱκανῶς ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν.

ΚΗ'.

Ἐπιδεῖν τὰ μὲν ὀρθὰ ἐς ὀρθὸν, τὰ δὲ λοξὰ λοξῶς, ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται τις, ἐξ οὗ ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ' ὁμαλῶς ἕξουσι μύες, φλέβες, νεῦρα, ὀστέα,· ᾗ μάλιστα εὔθετα καὶ εὔσχετα.

Οὐ τὰ πεπονθότα μόρια τοῦ σώματος ὀρθὰ καὶ λοξὰ λέγει νῦν, ἀλλὰ τὰ ἀποστήματα,· περὶ ὧν ποιεῖται τὴν διδασκαλίαν ἐπὶ παραδείγματος ἐξ αὐτῶν ἑνὸς, τοῦ κόλπου.

πάντως γὰρ οὗτος ἤτοι γε ὀρθός ἐστιν ἢ λοξὸς πρὸς τὸ μέρος ἐν ᾧ γέγονεν. ὀρθὸν μὲν οὖν ἄκουέ μοι τὸν κατάντη, λοξὸν δὲ τὸν μὴ τοιοῦτον. ὠνόμασε δὲ ὀρθὸν κόλπον, οὗ τὸ μὲν στόμιον ἐν τοῖς κάτω μέρεσίν ἐστιν, ὁ δὲ πυθμὴν ἐν τοῖς ἄνω, λοξὸν δὲ, οὗ πρὸς τὸ πλάγιον ἐκκλίνεται. γίγνονται δὲ δηλονότι καὶ τούτοις ἐναντίως διακείμενοι κόλποι, κάτω μὲν ἔχοντες τὸν πυθμένα, τὸ στόμιον δὲ ἄνωθεν. ἀλλ' ἡμεῖς αὐτοὶ τούτους ἀντιδιαιροῦμεν κατὰ τὸν πυθμένα τῆς ἐκροῆς τῶν ἰχώρων ἕνεκεν. εἰ δὲ φθάνοι τὸ στόμιον οὐκ ἀκριβῶς ἐν τοῖς κάτω μέρεσι τοῦ σώματος, ἀλλ' ἐν τοῖς πλαγίοις ὑπάρχον, ἐξευρίσκειν ἐπιτήδειον σχῆμα τοῦ μορίου χρὴ καὶ τρόπον ἐπιδέσεως, ὡς ἐκκρίνεσθαι τοὺς ἰχῶρας αὐτοῦ. τοσαύτη γὰρ ἐν τοῖς τοιούτοις ἐστὶν ἡ δύναμις τοῦ σχήματος, ὥσθ' ἡμεῖς πολλάκις τὸ δοκοῦν ἄνωθεν εἶναι στόμιον ἐποιήσαμεν κάτωθεν, ὑπαλλάξαντες τὸ σχῆμα. μηρὸν γοῦν ἐν αὐτῷ κόλπον ἔχοντα, τὸ στόμιον μὲν ἔχοντα πλησίον βουβῶνος, τὸν πυθμένα δὲ ἐγγὺς τοῦ γόνατος, ἰασάμεθα μετασχηματίσαντες οὕτως, ὡς ὑψηλότερον εἶναι τὸ γόνυ τοῦ βουβῶνος. ἐγένετο δὲ τοῦτο ῥαδίως τε καὶ ἀνωδύνως ὑπαυχενίου μαλακοῦ κατὰ τὴν ἰγνύαν ὑποτεθέντος. οὕτω δὲ καὶ κατὰ γαστροκνημίαν κόλπους ἰασάμεθα, τὸ στόμιον ἔχοντας τῆς ἰγνύας πλησίον, ὑψηλότερον ἄκρον τὸν πόδα τῆς ἰγνύας καταθέμενοι. καὶ πῆχυν δὲ, ἀναλαβόντες ταινίᾳ καθ' ὅμοιον τρόπον, ὡς ὑψηλοτέραν εἶναι ἄκραν τὴν χεῖρα τοῦ ἀγκῶνος, ἰασάμεθα πολλάκις, ἔχοντα κόλπον. ἀγκῶνος δὲ πεπονθότος οὕτως, ὡς ἐπειλῆφθαι τὸν ἀμφ' αὐτὸν κόλπον ἐκ μὲν τῶν ἄνω μερῶν τοῦ βραχίονος, ἐκ δὲ τῶν κάτω τοῦ πήχεως, ἐπιτηδειότατον σχῆμα τὸ νῦν εἰρημένον ἐστὶν, ἐν ᾧ ταπεινότερος ἐ-

κατέρου τῶν ὀστῶν ὁ ἀγκὼν γίγνεται· λέγω δὲ ἑκατέρου, πήχεως καὶ βραχίονος. καὶ δύο γε ἐπιδέσμοις ἐνταῦθα χρώμεθα, τελευτῶσι μὲν ἀμφοτέροις ἐπὶ τὸ κατ᾽ ἀγκῶνα στόμιον, ἀρχομένοις δὲ ἀπὸ τῶν πυθμένων. ἐὰν μὲν οὖν ἀκριβῶς ὀρθὸς ὁ κόλπος ᾖ, τὴν ἐπίδεσιν ἀπαρέγκλιτον ποιήσεις, καθάπερεὶ καὶ κατεαγὸς ἐπιδεῖς τὸ κῶλον ἀποτίθῃς τε ὁμοίως ἔχον. ἐὰν δὲ ἐκκεκλιμένος ᾖ πρὸς τὸ πλάγιον, ἡ ἐπίδεσίς σου τὴν ἔκκλισιν τοῦ κόλπου μιμείσθω· καὶ τὸ σχῆμα μὴν ἔστω τοιοῦτον, ὡς ἐκρεῖν τοὺς ἰχῶρας. ἐν ᾧ δὲ ἂν μέλλῃ σοι ἀποτίθεσθαι σχήματι τὸ πεπονθὸς μόριον, ἐν τούτῳ καὶ τὴν ἐπίδεσιν ποιοῦ, γιγνώσκων μεγίστην ἑπομένην βλάβην τοῖς μετασχηματισμοῖς. ἀναγκαῖον γὰρ ἐν αὐτοῖς ἔνια μὲν κεκυρτωμένα ὑψωθῆναι, ἔνια δὲ προσεσταλμένα ταπεινωθῆναι. συμβήσεται οὖν ἐξ ἀνάγκης τὰ μὲν ὑψωθέντα θλίβεσθαι πρὸς τῶν ἐπιδέσμων, τὰ δὲ ταπεινωθέντα μὴ κρατεῖσθαι, χαλασθέντων αὐτῶν: ἐπὶ μὲν οὖν τῶν θλιβομένων τὴν ἀπόσφιγξιν εἶπεν ὁ Ἱπποκράτης, ἐπὶ δὲ τῶν κεχαλασμένων τὴν ἀπόστασιν, ἐν σχήματι τοιούτῳ τὴν οἰκείαν τῷ κόλπῳ κελεύων ἐπίδεσιν ποιεῖν ἡμᾶς, ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται, κατὰ τὴν ἀπόθεσιν, ἀναγκαζομένων τῶν πασχόντων μεταβάλλειν. ἐὰν γὰρ μὴ ἐπιμελῶς ἐν τῷ τῆς ἐπιδέσεως χρόνῳ αὐτῷ φροντίσωμεν τὸν λοξὸν κόλπον ἐπιδέσει λοξῇ κατασφαλίσασθαι ἐν σχήματι δυναμένῳ φυλαχθῆναι κατὰ τὴν ἀπόθεσιν ἢ κατὰ τὴν ἀνάληψιν, ἐν τῇ μεταλλαγῇ τὰ μέν τινα τῶν ἐπιδεδεμένων μορίων ἀποσφιγχθήσεται, τὰ δὲ χαλασθήσεται. ὀνομαστὶ δὲ αὐτὸς ἐδήλωσε τὰ τὴν θέσιν ἐν τοῖς μετασχηματισμοῖς ὑπαλλάττοντα μόρια, μύας εἰπὼν καὶ φλέβας καὶ νεῦρα καὶ ὀστᾶ· ταῦτα γάρ ἐστι

τὰ τὸν ὄγκον τοῦ σώματος ἐργαζόμενα· φλέβας ἀκουόντων ἡμῶν κατὰ τὸ παλαιὸν ἔθος οὐ μόνον ταύτας τὰς νῦν ὀνομαζομένας, ἀλλὰ καὶ τὰς ἀρτηρίας. Οὗτος μὲν οὖν ὁ νοῦς ὅλης τῆς ῥήσεώς ἐστιν· αἱ δὲ κατὰ μέρος ἐν αὐτῇ λέξεις οὐ πάνυ μὲν ἀσαφεῖς εἰσιν, ἄμεινον δ' ἴσως αὐτὰς ἐξηγήσασθαι διὰ βραχέων. ἀνάληψιν μὲν οὖν ἐπὶ χειρὸς ὀνομάζει τὴν μετὰ τὴν ἐπίδεσιν ἀπόθεσιν αὐτῆς ἐν πλατείᾳ ταινίᾳ περιλαμβανούσῃ πάντα τὸν πῆχυν, θέσιν δὲ τὴν ἐπὶ τοῦ σκέλους. εὔδηλον δὲ ὅτι καὶ ἡ ἀνάληψις ὑποπέπτωκε τῷ γένει τῷ πρὸς τῆς θέσεως σημαινομένῳ. καὶ τοίνυν ἐπὶ τῷ τέλει τῆς ῥήσεως εὔθετα μὲν ὠνόμασε τὰ καλῶς ἀποτιθέμενα, εὔσχετα δὲ τὰ καλῶς ἀναλαμβανόμενα, τὸ μὲν πρῶτον ὄνομα κατὰ τῶν σκελῶν, τὸ δὲ δεύτερον κατὰ τῶν χειρῶν ἐπιφέρων.

ΚΘ'.

ἀναλελάφθαι δὲ ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν· ὧν δὲ ἂν ἀποστῇ, τἀναντία.

Οὐχ ἄλλο μέν τι τὸ ἄπονόν ἐστι, ἄλλο δὲ τὸ κατὰ φύσιν, ἀλλ' ἓν καὶ τὸ αὐτό, ᾧ συμβέβηκεν ἀμφότερα, κατὰ φύσιν τε εἶναι καὶ ἀπόνῳ. τί δ' ἐστι τοῦτο, λέλεκται μὲν καὶ ἐν τῷ *Περὶ ἀγμῶν* ἱκανῶς ὑπ' αὐτοῦ, δηλώσεται δὲ καὶ νῦν ἐπὶ προήκοντι τῷ βιβλίῳ. *ὧν δὲ ἂν ἀποστῇ, τἀναντία*· τινὲς μὲν ἔγραψαν ὧν δ' *ἂν μὴ* ἀποστῇ, προσθέντες ἀπόφασιν τὴν *μή* καὶ φάσιν, ἐφ' ὧν ἂν ἀποστῇ τι, τὸν προειρημένον κελεύειν αὐτὸν τρόπον τῆς ἐπιδέσεως, ἐφ' ὧν δ' ἂν μὴ ἀποστῇ, τὸν ἐναντίον. *εἰ* τοίνυν ὁ προειρημένος ἦν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ ὑγιοῦς, τελευτᾶν δὲ ἐπὶ τὸ ἕλκος, ἐκλύοντα τὴν πίεσιν, ὁ ἐναντίος ἄρξεται μὲν ἀπὸ τῶν

ἑλκωμένων ἢ κατεαγότων, ἀναβήσεται δὲ πρὸς τὴν ὑγιᾶ χώραν, ἐκλύων τὴν πίεσιν. Ὅσοι δὲ ἄνευ τῆς ἀποφάσεως γεγραμμένην τὴν λέξιν ἐξηγοῦνται, φασὶ κελεύειν αὐτὸν, ἐφ' ὧν ἂν ἀποστήσεσθαι προσεσταλμένα βουλώμεθα παρὰ φύσιν ἢ καὶ συμπεφυκότα, τὸν εἰρημένον τρόπον τῆς ἐπιδέσεως ὑπαλλάττειν. ὅτι μὲν οὖν τὰ κακῶς συμφύντα διαστῆσαι βουλόμενοι, καθ' ὀντιναοῦν τρόπον ἀλλήλοις συνεληλυθότα μὴ προσηκόντως, ἐναντίου τρόπου δεόμεθα, πρόδηλόν ἐστι. καὶ μέν τοι καὶ ὅτι κατὰ πολλὰ τῶν μεγάλων τραυμάτων ἐφ' ὧν τὸ βάθος ἀκόλλητον ἔμεινε, τοῦ δέρματος κολληθέντος, ἢ συνῆλθεν ἀλλήλοις ἐνδιπλούμενα τὰ χείλη,' ἢ κατὰ κατάγματα, ἐφ' ὧν ἐκλίθη πρὸς τὸ βάθος τὰ πέρατα τοῦ κατεαγάτος, ἀνάλογον τοῖς ἐπὶ τοῦ δέρματος χείλεσιν', ἀποστῆναι δεῖται τὰ συνεληλυθότα, καὶ τοῦτο πρόδηλον παντί. καὶ μέν τοι καὶ ὅτι κατ' ἐκεῖνα τῶν ὀστῶν συμβαίνει τὸ εἰρημένον, ὅσα κοιλότητας ἐντὸς ἑαυτῶν ἢ σήραγγας ἀξιολόγους ἔχει, γιγνώσκομεν. αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ χρήσιμα ταῦτα, ὡς δὲ κακῶς εἰρημένα νῦν μέμψαιτ' ἄν τις. τῇ γὰρ προκειμένῃ λέξει συμφωνίαν οὐδεμίαν ἔχει. γέγραπται γὰρ ἐν αὐτῇ *'ὧν δὲ ἂν ἀποστῇ, τὰ ἐναντία*. οὐ ταὐτὸν δέ σημαίνεται πρὸς τῆς 'ὧν δ' ἂν ἀποστῇ. καὶ πρὸς τῆς 'ὧν δὲ ἀποστῆσαι θέλεις. λέξεως. ἐχρῆν οὖν αὐτοὺς, ὥσπερ οἱ πρότεροι τὴν ἀπόφασιν προτιθέντες τοῦ *ἀποστῇ* τὴν λέξιν ὁμολογοῦσαν εἰργάσαντο τῇ σφετέρᾳ δόξῃ, οὕτως μεταγράψαντας αὐτὴν ἐξηγήσασθαι ὡς βούλονται. γεγραμμένης δ' ὡς νῦν γέγραπται, τὴν ἐξήγησιν ἀλλοτρίαν ἐποιήσαντο. οὐδαμῇ τοίνυν ἐν τῇ προκειμένῃ λέξει σε περὶ ὧν ἀποστήσεσθαι βουλόμεθα διδάσκει, 'ἐρεῖ γὰρ περὶ τούτων ἐφεξῆς', ἀλλὰ περὶ

τῶν ἀφισταμένων μὲν, οὐδέπω δὲ ἀφεστώτων τελέως, ἢ καὶ τελέως μὲν ἀφεστώτων, οὐ μὴν εἰς κόλπον γε μεθεστώτων ἤδη. δεῖται γὰρ ταῦτα πρώτης μὲν τῆς ἀνωδύνου καὶ πεπτούσης τὸ διαπυίσκον ἀγωγῆς· ἐπειδὰν δὲ ἐκπυήσῃ, στομώσεως εἰς ἔκκρισιν· εἶτ' ἐφεξῆς, εἴ τι φλεγμονῆς ἐν τοῖς περιέχουσι τὸ ἐκκριθὲν ὑγρὸν ὑπολείπεται, τοῦτο ἐξιάσασθαι δεῖ, καὶ μετὰ ταῦθ', ὡς ἔφην, ἀναξηρᾶναί τε καὶ σαρκῶσαι, κἄπειτα οὕτως κολλῆσαι, καταλειφθέντος αὐτοῦ μόνου τοῦ κόλπου, μηδενὸς ἐζευγμένου παθήματος αὐτῷ, μήτ' οὖν φλεγμονῆς μήτε ῥύπου μήτε ὑγρότητος περιττῆς μήτ' ἐνδείας σαρκῶν. οὐδὲν οὖν θαυμαστὸν, εἰ τἀναντία συμβουλεύει πράττειν ἐπὶ τῶν ἀφισταμένων. ὅστις γὰρ ὡμίλησε μὴ κατὰ τὸ πάρεργον τοῖς ἔργοις τῆς τέχνης, οἶδεν ἐπὶ τῶν πεφθῆναι ἔτι δεομένων ἀποστάσεων τὸ τοῦ ἐκκρίνεσθαί :ι τοῦ διαπυίσκοντος χυμοῦ ἀσύμφορον· ἄμεινόν τε γὰρ καὶ θᾶττον ἔνδον αὐτῷ μένοντι συμμεταβάλλει τὸ λοιπὸν, οὐδ' ὅλως ἐπιδέσεως χρῇζον, ὅσον ἐπὶ τῷ πάθει· παραλαμβάνεται γὰρ ἐπ' αὐτῶν ἐπίδεσις, οὐχ ὡς αὐτὴ δυναμένη θεραπεύειν, ἀλλ' ὡς τοῖς θεραπεύειν δυναμένοις ὑπηρετοῦσα. διαφέρει τοίνυν ἡ τῶν ἀφεστώτων θεραπεία τῆς τῶν κόλπων ὅλῳ τῷ γένει· τούτων μὲν γὰρ μηδὲν ὑγρὸν ἐκρεῖν ἄχρι περ ἂν πέττηται συμφέρει, τῶν κόλπων δὲ ἐκρεῖν ἅπαν, ὡς μηδὲν ἔνδον ὑπολείπεσθαι· καὶ τούτων μὲν μηδὲν ὅλως εἶναι στόμιον, ἐπὶ δὲ τῶν κόλπων εἶναί τε καὶ ἀνεῷχθαι· καὶ δὲ τῷ ταῦτα μὲν, τὰ ἀφιστάμενα, διὰ καταπλασμάτων ὑγραινόντων τε καὶ θερμαινόντων πέττεσθαι, τοὺς κόλπους δὲ διὰ ἰσχυρῶς ξηραινόντων καὶ καθαιρόντων καθαροὺς καὶ ξηροὺς γίγνεσθαι· ἔτι δὲ τῷ τοὺς μὲν κόλπους τὴν εἰρημένην ἐπίδεσιν ἰᾶσθαι, τὰ δὲ ἀφι-

στάμενα μὴ, ἀλλ' ὡς τοῖς ἰωμένοις ὑπηρετοῦσαν ἐπ' αὐτῶν τὴν ἐπίδεσιν παραλαμβάνομεν. Ἀσκληπιάδης δὲ ἐπὶ τῆς ἐπιδέσεως ἀκούων τοῦ *ὧν δὲ ἂν ἀποστῇ, τὰ ἐναντία*, τὴν ὅλην διάνοιαν εἶναι βούλεται τοιάνδε· ἐπιδεῖν ἐν σχήματι ἐν ᾧ μήτε ἀπόσφιγξις μήτε ἀπόστασις ἔσται· τοιοῦτο δ' ἐστὶν ἀεὶ τὸ κατὰ φύσιν· ἐφ' ὧν δὲ ἂν ἡ ἐπίδεσις ἀποστῇ, ἐπὶ τούτων τἀναντία πρᾶττε, τουτέστιν ἐν τῷ ἐναντίῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ. καὶ γὰρ γράφει κατὰ λέξιν οὕτως· 'ἐν ᾧ ἂν σχήματι τοῦ μέρους ἐπιδεθέντος ὁ ἐπίδεσμος ἀποστῇ, ἐν τῷ ἐναντίῳ τούτῳ σχήματι τὴν ἐπίδεσιν ποιοῦ· οἷον ἐκτεταμένου τοῦ ἀγκῶνος ἐπειδὰν ὁ βραχίων ἐπιδεθῇ, ὁ ἐπίδεσμος οὐ μένει, ἀλλ' ἀφίσταται· τοὐναντίον οὖν σχῆμα τῇ ἐκτάσει κατασκευάσας, τουτέστι κάμψας τὸν ἀγκῶνα, ἐπίδει. ἔμπαλιν δὲ, ἐπεὶ κατὰ φύσιν σχῆμα τοῖς σκέλεσίν ἐστι τὸ ἐκτεταμένον, ἐὰν κεκαμμένων τῶν σκελῶν ἐπιδήσας ἐκτεῖναι κελεύσῃς, μεταβάντων τῶν μυῶν εἰς ἄλλους τόπους, ὁ ἐπίδεσμος ἀποστήσεται ἀπ' ἐκείνων, ἀφ' ὧν οἱ μῦες ἀπεχώρησαν· τὸ ἐναντίον οὖν σχῆμα τοῦ κεκαμμένου ποιήσας, τουτέστιν ἐκτείνας τὰ σκέλη, ἐπίδει ἐν ᾧπερ καὶ κεῖσθαι μέλλει σχήματι. καὶ ταῦτα μέν σοι τὰ τοῦ Ἀσκληπιάδου· ἐμοὶ δὲ καιρὸς ἤδη μεταβαίνειν ἐφ' ἑτέραν ῥῆσιν.

Λ'.

Ὧν δ' ἂν ἐκπεπταμένα ξυστεῖλαι, τὰ μὲν ἄλλα τὰ αὐτὰ, ἐκ πολλοῦ δέ τινος δεῖ τὴν ξυναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν ποιέεσθαι, τὸ πρῶτον ἥκιστα, ἔπειτα ἐπὶ μᾶλλον, ὅριον τοῦ μάλιστα τὸ ξυμψαύειν.

Ἀναμνησθῶμεν ὧν εἶπεν κεφαλαίων ἐπιδέσεως γίγνεσθαι,

κατὰ τὴν λέξιν ἧς ἀρχὴ *'ὑπόθεσις μὲν αἰτίη, ὥστε ἢ ἀφεστεῶτα προστεῖλαι.* 'καὶ τῶν ἄχρι δεῦρο λελεγμένων αὐτῷ μνημονεύσωμεν· οὕτως γὰρ ὑπακουσόμεθα καὶ τὸ λείπειν ἐν τῇ προκειμένῃ ῥήσει δοκοῦν 'ὡς γίγνεσθαι προστεθέντος αὐτοῦ τὴν λέξιν τοιάνδε· ὧν δὲ ἂν ἐκπεπταμένα συστεῖλαι δέῃ, τὰ μὲν ἄλλα ἃ πράξομεν ταὐτά ἐστιν, ἐκ πολλοῦ δὲ τὴν προσαγωγὴν ποιησόμεθα καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς εἶπεν. ἐκπεπταμένα δὲ ἀκουστέον ὑπ' αὐτοῦ λέγεσθαι τὰ μετὰ τοῦ διεστάναι πλέον ἢ προσῆκεν ἀλλήλων ἐκτετραμμένα τῆς σαρκὸς καθ' ἑκάτερον χεῖλος, 'ὡς ἐπὶ τραυμάτων ὁρᾶται γιγνόμενον ἐνίοτε, φλεγμηνάντων ἰσχυρῶς. ὅταν γὰρ ἡ διαίρεσις τῆς σαρκὸς ἄχρι πολλοῦ γένηται βάθους, ἐγκαρσίου τοῦ μυὸς τμηθέντος, εἶθ' ἡ μὲν κόλλησις καὶ σύμφυσις μὴ τευχθῇ, φλεγμονὴ δὲ ἐπιγένηται μεγάλη, δι' ἣν τὸ δέρμα τεινόμενον ἑκατέρωσε τὸ συνεχὲς αὐτῷ χεῖλος ἐπισπάσηται, κατ' ἀμφότερα τὰ μέρη τὸ ἐκπεπταμένον γίγνεται. τοιαύτην δὲ ἰδέαν ἴσχει καὶ χείλη φλεγμήναντα καὶ βλέφαρα καὶ πόσθη. καὶ μέν τοι καὶ πιεσάντων τινῶν τὸ τῆς κεφαλῆς δέρμα τῇ πρὸς ἀνάτρησιν ἐπιδέσει, ὑπὸ ταύτης γενομένη φλεγμονὴ τὴν τῶν ἐκπεπταμένων ἰδέαν εἰργάσατο. καὶ μάλιστά γε τοῦτο συμβαίνει πολλάκις, εἰ πιέσαντες τὸ δέρμα τὴν ἐν τῷ μέσῳ τῶν χειλῶν χώραν μοτοῖς πληροῖμεν· τοῦτο δὲ κἀπὶ τῆς ἐγκαρσίας τομῆς τῶν μυῶν, ἄχρι βάθους γενομένης, ἐνίοτε πράττομεν ἢ δι' αἱμοῤῥαγίαν, ἐντιθέντες ὀθόνας τιλτάς, ἃς ὀνομάζουσι μοτούς, ἢ διὰ τὸ δεδιέναι συμφῦναι μὲν τὸ δέρμα, τὰ δὲ ἐσπασμένα μόρια τοῦ μυὸς ἑκατέρωσε μὴ κολληθῆναι. τὰ τοιαῦτα οὖν πάθη πάντα δεῖται μὲν καὶ τῆς ἄλλης θεραπείας, τῆς ἰωμένης 'τὴν φλεγμονήν, 'ἀλ-

λ' οὐ πρόκειται νῦν ἁπάντων τῶν παθῶν ἁπάσας γράφειν τὰς θεραπείας, ἀλλὰ τὰς χειρουργίας ἰδίως ὀνομαζομένας. ἥδε τοίνυν, ἡ τῶν ἐκπεπταμένων ἐπίδεσις, τὰ μὲν ἄλλα ἔχει τὰ αὐτὰ τῇ τῶν ἀφεστώτων· ἄρχεται γὰρ ἐκ τῶν ὑγιῶν καὶ κατ' ὀλίγον ἥκει πρὸς τὸ τὴν ἕλκωσιν ἔχον μέρος, διαφέρει δὲ τῷ πόῤῥωθεν ἄρχεσθαι μᾶλλόν τῆς τῶν ἀφεστώτων, ἐπιτείνειν τε τὴν πίεσιν ἄχρι τῶν ἐκπεπταμένων μορίων. ἐπὶ γοῦν τῶν κόλπων τὴν ἐπίδεσιν ἐκ τοῦ πυθμένος αὐτῶν ἦρχθαι δεῖ, τὴν δὲ τῶν ἐκπεπταμένων ἐκ τῆς οἷον ῥίζης αὐτῶν ἄρχεσθαι προσῆκεν, ὡς πόῤῥωθεν ἐκ τῶν ὑγιῶν ἐπάγειν τὸ δέρμα κατὰ βραχὺ πρὸς τὴν ἕλκωσιν· διὸ οὐ χαλῶντα δεῖ τὴν ἐπίδεσιν ἐπὶ τῶν ἑλκῶν, ἀλλ' ἐπιτείνοντα κατὰ βραχὺ τὴν πρώτην αὐτῶν περιέλιξιν ἐκ περιτροπῆς, τοῦ δέρματος τὴν πίεσιν ποιεῖσθαι. '*μετὰ ταῦτα δὲ ἐπὶ μᾶλλον*. 'ἔνιοι μὲν ἐπὶ μιᾶς ἐνεργείας ἤκουσαν, ἔνιοι δὲ ἐπὶ πλειόνων. ἐπὶ μιᾶς μὲν οὖν εἰ ἀκούοιμεν, πρὸς τοῦ '*πρῶτον*, ὀνόματος ἡ τῆς ἐπιδέσεως ἀρχὴ δηλωθήσεται· ἐὰν δὲ ἐπὶ πλειόνων, τὴν πρώτην ἐπίδεσιν ὅλην δηλώσει τὸ '*πρῶτον*, ὄνομα. ἀληθὲς δέ ἐστιν ἑκάτερον, ἄλλοτε ἐπ' ἄλλης διαθέσεως τῶν ἐπιδέσεων οὐκ εἴδει διαφερουσῶν, ἀλλὰ μεγέθει. τὴν μὲν γὰρ ἐπιεικεστέραν ἐκτροπὴν καὶ διὰ μιᾶς ἐπιδέσεως εἰς τὸ κατὰ φύσιν ἄγειν πειρώμεθα, τὴν μείζονα δὲ οὐ βιαζόμεθα κατὰ τὴν πρώτην ἐπίδεσιν· ἐπικρατεῖν γὰρ ἐν τῷ τότε καιρῷ χρὴ τὴν τῆς φλεγμονῆς θεραπείαν, οὐ τὴν τῶν ἐκπεπταμένων ἐπανόρθωσιν. Ἐπὶ δὲ τῷ τέλει τοῦ λόγου διὰ τοῦτο προσέθηκεν '*ὅριον τοῦ μάλιστα τὸ ξυμψαύειν*., ἐπειδὴ δύναταί τις ἐπὶ πλέον ἀλλήλοις τὰ διεστῶτα συνάγειν, ἢ ὥστε ψαῦσαι μόνον· ἀλλὰ τὰ οὕτω συναχθέντα θλᾶ-

ται ἀν' ἄλληλα καὶ ὀδύνην ἐργάζεται, ἅτε τῆς φλεγμονῆς αὐτῶν αὐξηθείσης. χρὴ τοίνυν ἄχρι τοῦ ψαῦσαι συνάγειν ἀλλήλοις τὰ ἐκπεπταμένα, μὴ προσωτέρω δὲ τοῦδε. γέγραπται δὲ διχῶς ἡ λέξις ἥδε· κατὰ τινὰ μὲν τῶν ἀντιγράφων 'ὅριον τοῦ *μάλιστα*,' καὶ ταύτην γε ὁ Ἀσκληπιάδης οἶδε γραφήν, ἐν ἄλλοις δὲ οὕτως· 'ὅριον τοῦ *μᾶλλον* τὸ ξυμψαύειν'. ἀλλ' ἔστιν, ὥσπερ ἀμείνων, οὕτω καὶ παλαιοτέρα ἡ διὰ τοῦ '*μάλιστα*' γραφή.

ΛΑ'.

Ὧν δὲ ξυνεσταλμένα διαστεῖλαι, ξὺν μὲν φλεγμονῇ τἀναντία· ἄνευ δὲ ταύτης, παρασκευῇ μὲν τῇ αὐτῇ, ἐπιδέσει δὲ ἐναντίῃ.

Τὰ συνεσταλμένα τοῖς ἐκπεπταμένοις ἐναντίως διάκειται· τῶν μὲν γὰρ ἐκπεπταμένων τὰ χείλη πλεῖστον ἀλλήλων κεχώρισται πρὸς τοὺς ἐναντίους τόπους, ὥστε, εἰ τὸ ἕτερον ἐπὶ τὸ δεξιὸν ἀποκεχωρηκὸς εἴη, τὸ λοιπὸν ἐπὶ τὴν ἐν τοῖς ἀριστεροῖς χώραν μεθίσταται. τούτοις δ' ἔμπαλιν τὰ συνεσταλμένα προσελήλυθεν ἀλλήλοις οὕτως, ὡς ἤτοι τὸ ἕτερον ἐπικεῖσθαι θατέρῳ, ἢ οἷον ἐνδεδιπλῶσθαί πως ἑκάτερον ἢ πεπτύχθαι. καὶ συμβαίνει ἐνίοτε διὰ τὴν φλεγμονὴν καὶ τοῦτο γίγνεσθαι, παραπλησίως τῷ ἐναντίῳ παθήματι, καθ' ὃ πλεῖστον ἀλλήλων ἀπῆκται πρὸς τὰ ἐναντία τὰ τῶν ἐκπεπταμένων σωμάτων μόρια. θαυμαστὸν δὲ οὐδὲν, ἓν πάθος, τὴν φλεγμονὴν, ἐναντιωτάτων εἶναι συμπτωμάτων γεννητικόν. οὐ γὰρ ἐν τοῖς μεγάλως φλεγμαίνουσι τό τε ἐκπεπταμένον καὶ τὸ συνεσταλμένον τῶν μορίων ἀμφότερα γίγνεσθαι πέφυκεν; ἐπὶ γοῦν ὀφθαλμῶν ἐναργῶς ὁρᾶται, τοῦ

μὲν περὶ τοῖς βλεφάροις ἔξωθεν δέρματος μεγάλως φλεγμήναντος καὶ μέχρι πλείονος, ὡς ἐπιλαμβάνειν τι καὶ τοῦ πλησιάζοντος χωρίου, ὑπὸ τῆς φλεγμονῆς ἐκτρέπεσθαι τὸ βλέφαρον· ὅταν δὲ μετρίως μὲν τὸ δέρμα φλεγμήνῃ, μεγάλως δὲ ὁ ἔνδον ὑμὴν ὁ μέχρι τῆς ἴρεως ἐκτεταμένος, ἐγκλίνεσθαι τότε συμβαίνει τὸ βλέφαρον εἴσω· κἀπειδὰν ἀμφοτέροις αὐτοῖς τοῦτο συμβεβήκῃ, φίμωσις ὀνομάζεται τὸ πάθος, οὐ δυναμένου διοῖξαι τοῦ κάμνοντος οὕτω τὸν ὀφθαλμόν. ὁ δ' αὐτὸς τρόπος τοῦ παθήματος ἐνίοτε καὶ περὶ τὰ χείλη γίγνεται καὶ τὴν πόσθην καὶ τὴν ἕδραν· καὶ ἥ γε αἰτία καὶ τούτων ἡ αὐτή. συμβαίνει δὲ τὰ αὐτὰ παθήματα καὶ περὶ τὰ τῶν γυναικῶν αἰδοῖα. ἀνάλογον δὲ τούτοις συμβαίνει γίγνεσθαι καὶ περὶ τὰ τραύματα καὶ πάντα τὰ ὁπωσοῦν ἡλκωμένα. καὶ ἥ γε αἰτία καὶ τούτων ἡ αὐτή· τῶν μὲν γὰρ ἔξωθεν μερῶν φλεγμηνάντων σφοδρῶς, ἐκτρέπεται τὰ χείλη τῶν ἑλκῶν καταπίπτοντα πρὸς τὴν ἔσω χώραν· ἄτροφα δὲ εἶναι καὶ λεπτὰ τηνικαῦτα ἀναγκαῖόν ἐστιν αὐτὰ τὰ χείλη καὶ πλαδαρά· πῶς γὰρ ἂν ἄλλως, εἰ μὴ τοῦτο αὐτοῖς ὑπάρχοι, πρὸς τὴν ἔσω χώραν ἑτοίμως καταφέροιτο; ἡ δ' αὖ τῶν ἔνδον μερῶν ἔνδεια καὶ δι' ἀτροφίαν φθινώδη καὶ διὰ χειρουργίαν ἀμέτρως ἐκκόψασαν τὴν ὑποκειμένην σάρκα καὶ διὰ σηπεδόνα διαφθείρασαν αὐτὴν συμβαίνει. τὰς μὲν οὖν τοιαύτας διαθέσεις ἐπίδεσις ὠφελεῖ προσηκόντως γιγνομένη· τὰς δὲ διὰ φλεγμονήν, κατὰ μὲν τὸν ταύτης λόγον, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ βλάπτει βαρύνουσα, ὅτι δὲ τοῖς ἰωμένοις τὴν φλεγμονὴν φαρμάκοις ὑπηρετεῖ, διὰ τοῦτο ἀναγκαία γίγνεται. κατὰ τοῦτο οὖν ὁ Ἱπποκράτης εἶπε τὰ συνεσταλμένα μόρια σὺν μὲν φλεγμονῇ τἀναντία

πραττόντων ἡμῶν ὀνίνασθαι,· ὅπερ ἐστὶ φευγόντων ἐπίδεσιν, ὅτι μὴ διὰ μεγάλην ἀνάγκην ἕνεκα τοῦ κατασχεῖν τινα τῶν ἐπικειμένων τοῖς φλεγμαίνουσι μορίοις· ὥστε ἐφ' ὧν μὲν ἐλπίζομεν ἐπιμεῖναι ταῦτα δύνασθαι χωρὶς ἐπιδέσεως, οὐδ'ὅλως ἐπιδέομεν,· ἐφ' ὧν δὲ τοῦ κρατῆσαι τι τῶν ἐπικειμένων προσλαμβάνομεν ἐπίδεσμον, ἐκ λεπτοτάτων τε καὶ κουφοτάτων ὀθονίων αὐτὸν ποιούμεθα, καθόσον οἷόν τε περιβολαῖς ἐλαχίσταις ἢ καὶ μόνῃ μιᾷ. τοῦτο δὲ τοὺς πολλοὺς ἰατροὺς λέληθεν, ἐπιτιθέντας ἔξωθεν ἐπὶ τοῖς φλεγμαίνουσι καταπλάσματά τε παχέα καὶ ῥάκη σκληρὰ καὶ βαρέα καὶ ἔρια πολλὰ καὶ πλῆθος ἐπιδέσμων,· ἅτινα πάντα κατὰ τὸν αὐτὸν λόγον ἐναντιώτατα ταῖς φλεγμοναῖς ἐστι,μεγάλως ὑπ'αὐτῶν τῶν φλεγμαινόντων βλαπτομένων. ἐὰν μέν τοι χωρὶς φλεγμονῆς τὰ συνεσταλμένα γένηται, τὴν μὲν τῶν ὀθονίων παρασκευὴν τὴν αὐτὴν τῇ ἔμπροσθεν εἶναι κελεύει,τὴν δὲ ἐπίδεσιν ἐναντίαν τῇ τῶν ἐκπεπταμένων. εἴπερ οὖν ἐκείνην ἐποιησάμεθα ἀρχόμενοι πόῤῥωθεν ἀπὸ τῶν ὑγιῶν ἐπάγοντες τε ἐκ περιτροπῆς τοῖς ἐπιδέσμοις αὐτοῖς τὸ δέρμα πρὸς τὰ ἐκπεπταμένα καὶ κατὰ βραχὺ τὴν πίεσιν αὐξάνοντες, κατὰ τὴν τῶν συνεσταλμένων ἀπὸ τοῦ πεπονθότος ἀρχόμενοι περιστρέψομέν τε καὶ ἀπάξομεν ἐπὶ τὴν πέριξ χώραν τὸ δέρμα. προσθεῖναι δὲ χρὴ ἐνταῦθα τὸ παραλελειμμένον ὑφ' Ἱπποκράτους· οὐ γὰρ προὔκειτο αὐτῷ πᾶσαν τῶν παθῶν ὧν μνημονεύει θεραπείαν γράφειν, ἀλλὰ μόνην τὴν χειρουργίαν. ἐγὼ δὲ, ἵνα τέλειος ὁ λόγος ᾖ, προσθήσω τὸ λεῖπον· ὅταν τι τῶν ὡς εἴρηται συνεσταλμένων ἐκτρέπομεν, ἀναπληρῶσαι χρὴ τὴν ὑποκειμένην χώραν, εἰς ἣν καταπέπτωκε τὰ χείλη, μοτοῖς ἢ φαρμάκῳ τῷ προσήκοντι, μέχρις ἂν ἰσόπεδα γένηται τῷ πέριξ δέρματι τὰ συνεσταλμένα σώματα, κἄπειτα οὕτω τὴν εἰρημένην ἐπίδεσιν ποιεῖσθαι.

ΛΒ'.

Ὑπόμνημα Γ'.

Α'.

Διεστραμμένα δὲ διορθῶσαι, τὰ μὲν ἅμα κατὰ τὰ αὐτά· δεῖ δὲ τὰ μὲν ἀπεληλυθότα ἐπαγαγεῖν ὑποδέσει, παρακολλήσι, ἀναλήψι· τὰ δὲ ἐναντία, ἐναντίως.

Διαστροφαὶ γίγνονται ποτὲ μὲν ἀποχωροῦντός τινος ἐκ τῆς ἰδίας ἕδρας ἐπὶ τὰ ἐκτὸς τοῦ σώματος, ποτὲ δὲ εἰσελθόντος εὐρυχωρίᾳ τινὶ τῶν ἔνδον τοῦ σώματος· οἷον ἐπὶ τῆς ῥινὸς, ἐὰν μὲν εἰς τὴν ἐκτὸς χώραν ἤτοι τῶν ὀστῶν αὐτῆς ἢ καὶ τῶν πτερυγίων ἀποχωρῇ τι, διαστροφὴ γίγνεται πρὸς τοὐκτὸς, ἐὰν δὲ εἰς τὸν ἔνδον πόρον ἀφίκηται, διαστρέφεται πρὸς τοῦτον ἡ ῥίς. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων μορίων διαστροφαὶ γίγνονται. δῆλον δὲ ὅτι κἀπὶ τούτων ὁ κοινὸς ἅπασι σκοπὸς τῆς θεραπείας ἐνδείξεται τὰ βοηθήματα· κοινὸς δὲ πᾶσιν ἦν σκοπὸς τὸ *'τἀναντία τῶν ἐναντίων ἰάματα*' ὥστε καὶ νῦν τὰ μὲν ἀπεληλυθότα προσακτέον ἐστὶ καὶ δι' ἄλλων μέν τινων βοηθημάτων, ὑπὲρ ὧν νῦν οὐ πρόκειται λέγειν, ἀτὰρ οὖν καὶ δι' ἐπιδέσμων. αὐτὸς δὲ εἶπεν ἐν τοῖς ἑξῆς ἐπιδέσεων τρόπους εἰς ταῦτα χρησίμους ὑπόδεσιν μὲν, ὡς καὶ πρόσθεν αὐτὸς ἔγραψεν, ἐπὶ τῶν ἀφεστώτων καὶ ἐκπεπταμένων καὶ συνεληλυθότων, ἀνακόλλησιν δὲ, ὡς ἐν τῷ *Περὶ ἄρθρων*, ἐπὶ ῥινὸς καὶ γένυος, ἀνάληψιν δὲ, ὡς ἐν τῷ περὶ καταγμάτων, ἔνθα φησίν· *'ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τὴν χεῖρα ἔχῃ ἀναλελαμμένην; τυγχάνῃ δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος· ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως, ἄκρην τε τὴν χεῖρα ἐν τῇ ται-*

Ι ΠΟΚΡΑΤΗΣ.

Κωμῳδή

TH. REINHOLD.

Ο.

ιον.



ΑΘΗΝΗΣΙ,

ΓΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.

βλίῳ γέγραπται λόγος ὁ περὶ τῶν φυσικῶν κριτηρίων, οἷς χρώμεθα πάντες ἄνθρωποι κατά τε τὰς τέχνας ἁπάσας διηνεκῶς καὶ σύμπαντα τὸν βίον. χρήζομεν γὰρ οὐ πρὸς τὰ προκείμενα νῦν μόνον ὅσα κατὰ χειρουργίαν, ἀλλὰ καὶ πρὸς πάσας τὰς ἐν ἰατρικῇ διαγνώσεις τῶν παθῶν, ἃς δὴ καὶ σημειώσεις ὀνομάζουσιν οἱ νεώτεροι, τῶν διαγνωστικῶν κριτηρίων. Δεύτερος ἐπὶ τῷδε λόγος ἐν τῷ προκειμένῳ βιβλίῳ γέγραπται ὁ περὶ τῶν κατὰ τὴν ἐν ἰατρικῇ χειρουργίαν, διδάσκων ἐκ τίνων συμπληροῦται. ἐφ' ᾧ τρίτος ὁ περὶ ἐπιδέσεως· ὁποίαν δὲ χρὴ γίγνεσθαι τὴν ἐπίδεσιν, τὴν ἔνδειξιν ἡμῶν λαμβανόντων ἀπό τε τῆς τοῦ πεπονθότος μορίου φύσεως καὶ ἀπ' αὐτοῦ τοῦ πάθους, ἐν τῷ νῦν ἡμῖν εἰρημένῳ λόγῳ ἐπὶ παραδειγμάτων ποιεῖται τὴν διδασκαλίαν ὑποπεπτωκότων πάθει γενικῷ τῇ λύσει τῆς συνεχείας· οὕτως γὰρ ἐγὼ προσαγορεύειν εἴωθα τοῦτο τὸ γένος· ὁ δὲ Ἱπποκράτης ἀφεστῶτα καλεῖ τὰ σώματα τὰ οὕτω πεπονθότα, ὥστε καὶ τὸ πάθος αὐτῶν ἀπόστασις εἰκότως ὀνομασθήσεται, καὶ γενήσεται ἕν τι εἶδος τοῦ γένους τούτου τὸ πάθος ὃ καλοῦσιν ἰδίως ἀπόστασίν τε καὶ ἀπόστημα. Ταῦτα μὲν οὖν αὐτὰ τὰ νῦν εἰρημένα χάριν ἀναμνήσεως ὧν ἔμπροσθεν ἐξηγησάμην εἴρηταί μοι· καιρὸς δὲ ἤδη τῶν ἐφεξῆς ἄρξασθαι.

ΟΒΕΛΙΣΜΟΣ.

στ'.—;—· . . . *ἐσκίμφθαι* (—*ἐσκηρίφθαι*—)
κα': . . . τεκμάρσι . . .
κη': . . . *ὁμαλῶς* 1). . . —;—
1). Ἐρωτ., 266.

Ἐν Μουνυχίᾳ, μεσ. μ. Ἀνθεστηριῶνος πρώτῃ ἔτους 1866.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

10.

Κατ' ἰητρεῖον.

Γ'.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.

Τὸ Ἱπποκράτους Κατ᾿ ἰητρεῖον βιβλίον καὶ Γαληνοῦ εἰς αὐτὸ Ὑπόμνημα Γ.

Α΄. =Β΄, λϐ΄.

Β΄.

12. *Κατήγμασι δὲ, σπληνῶν μήκεα, πλάτεα, πάχεα, πλήθεα· μῆκος, ὅση ἡ ἐπίδεσις· πλάτος, τριῶν ἢ τεσσάρων δακτύλων· πάχος, τριπτύχους ἢ τετραπτύχους· πλῆθος, κυκλεῦντας μὴ ὑπερβάλλειν μηδὲ ἐλλείπειν.*

Ἐν τῷ περὶ τῶν καταγμάτων λόγῳ, τῷ νῦν αὐτῷ προκειμένῳ, πρώτων μέμνηται τῶν προστιθεμένων σπληνῶν καλουμένων, κελεύων αὐτοὺς εἶναι τῷ μήκει μὲν ἴσους τῇ ἐπιδέσει· καὶ γὰρ παραλαμβάνονται δι᾿ ἐκείνην ἕνεκα τοῦ στηρίζειν καὶ κατέχειν αὐτὴν ἀκίνητον, τῷ δὲ πλάτει τριῶν ἢ τεττάρων δακτύλων, τῶν αὐτοῦ τοῦ ἐπιδουμένου δηλονότι· τῷ πάχει δὲ ἢ τριπτύχους ἢ τετραπτύχους, ἔνθα μὲν ἀσφαλεστέρας φρουρᾶς ἡ ἐπίδεσις δεῖται, τετραπτύχους, ἔνθα δὲ οὐ τοιαύτης, ἀρκεῖν ἡγούμενος τοὺς τριπτύχους. εὔδηλον δ᾿ ὅτι τὰ συντετριμμένα μᾶλλον ὀστᾶ πλέονος ἀσφαλείας δεῖται. τὸ δὲ πλῆθος τῶν σπληνῶν τοσοῦτον, φησὶν, εἶναι χρὴ, ὡς ἐν κύκλῳ περιληφθῆναι τὸ ἐπιδούμενον κῶλον· οὐ γὰρ δὴ τοῖς τῆς κλειδὸς ἢ πλευρᾶς κατάγμασι περιβάλ-

λειν αὐτοὺς ἐν κύκλῳ δυνατόν, ἀλλ' ἐπ' ἐκείνων τὸ μέγεθος τοῦ κατάγματος ἐνδείξεταί σοι τὸν ἀριθμὸν τῶν σπληνῶν· ἐπὶ γοῦν τῆς κλειδὸς εἰώθαμεν ὡς ἐπὶ τὸ πολὺ χρῆσθαι τρισὶ τετραπτύχοις σπλήνεσι, τοὺς δύο μὲν τοὺς πρώτους εἰς ὁμοιότητα τοῦ Ξ γράμματος ἐπιβάλλοντες, ὡς κατ' αὐτοῦ τοῦ συντετριμμένου τὸ μέσον ἑκατέρου, καθ' ὃ συμβάλλουσιν ἀλλήλοις, ἐπικεῖσθαι, τρίτον δὲ αὐτοῖς καὶ ἔξωθεν ἐπιτιθέντες κατὰ τὸ τοῦ σώματος μῆκος ἐντεταμένον αὐτούς τε τοὺς ὑποκειμένους σφίγγον καὶ τὸ κατεαγὸς μέρος τῆς κλειδὸς πιλοῦν.

Γ'.

οἷσι δὲ ἐς διόρθωσιν, μῆκος, κυκλεῦντας, πλάτος καὶ πάχος, τῇ ἐνδείῃ τεκμαίρεσθαι, μὴ ἀθρόα πληρεῦντας.

Θαυμάζω πῶς οὐκ εἶπε πρῶτον μὲν τὰς χρείας τῶν σπληνῶν, εἶθ' ὅπως ἄν τις αὐτῶν τύχοι· χρεία μὲν γὰρ αὐτῇ, κράτησίς τε τῶν ὑποδεσμίδων, ἀναπλήρωσίς τε κατὰ τοιαῦτα τῶν μορίων οἷα καλεῖν αὐτὰς εἴωθεν ἀπόξη καὶ ἀπόξυρα· οἷόν πέρ ἐστι πήχεως μὲν τὸ πρὸς καρπῷ, κνήμης δὲ τὸ πρὸς ποδί· περιβάλλειν γὰρ ἐν ταύτοις ἀξιοῖ κυκλοτερῶς τοὺς σπλῆνας ὡς μετὰ τὴν ἐπιβολὴν τῶν ἔξωθεν ἐπιδέσμων ἴσην εἶναι τῷ πάχει τὴν ἐπίδεσιν. οὐσῶν οὖν δυοῖν χρειῶν τῆς ἐπιθέσεως τῶν σπληνῶν, κρατήσεώς τε καὶ ἀναπληρώσεως, ἣν αὐτὸς ὠνόμασε διόρθωσιν, ἀξιοῖ αὐτοὺς εἶναι τῷ μὲν μήκει τηλικούτους, ὡς ἐν κύκλῳ περιλαμβάνειν τὸ ἐπιδούμενον σῶμα, τῷ πάχει δὲ καὶ τῷ πλάτει, ὡς ἀναπληροῦν τὴν ἔνδειαν τῶν μορίων. δῆλον δὲ ὅτι τῷ μήκει τοιούτους εἶναι χρή· ἐὰν μὲν γὰρ μακρότεροι γεγονῶσιν ἢ ὡς κύκλῳ ἁπλῶς περιλα-

ιεῖν τὸ μόριον, ἀναγκαῖόν ἐστι τὸ ἕτερον αὐτῶν πέρας ἐπὶ [θ]ατέρου τεθὲν ὑψηλότερον ἀποφῆναι τὸ μέρος ἐκεῖνο τοῦ κώλου τῶν ἑκατέρωθεν, ὥστε ἀνώμαλον εἶναι τὴν ἐπίδεσιν καὶ διὰ τοῦτο χαλαράν· ἐὰν δὲ, βραχύτεροι γεγονότες ἢ ὥστε [ψ]αύειν ἀλλήλων τὰ πέρατα αὐτῶν, μεταξύ τινα χώραν ἀπολείπωσι κενὴν, ἀνώμαλος πάλιν αὖ ἔσται κατὰ τὸν ἐναντίον τρόπον ἡ ἐπίδεσις· ὡς γὰρ ἐπὶ τῶν μακροτέρων κυρτότητά τινα καὶ ἐξοχὴν, οὕτως ἐπὶ τούτων ἔνδειάν τέ τινα καὶ κοιλότητα λαβεῖν ἀναγκαῖόν ἐστι τὸ χωρίον. Τὴν περιβολὴν δὲ τούτων τῶν σπληνῶν οὐκ εἰς ἅπαξ ἀθρόαν, ἀλλὰ κατὰ βραχὺ κελεύει ποιεῖσθαι. λεπτομερεῖς μὲν γὰρ τῷ πάχει τοὺς ἀνωτέρω τιθεμένους εἶναι δεήσει, παχυτέρους δὲ τοὺς κατωτέρω· ἐὰν γὰρ ἀθρόως ἕνα περιβάλῃς, ἔσται σοι τὸ σχῆμα οἷον ἐξ ἀρχῆς ὑπῆρχε τῷ κώλῳ.

Δ'.

Τῶν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο· ἡ πρώτη ἐκ τοῦ σίνεος ἐς τὸ ἄνω τελευτῶσα, ἡ δὲ δευτέρη, ἡ ἐκ τοῦ σίνεος ἐς τὸ κάτω ἐκ τοῦ κάτω ἐς τὸ ἄνω τελευτῶσα·

Λέλεκταί μοι καὶ πρόσθεν ὑποδεσμίδας ὀνομάζειν αὐτὸν τοὺς πρὸ τῶν σπληνῶν ἐπιδέσμους, ἁπάντων πρώτους περιβαλλομένους τῷ πεπονθότι σώματι. γέγραπται δὲ ἐν τῷ περὶ ἀγμῶν τῆς ἑκατέρου περιθέσεως ἡ χρεία. ὁ μὲν γὰρ πρότερος αὐτῶν οὐ μόνον ἀνείργει τὴν ἐπιῤῥοὴν, ἀλλὰ καὶ τοῦ περιεχομένου κατὰ τὸ πεπονθὸς ἀπωθεῖταί τι πρὸς τὴν ἄνω χώραν· ὁ δὲ δεύτερος ἐκθλίβει τὸ περιττὸν αἷμα τοῦ πεπονθότος μορίου πρὸς τὸ τοῦ κώλου πέρας. κοινὴ δὲ ἀμφοτέρας χρεία, κατέχειν τὸ διαπεπλασμένον ὀστοῦν ἀδιάστροφον.

Ε'.

τὰ κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα, τὰ δὲ ἄλλα κατὰ λόγον.

Καὶ τούτων ὁ λογισμὸς ἐν τῷ Περὶ ἀγμῶν εἴρηται. καθόλου γὰρ ἐπὶ πάσης ἐπιδέσεως, ἔνθα μὲν ἔσφιγκται μᾶλλον ἡ ὑποκειμένη σάρξ, ἐκθλίβεται τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ πρὸς τὰ πέριξ, ἔνθα δὲ ἧττον, ἐνταῦθα δέχεται τὸ μεταῤῥέον ἐκ τῶν μᾶλλον θλιφθέντων.

ΣΤ'.

Ἡ δὲ ἐπίδεσις πουλὺ τοῦ ὑγιέος προσλαμβανέτω.

Καὶ ταύτης τῆς συμβουλῆς ὁ λογισμὸς δῆλος· ἐν γὰρ τῷ πολὺ τοῦ ὑγιοῦς ἐπιλαμβάνειν τὴν ἐπίδεσιν ἥ τε κράτησις ἀσφαλεστέρα τοῦ διαπεπλασμένου γίγνεται καὶ μᾶλλον ἐκθλίβονται τοῦ πεπονθότος οἱ ἰχῶρες εἰς τὰ πλησιάζοντα καὶ ἡ ἄνωθεν ἐπιῤῥοὴ κωλύεται μᾶλλον.

Ζ'.

Ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος· πλῆθος μὲν, μὴ ἡσσᾶσθαι τοῦ σίνεος, μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι, μηδὲ ἄχθος μηδὲ περίῤῥεψιν μηδὲ ἐκθήλυνσιν·

Οἱ μὲν ἄλλοι σχεδὸν ἅπαντες οὐ διωρίσαντο ἐπιδέσμους ὑποδεσμίδων, ὁ δὲ Ἱπποκράτης τοὺς μὲν αὐτῷ τῷ σώματι περιβεβλημένους ἐπιδέσμους ὑποδεσμίδας ὀνομάζει, τοὺς δὲ τοῖς σπλήνεσιν ἔξωθεν ἐπιδουμένους ἐπιδέσμους. τούτων οὖν ἡλίκον εἶναι χρὴ τὸ πλῆθος καὶ τὸ μῆκος καὶ τὸ πλάτος ἐν τῇδε τῇ ῥήσει διέρχεται, πλῆθος μὲν ἀξιῶν εἶναι τοσοῦτον, ὡς κρατεῖν ἀσφαλῶς τὸ διαπεπλασμένον ὀστοῦν. τὸ γὰρ μὴ

ἡσσᾶσθαι τοῦ σίνεος τοῦτ' ἐστὶν, ὡς, ἂν μὴ κρατῶσιν οἱ ἐπίδεσμοι, τοὐναντίον αὐτοῖς συμβήσεται, νικᾶσθαί τε καὶ ἡττᾶσθαι τοῦ σίνεος, τουτέστι τοῦ βεβλαμμένου μέρους. εἰ γὰρ τὸ νικᾶν ὑπάρχει αὐτοῖς ἐν τῷ φυλάττειν ἀκίνητον τὴν διάπλασιν, ἐὰν αὕτη κινηθῇ κατά τι, προσηκόντως ἄν τις αὐτοὺς ἡττᾶσθαι φαίη. Τὸ δὲ '*μηδὲ νάρθηξιν ἐνέρεισιν εἶναι*, τοιόνδε ἔσται· εἰ ὀλιγώτεροι τοῦ δέοντος οἱ ἐπίδεσμοι τύχοιεν ὄντες, ἐνέρεισις τῶν ναρθήκων, ὅπερ ἐστὶ βία καὶ θλίψις, ἔσται, ἐς τὸ σίνος διήκουσα. καὶ μέντοι καὶ τοσούτους εἰ αὐτοὺς ποιήσεις, ὡς βαρύνειν τὸν ἀσθενοῦντα, καὶ οὕτως ἁμαρτήσεις τοῦ συμμέτρου. φυλαττόμενος οὖν ἑκάτερον, τῶν σκοπῶν τοῦ πλήθους στόχασαι τῶν ἐπιδέσμων· οἱ δὲ σκοποὶ δύο εἰσὶ, τὸ μήτε θλίβειν, μήτε βαρύνειν,· ἀλλὰ '*μηδὲ περίῤῥεψιν εἶναι.*, φησὶ, περιττῷ πλήθει τῶν ἐπιδέσμων. ἡ δὲ περίῤῥεψις ἀπὸ τοῦ περιῤῥέπειν ἐπὶ θάτερον μέρος, ἤτοι τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν, ὅλην τὴν ἐπίδεσιν ὀνομάζεται· τοῦτο αὖ τὸ περιῤῥέπειν ἀμετρίᾳ τοῦ πλήθους αὐτῶν γίγνεται. Τὴν δὲ ἐκθήλυνσιν, 'εἴρηται γὰρ αὐτῷ οὕτως', οἱ μέν τινες ἐπὶ τῶν μορίων ἤκουσαν ἐν οἷς τὸ σίνος, ὡς ἀσθενῶν καὶ μαλακῶν ἐσομένων διὰ τὸ πλῆθος τῶν ἐπιβεβλημένων ἔξωθεν ὀθονίων· ἔνιοι δὲ ἐπὶ τῆς ἐπιδέσεως αὐτῆς, ὡς ἀτόνου γιγνομένης· ἐκλύεται γὰρ ἡ τῶν ἐπιτιθεμένων ναρθήκων κράτησις ὑπὸ τοῦ πλήθους τῶν ὑποβεβλημένων ὀθονίων.

Η'.

'*μῆκος δὲ καὶ πλάτος, τριῶν ἢ τεσσάρων ἢ πέντε ἢ ἕξ, πήχεων μὲν, μῆκος, δακτύλων δὲ, πλάτος.*

Τῶν ἰδίων τοῦ ἐπιδουμένου δακτύλων καὶ πήχεων δηλο-

νότι τοσούτων ἀξιοῖ τὴν ἐπίδεσιν εἶναι. ὅρον δ' αὖ τοῦ μήκους καὶ τοῦ πλάτους οὐχ ἕνα μόνον ἐποίησε, διὰ τὸ μηδέτερον τῆς ἐπιδέσεως ἴσον ἐν ἅπασι γίγνεσθαι, μήτ' οὖν τὸ μῆκος μήτε τὸ πλάτος, ἀλλὰ κατὰ τὸ τοῦ κατάγματος μέγεθος ὑπαλλάττεσθαι· διὸ ὁρίζει πλείονα καὶ μήκη καὶ πλάτη τῶν ὀθονίων.

Θ'.

Αἱ παρέρματος περιβολαὶ τοσαῦται ὥστε μὴ πιέζειν·

Τοσαυτάκις ἀξιοῖ τὸ πάρερμα περιβάλλειν τοῖς ἐπιδέσμοις, ὁποσάκις ἂν αὐτῶν ἐκείνων ἕκαστός ἐστι περιβεβλημένος. τὸ δὲ *ὥστε μὴ πιέζειν*, περὶ τοῦ μέτρου τῆς σφίγξεως αὐτοῦ διδάσκει· μέχρι γὰρ τοσούτου ἐσφίγχθαι χρὴ κατὰ τῶν ἐπιδέσμων τὸ πάρερμα, μέχρις ἂν ἐπιμένῃ μὲν ἀσφαλῶς, μηδέπω δὲ πιέζῃ. δεῖ οὖν συνάπτειν ἀλλήλοις τὰ μέρη τῆς ῥήσεως, ὡς εἶναι τὸν λόγον τοιοῦτον· παρέρματος περιβολὰς τοσαύτας ποιητέον ἐστὶν, ὥστε μὴ πιέζειν· ὡς τῶν πάνυ πολλῶν πιεζουσῶν. ἄμεινον δὲ ἴσως ἀντὶ τοῦ *τοσαῦτα* γράψαι *τοιαῦτα*, τὸ τρίτον γράμμα ἀπὸ τῆς ἀρχῆς σ ποιήσαντας ι· τῇ γὰρ ποιότητι μᾶλλον αἱ περιβολαὶ τοῦ παρέρματος ἴσχουσι τὸ σύμμετρον τῆς ἐπιδέσεως,οὐ τῇ ποσότητι.

Ι'.

μαλθακὰ δὲ, μὴ παχέα·

Πάντα ταῦτα δηλονότι κελεύει μαλθακὰ, μὴ παχέα, παραλαμβάνειν, φυλαττόμενον, ὥσπερ ἐπὶ τῶν ὀθονίων ἔμπροσθεν εἴπομεν, οὕτω κἀνταῦθα, τὴν θλίψιν τῶν ὑποκειμένων σωμάτων.

ΙΑ΄.

·ταῦτα πάντα ὡς ἐπὶ μήκεϊ καὶ πλάτεϊ καὶ πάχεϊ τοῦ παθόντος.

Εἴρηται πρόσθεν ἤδη τοῦτο ἐπ' ἄλλης ὕλης πραγμάτων ὁμοίας τῇ νῦν καὶ μεμνῆσθαι χρὴ παρὰ πάντα τὸν λόγον ὡς ὅ,τι ἂν ἤτοι περὶ μήκους ἢ πλάτους ἢ πάχους ἢ ἀριθμοῦ τῶν ὀθονίων λέγηται, ἀναφορὰν ἔχει πρὸς τὸ τοῦ πεπονθότος μορίου μῆκος καὶ πλάτος καὶ πάχος.

ΙΒ΄.

Νάρθηκες δὲ λεῖοι, ὁμαλοὶ, σιμοὶ κατ' ἄκρα, σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσιος, παχύτατοι δὲ ᾗ ἐξήριπε τὸ κάτηγμα.

Οἱ νάρθηκες, ὡς οἱ σπλῆνες, ἐρείσματα καὶ στηρίγματα τῆς ἐπιδέσεώς εἰσιν, ἀλλ' οἱ μὲν σπλῆνες τῶν ὑποδεσμίδων, οἱ δὲ νάρθηκες ἁπάντων τῶν ἔνδον· ὡς εἶναι τέτταρα τὰ σύμπαντα, χρείαν ἰδίαν ἕκαστον παρέχοντα· ἔνδον μὲν γὰρ ὑποδεσμίδας πρῶτον, τό τε διαπεπλασμένον ὀστοῦν κρατούσας καὶ κωλυούσας φλεγμῆναι τὸ πεπονθός· ἐπ' αὐταῖς δὲ τοὺς σπλῆνας· ἐπὶ τούτοις δὲ, πρὸς τὸ μὴ περιῤῥέπειν αὐτοὺς, τοὺς ἐπιδέσμους· εἶτα πρὸς τὸ στηρίζειν πάντα τὰ ὑποκείμενα, τοὺς νάρθηκας,· οὕστινας Ἱπποκράτης ἀξιοῖ λείους τε εἶναι καὶ ὁμαλούς. ἀντίκειται δὲ τῷ μὲν λείῳ τὸ τραχὺ, τῷ δὲ ὁμαλῷ τὸ ἀνώμαλον. τὸ μὲν οὖν τραχὺ πάντως ἐστὶ καὶ ἀνώμαλον, οὐ μὴν τό γε ἀνώμαλον ἐξ ἀνάγκης τραχύ· καθάπερ οὐδὲ ὁδὸς ἀνώμαλος εὐθέως ἐστὶ καὶ τραχεῖα· δύναται γὰρ ἀναβάσεις τε καὶ καταβάσεις ἔχουσα μὴ τραχείας ἀνώμαλος εἶναί τε καὶ λέγεσθαι. καὶ τοίνυν καὶ τοὺς νάρθη-

κας ἐγχωρεῖ λείους μὲν εἶναι, μὴ μέντοι καὶ ὁμαλούς. ἐὰν γὰρ οὗτοι κατά τι τῶν πλαγίων μερῶν διεστραμμένοι τύχωσιν ὄντες ἢ κατὰ τὸ ἄνω ἄκρον ἢ τὸ κάτω, τὸ μὲν ὁμαλὸν οὐχ ἕξουσι, τὸ δὲ λεῖον ἔχειν οἷόν τε. λυσιτελεῖ δὲ τῷ κατάγματι μήτε τραχεῖς εἶναι μήτε διεστραμμένους τοὺς νάρθηκας· ἑκατέρως μὲν γὰρ θλίψουσιν, ἐκ περιττοῦ δὲ οἱ διεστραμμένοι συνδιαστρέφουσιν ἑαυτοῖς τὴν ἐπίδεσιν· ταύτης δὲ διαστρεφομένης, καὶ τὸ κατεαγὸς μέρος συνδιαστρέφεται. Σιμοὺς δὲ κατ' ἄκρα τοὺς νάρθηκας εἶναι συμβουλεύει. δύναται δὲ τοῦτο τὸ 'σιμὸν' ὄνομα νῦν σημαίνειν τοὺς ἀπεξεσμένους ἀτρέμα κατὰ τὴν κάτω χώραν. οἱ γὰρ ἰσοπαχεῖς ἄχρι τοῦ πέρατος ἴσην ἐνταῦθα τὴν ἐπίδεσιν ἐργάζονται παντὶ τῷ ἄλλῳ μέρει τῆς ἐπιδέσεως, ὅπερ οὐ χρὴ γίγνεσθαι. βούλεται γὰρ ἐν μὲν τῷ μέσῳ τὴν ἐπίδεσιν ἐσφίγχθαι μᾶλλον, ἐκλύεσθαι δὲ ἐντεῦθεν ἄχρι τῶν περάτων, ἐκεῖνα δὲ ἁπάντων ἐκλύεσθαι μᾶλλον. ἀλλὰ καὶ μικροτέρους αὐτοὺς κατὰ τὸ μῆκος εἶναι κελεύει τῆς ἐπιδέσεως, ὅπως μὴ ψαύσειάν ποτε τοῦ μετὰ τὴν ἐπίδεσιν δέρματος, ὑψουμένου πολλάκις ἐκ τοῦ δέχεσθαι τοὺς ὑπὸ τῶν ἐπιδέσμων ἐκθλιβομένους χυμούς. κατ' αὐτὸ δὲ τὸ κάταγμα παχυτέρους εἶναι συμβουλεύει τοὺς νάρθηκας, ἐπειδὴ τὸ χωρίον τοῦτο μάλιστα τῆς ὑπ' αὐτῶν πιέσεως δεῖται.

ΙΓ'.

Ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσι, φυλασσόμενον τῶν ὑπερεχόντων, οἷον τὸ κατὰ δακτύλους ἢ σφυρὰ, ἢ τῇ θέσι, ἢ τῇ βραχύτητι.

Φυλάττεσθαι κελεύει κατὰ τὰς ἐξοχὰς τῶν ὀστῶν τίθεσ-

θαι τοὺς νάρθηκας. ἔστι δὲ τοῦτο κατὰ δύο τρόπους, ἢ μηδ' ὅλως ἡμῶν τιθέντων αὐτοὺς κατ' ἐκεῖνα τὰ μέρη τῆς ἐπιδέσεως, ἢ βραχυτέρους ἐπιτεθέντων, ὡς μὴ παραγίγνεσθαι πρὸς τὸ κυρτὸν, ἀλλὰ καταπαύεσθαι πρὶν ἐκείνου ψαῦσαι. καὶ βέλτιόν ἐστι πράττειν οὕτως. ὠνόμασε δὲ τὸ μὲν μηδ' ὅλως θέντα νάρθηκας φυλάξασθαι τὴν βλάβην, 'τῇ *θέσει*, τὸ δὲ ἀφελόντα τοῦ μήκους, 'τῇ *βραχύτητι*, 'δυνάμει τοῦτο λέγων· ἢ τῷ μὴ θεῖναι νάρθηκα φυλάξασθαι ψαῦσαι τοῦ προὔσχοντος μέρους, ἢ τῷ μικροτέρους θεῖναι.

ΙΔ'. ΙΕ'.

Παρέρμασι δὲ ἑρμάζειν, μὴ πιέζειν τὸ πρῶτον.

Ἐμνημόνευσε παρερμάτων καὶ κατ' ἄλλον λόγον ὀλίγον ἔμπροσθεν, ἐφεξῆς τῶν ἐπιδέσμων, οὐ μὴν προσέθηκέ γε ῥητῶς, ἐκείνοις αὐτὰ περιβαλεῖν· ἀλλ' ἡ τῆς τάξεως ἀκολουθία τοῦτο ἡμῖν ἐνεδείκνυτο. νυνὶ μέντοι φησὶν, *ἑρμάζειν*· δεῖ, ὅπερ ἐστὶν ἑδράζειν τε καὶ στηρίζειν, ἄνευ τοῦ πιέζειν, καὶ τοῦτο ποιεῖν κατὰ τὴν πρώτην ἐπίδεσιν, ὡς ταῖς ἐφεξῆς ἡμέραις, ἐὰν ἐρωτώμενος ὁ πάσχων φῇ μηδ' ὅλως αἰσθάνεσθαι θλίψεως, δυναμένων ἡμῶν ἐπισφίγξαι τοὺς νάρθηκας τοῖς παρέρμασιν. Ἔνιοι δὲ οὐκ ἐπὶ τῇ τελευτῇ τῆς προκειμένης ῥήσεως ἔγραψαν τὸ 'τὸ πρῶτον., ἀλλ' ἐν ἀρχῇ τῆς ἐφεξῆς· ἵνα ᾖ τοιάδε· 'τὸ *πρῶτον κηρωτὴ μαλθακὴ λείη καθαρή*. ἴσως δὲ κατὰ τὴν καλουμένην ὑπὸ τῶν γραμματικῶν δοτικὴν πτῶσιν ἄμεινόν ἐστιν ἀκούοντας τοῦ τε κηρωτῇ καὶ τοῦ μαλθακῇ καὶ τοῦ λείῃ καὶ τοῦ καθαρῇ. τὸν λόγον ποιεῖσθαι τοιοῦτον· ἑλίσσοντα τὸν ἐπίδεσμον ἀμφὶ τὸ κατεαγὸς χρῖσαι αὐτὸν προσήκει (ιέ) '*κηρωτῇ μαλθακῇ καὶ λείῃ καὶ*

καθαρῇ. οὐ γὰρ δὴ μόνον τὸ δέρμα τοῦ πάσχοντος ἐπαλείφεσθαι βούλεται τῇ κηρωτῇ, ξηρῶν αὐτῶν ἐπιβαλλομένων τῶν ἐπιδέσμων, ἀλλὰ καθ' ἑκάστην ἐπιδέσμου περιέλιξιν ἀκολουθεῖν ἐπιχριομένην αὐτῷ τὴν κηρωτήν. εἰ γὰρ ἐγχριεῖς αὐτὴν κατὰ τοῦ δέρματος μόνον, τὰς δὲ περιειλήσεις ἐπιβαλεῖς ξηράς, ἀποστερήσεις τὸ πεπονθὸς μόριον ἐν τάχει τῆς γιγνομένης αὐτῷ βοηθείας ἐκ τῆς κηρωτῆς, ἀναπινόντων μὲν τῶν ὀθονίων αὐτὴν ὑγρὰν οὖσαν, αὐχμηρὸν δὲ ἐργαζομένων ἐκ τούτου τὸ δέρμα. Τὴν κηρωτὴν δέ, διὰ τί μὲν εἶναι μαλθακὴν ἀξιοῖ, πρόδηλον· ἀντὶ γὰρ ἐπιβροχῆς αὐτῇ χρῆται·, δυναμένης μὲν ἐπιβροχῆς τὸ αὐτὸ ἀνύειν, ἀλλὰ διὰ τῆς κηρωτῆς ἀσφαλέστερον ἐσομένου τούτου, καὶ μάλιστα ἐφ' ὧν οὐ πάντοτε τὸν ἰατρὸν παραμένειν τῷ κάμνοντι δυνατὸν ἤ τινα ὑπηρέτην, ὃν ἴσμεν ἐπιμελῆ ὄντα καὶ φιλόπονον. εἶναι δὲ τὴν κηρωτὴν οὐ μαλθακὴν μόνον, ἀλλὰ καὶ καθαράν, ἀξιοῖ, τουτέστι μηδὲν ἐμφερόμενον ἔχειν ἐν ἑαυτῇ μήτε προπόλεως μήτε ῥύπου μήτε γεώδους ἢ ψαμμώδους οὐσίας ἢ ἄλλης τινὸς παρὰ τὸν κηρόν. εἴη δὲ ἂν εὐθέως ἡ τοιαύτη καὶ λεία, πλὴν εἰ διὰ τὰς ὀνομαζομένας ἐγκηρίδας τραχυτέρα γένοιτο. Γέγραπται δὲ οὐ 'λείη, μόνον, ἀλλὰ καὶ '*λυτή*, τῆς πρώτης συλλαβῆς διὰ τοῦ υ, τῆς δὲ δευτέρας διὰ τοῦ τ γράμματος πρὸ τοῦ η γεγραμμένης. καὶ μᾶλλον οὕτως ἀξιοῦσι γραπτέον εἶναι ὅσοι περιέχεσθαι νομίζουσιν ἐν τῇ τῆς καθαρᾶς ἐννοίᾳ τὴν λείαν· ταύτην δέ, τὴν *λυτήν*, ἀντιδιορίσαι φασὶ τῇ τῆς ξηρᾶς· *λυτὴν* γὰρ ἐκείνην οὐκ εἶναι.

ΙΣΤ'.

13. *Ὕδατος θερμότης, πλῆθος· θερμότης μὲν, κατὰ τῆς ἑωυτοῦ χειρὸς καταχεῖν· πλῆθος δὲ, χαλάσαι μὲν καὶ ἰσχνῆναι, τὸ πλεῖστον ἄριστον, σαρκῶσαι δὲ καὶ ἁπαλῦναι, τὸ μέτριον·*

Καὶ ὁ περὶ τοῦ ὕδατος λόγος ἀναγκαῖός ἐστιν εἰς τὴν τῶν καταγμάτων ἴασιν. ἐν γοῦν ταῖς ἐπιλύσεσιν ὕδατι θερμῷ καταντλοῦσιν ἅπαντες ἰατροὶ τὰ κατάγματα, ἅτε τῆς ἐξ αὐτοῦ βοηθείας ἐναργῶς πεπειραμένοι. διαμαρτία δὲ ἐστι κἀν τῇ τούτου χρήσει· μία μὲν κατὰ τὸ ποιὸν, ἑτέρα δὲ κατὰ τὸ ποσὸν αὐτοῦ· κατὰ μὲν τὸ ποιὸν, ἤτοι θερμοτέρῳ τοῦ προσήκοντος ἢ ψυχροτέρῳ χρωμένου τοῦ ἰατροῦ, κατὰ δὲ τὸ ποσὸν, ἤτοι πλείονα χρόνον καταντλοῦντος ἢ ἐλάττονα. τῆς μὲν οὖν κατὰ τὴν ποιότητα συμμετρίας γνώρισμα τὴν αὐτοῦ τοῦ ἰατροῦ τίθεται χεῖρα· καταχέων γὰρ ταύτης ᾧ μέλλει τὸ πεπονθὸς αἰονᾶν, στοχάσασθαι δύναται τοῦ τοῦ καταχύματος συμμέτρου. λέγω δὲ κατὰ πλάτος σύμμετρον, ὃ πρὸς τὴν κοινὴν τῶν ἀνθρώπων ἀναφέρεται, οὐ πρὸς τὴν τοῦ κάμνοντος, αἴσθησιν. ἐνίοτε μὲν γὰρ τοῦτο καὶ αὐτῷ τῷ κάμνοντι φαίνεται σύμμετρον. ἐπιχέας οὖν ἐξ αὐτοῦ τὴν πρώτην ἐπίκλυσιν, τοῦ θεραπευομένου δυνήσῃ πυθέσθαι, πότερον ψυχρότερον ἢ θερμότερον αὐτῷ φαίνεται τοῦ συμμέτρου· καὶ οὕτως θερμὸν ἢ ψυχρὸν ὀλίγον ἐπιχέας εὔκρατον αὐτὸ ὡς πρὸς τὸν πάσχοντα ποιήσεις. οὔκουν ἡ ἡμετέρα χείρ, ἀλλ᾽ ἡ αὐτοῦ τοῦ κάμνοντος αἴσθησις τὸ κυριώτατόν τε καὶ τελειότατόν ἐστι καὶ πρῶτον δυνάμει κριτήριον τῆς εὐκρασίας τοῦ ὕδατος. τὸ δὲ ποσὸν τῆς χρήσεως

αὐτοῦ διορισμοὺς ἔχει κοινοὺς πρὸς ἀνάτριψίν τε καὶ πανθ' ὅσα θερμαίνει βοηθήματα· ταῦτα γὰρ προσενηνεγμένα οὐ μόνον ἐπισπᾶσθαι πέφυκεν ἐπὶ τὸ θερμαινόμενον ἐκ τῶν πέριξ τόπων, ἀλλὰ καὶ διαφορεῖν· καὶ διὰ τοῦτο τἀναντία φαίνεται ποιοῦν τὸ θερμὸν ὕδωρ παρά τε τὸ διαφόρως ἔχειν τὸ σῶμα καὶ τὴν ἐπὶ πλέον ἢ ἔλαττον χρῆσιν. ἐὰν μὲν γὰρ κενὸν εἴη τὸ σύμπαν σῶμα, διαφορεῖ πλέον, ἢ ἐπισπᾶται·, ἐὰν δὲ πληθωρικὸν, ἔμπαλιν ἐπισπᾶται πολὺ μᾶλλον, ἢ διαφορεῖ. καὶ τοίνυν ὀλίγον μὲν χρόνον προσαχθὲν ἐπλήρωσε μᾶλλον ἢ ἐκένωσεν·, εἰ δὲ πλέονα καταθείη χρόνον, διαφορεῖ μᾶλλον ἢ πληροῖ. κατὰ λόγον οὖν ἔφη, χαλᾶν μὲν καὶ ἰσχναίνειν τὸ πλεῖστον, ἁπαλύνειν δὲ καὶ σαρκοῦν τὸ μέτριον. τὸ μὲν οὖν ἰσχναίνεσθαι τοῖς κενουμένοις ἄντικρυς ἕπεται, τὸ δὲ χαλᾶσθαι τοῖς τεταμένοις οὐκ ἄντικρυς, ἀλλὰ διὰ μέσων ἑτέρων. ὅσα μὲν γὰρ τῷ πεπληρῶσθαι τέταται, καθάπερ τὰ φλεγμαίνοντα, πάντα τῷ κενοῦσθαι χαλᾶται, ὅσα δὲ τῷ πεπῆχθαι διὰ ψύξιν, τῷ θερμαίνεσθαι, τὰ δὲ διὰ ξηρότητα τεταμένα δι' ὑγρότητος χαλᾶται. ἐπεὶ τοίνυν τὰ εἰρημένα πάντα δύναται ποιεῖν τὸ θερμὸν ὕδωρ, ὅταν ἐπὶ πλέον ὁμιλήσῃ τῷ σώματι, καλῶς εἶπε χαλᾶν αὐτό. μὴ θαύμαζε δὲ, εἰ κενοῦν τε ἅμα τὰς περιττὰς ὑγρότητας ἔφαμεν δύνασθαι τὸ θερμὸν ὕδωρ καὶ ὑγραίνειν τὰ στερεὰ σώματα· δέδεικται γὰρ ἐν ἑτέροις λόγοις ἑκάτερον ἀληθές. Τὸ μὲν οὖν πολὺ θερμὸν ὕδωρ ταῦτα δύναται, τὸ δὲ ὀλίγον οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, τί δύναται ποιεῖν. ἐὰν μὲν γὰρ ἤτοι δὶς ἢ τρὶς καταχέας τις ἢ πυριάσας διὰ σπόγγων ἀρκεσθῇ, παντάπασιν ἡ τοιαύτη χρῆσις ἄπρακτός ἐστιν· ἐὰν δὲ, ὡς αὐτὸς ἔφη, μετρίως τις αὐτῷ χρήσηται, σαρκώσει τε

καὶ μαλακὰ ποιήσει τὰ δεόμενα τούτου. ἄκουε δέ μου προσθέντος τῷ λόγῳ 'τὰ *δεόμενα*,. ἔνια γὰρ σώματα τοιαύτη χρῆσις ὕδατος οὔτε ἁπαλύνειν οὔτε σαρκοῦν δύναται. τῷ γοῦν ἀσάρκῳ τε ἅμα καὶ πληθωρικῷ σώματι μετρία κατάχυσις ὕδατος θερμοῦ πληρώσει περιττῆς ὑγρότητος τὸ θερμανθὲν μόριον· ἐὰν δὲ ἄτροφόν τε καὶ μὴ πληθωρικὸν ᾖ, σαρκώσει τε ἅμα καὶ μαλακὸν ἐργάσεται αὐτό. σάρκωσις γὰρ γίγνεται, τῶν μὲν μορίων αὐτῶν, οἷς μέλλει προσφύεσθαί τε καὶ περιφύεσθαι σάρξ, εὐκράτως ἐχόντων κατὰ θερμότητά τε καὶ ψυχρότητα, τοῦ τε ἐπιῤῥέοντος αἵματος ὑγιεινοῦ μὲν ὄντος κατὰ τὴν ποιότητα, συμμέτρου δὲ κατὰ τὴν ποσότητα· ταῦτα δὲ ἀμφότερα διὰ τῆς μετρίας καταχύσεως ὕδατος θερμοῦ γίγνεται συμμέτρου· τὸ γὰρ αἷμα πρὸς τὸ καταντλούμενον ἕλκει μόριον, εὔκρατόν τε ἐργάζεται τὴν ἐν αὐτῷ προϋπάρχουσαν σάρκα, θερμαῖνον μὲν εἰ κατεψυγμένον τι πρόσθεν εἴη, εἰ δὲ θερμὸν, καταψῦχον· διαφορεῖ γὰρ τῷ ἀπωθεῖν πρὸς τοὐκτὸς τὴν θερμότητα καὶ προσέτι τῷ τέγγειν ὑγρότητι χρηστῇ κατὰ τὸν αὐτὸν ἐμψύχει τρόπον, καθ' ὅνπερ καὶ τὰ τῶν ποτίμων ὑδάτων εὔκρατα λουτρά. καὶ γὰρ ταῦτα τοὺς μὲν ἐκ κρύους ἥκοντας ἐκθερμαίνει, κἂν σφόδρα κατεψυγμένοι τύχωσιν ὄντες, τοὺς δὲ ἐκκεκαυμένους οὐ βλάπτει. φαίνονται γοῦν οἱ ἡδόμενοι ταῖς εὐκράτοις δεξαμεναῖς ἀδιψότεροι γιγνόμενοι μετὰ τὸ λουτρόν· οὕτως οὖν καὶ ἡ τοῦ θερμοῦ κατάχυσις ὕδατος, εἰ μετρίως παραληφθείη, σαρκοῖ, καὶ διὰ τοῦτο καὶ μαλακώτερον ἐργάζεται τὸ μόριον· ἁπαλὴ γάρ ἐστιν ἡ νεοπαγὴς σὰρξ, ἐξ αἵματος ἄρτι πεπηγότος, ὁμοίως τοῖς νεοπαγέσι τυροῖς, τὴν γένεσιν ἐσχηκυῖα.

ΙΖ'.

μέτρον δὲ τῇ καταχύσι· ἔτι μετεωριζομένου δεῖ, πρὶν ξυμπίπτειν, παύεσθαι. τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται.

Καταχύσεως ὕδατος θερμοῦ μέτρον ἐστὶ τὸ παύεσθαι πρὶν ἄρξασθαι συμπίπτειν τὸ καταντλούμενον μέρος. αἴρεται γὰρ πρῶτον, ὅπερ ἐστὶν, εἰς ὄγκον μείζονα τοῦ κατὰ φύσιν αὐξάνεται, διά τε τὸ χεῖσθαι τὸ περιεχόμενον αἷμα κατ' αὐτὸ καὶ διὰ τὴν ἐκ τῶν ὑποκειμένων ἐπιῤῥοὴν, μετὰ ταῦτα δὲ ἰσχναίνεται, διαφορηθέντος μέρους πολλοῦ τοῦ τε ἐπιῤῥυέντος ἄνωθεν καὶ τοῦ παρεχυθέντος.

ΙΗ'.

14. *Θέσις δὲ μαλθακὴ, ὁμαλὴ, ἀνάῤῥοπος ταῖσιν ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, ὡς μήτε ἀνακλᾶται, μήτε ἐκτρέπηται.*

Ταύτην τὴν ῥῆσιν ἔνιοι μὲν ὡς μίαν ὅλην ἀναγινώσκουσιν, ἔνιοι δὲ δίχα τέμνοντες, ἑκάτερον αὐτῆς τὸ μέρος ἐξηγοῦνται καθ' ἑαυτό. τὸ μὲν οὖν πρότερον μέρος οὕτως περιγέγραπται, μίαν ἔχειν δυνάμενον αὐτοτελῆ διάνοιαν. ἡ γάρ τοι θέσις τῶν μορίων ἐάν τε γενικῶς ἀκούηται, περιλαμβανομένης καὶ τῆς ἀναλήψεως, ὡς ἐπὶ τῆς χειρὸς, ἐάν τε εἰδικῶς, ὡς ἐπὶ μόνου τοῦ σκέλους, ἀρίστη δεῖ ἡ μαλθακή τέ ἐστι καὶ ὁμαλὴ καὶ ἀνάῤῥοπος· μαλθακὴ μὲν, ὅπως μὴ θλίβηται κατ' ἐκεῖνο τὸ μόριον ὁ κάμνων καὶ οὕτως ἅμα μὲν φλεγμονῇ κινδυνεύῃ, ἅμα δὲ, μεταβάλλειν ἀναγκαζόμενος τὸ σχῆμα διὰ τὴν ἀπὸ τῆς θλίψεως ὀδύνην,

διαστρέφῃ τὸ κατεαγὸς, ὅπερ ἀκίνητον ἐν ἡσυχίᾳ πολλῇ φυλάττεσθαι δεῖται. ἡ δὲ ἀνώμαλος θέσις ὀδυνηρά ἐστιν ἅμα καὶ διαστρέφει τὸ κῶλον ἐν τισὶ μὲν αὐτοῦ μέρεσιν ἀστήρικτον γιγνόμενον, ἐν τισὶ δὲ θλιβόμενον· διὸ εἰκότως τὴν ὁμαλὴν ἐπαινεῖ. ἡ δὲ ἀνάῤῥοπος ἀρευμάτιστον φυλάττει, ὥσπερ ἡ κατάῤῥοπος ῥευματίζουσα φλεγμονῆς αἰτία γίγνεται. Τὸ μὲν οὖν πρότερον μέρος τῆς προκειμένης ῥήσεως, ὅτι τε μίαν ἔχειν διάνοιαν δύναται, ὅτι τε καλῶς εἴρηται κατὰ τήνδε, εὔδηλον ἤδη γέγονε· τὸ δὲ δεύτερον, εἰ δή αὐτό τις καθ' ἑαυτὸ ἀναγιγνώσκει, τοιαύτην ἕξει διάνοιαν· τοῖς ἐξέχουσι τοῦ σώματος, οἷον πτέρνῃ καὶ ἰσχίῳ, θέσις ἀρίστη ἐστὶν, ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπηται. ὅτι δὲ οὐ πρόσκειται τῷ *θέσις ἀρίστη*, διὰ τοῦτο δοκεῖ τισιν ἐλλιπῆ τὴν διάνοιαν ἔχειν, ἀναγκάζονταί τε συνάπτειν αὐτὸ τῷ προτέρῳ μέρει. πάλιν δὲ αὖ συναφθέντος τοῦδε τῷ προτέρῳ, φαίνεται μηκέτι καθόλου γιγνόμενος ὁ λόγος, ἀλλὰ περὶ μόνων τῶν ἐξεχόντων τῆς θέσεως. οἱ μὲν οὖν ἐμπεριεκτικῶς τούτων ἀκούσαντες, ὡς συνυπονοουμένων αὐτοῖς τῶν ἄλλων, τὸν λόγον ἔφασαν γίγνεσθαι καθόλου. καὶ τοίνυν καὶ δεικνῦσιν οὐκ ἐν τούτῳ τῷ βιβλίῳ μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ τὸν Ἱπποκράτην δι' ἑνὸς ἢ δυοῖν παραδειγμάτοιν διδάσκειν λόγους καθολικοὺς, ὅταν πραγμάτων ὁμογενῶν ταῦτα διαφέρῃ τῷ τὸ διδασκόμενον ἐναργῶς ἐπ' αὐτῶν φαίνεσθαι, καθάπερ καὶ νῦν διὰ πτέρνης καὶ ἰσχίου· πάντων γάρ τοι τῶν μορίων, ἐπειδὰν πάθῃ, δεομένων ἐπὶ μαλθακοῦ τε κεῖσθαι καὶ ὁμαλοῦ ἐν αναῤῥόπῳ τε σχήματι, δεῖσθαι φαίνεται μάλιστα τούτων τὰ ὑπερεξέχοντα τοῦ σώματος, ὁποῖόν τί ἐστι τό τε ἰσχίον καὶ ἡ πτέρνα. Πολλάκις δ' εἴρηταί μοι τὰς τοιαύτας

ἑρμηνείας ἀφορμὴν παρέχειν ἐξηγήσεως ἄλλην ἄλλῳ καὶ τό τινί γε δόξαν πιθανὸν ἀπίθανον ἑτέρῳ φαίνεσθαι· διὰ τοῦτο οὖν οὐδ' ἀποφαίνεσθαι ὑπὲρ τοῦ δόξαντος ἀληθοῦς εἶναι προσήκει. τούτου οὖν ἡμᾶς μεμνῆσθαι δεῖ, καὶ μέν τοι καὶ γιγνώσκειν, ὡς ἐν ταῖς διαφωνουμέναις ἐξηγήσεσιν, ὅταν ἡ θεωρία φυλάττηται κατ' αὐτάς, τρίβεσθαι μακρὸν οὐ χρή, ἀλλὰ μεταβαίνοντας ἐπὶ τὸ χρήσιμον τῇ τέχνῃ, ἐν ἐκείνῳ χρονίζειν βέλτιον· ὅπερ καὶ νῦν ἄμεινον πρᾶξαι. συμφωνουμένου γὰρ τοῦ δεῖν ἐπὶ πάντων μὲν τὴν θέσιν εἶναι μαλθακὴν καὶ ὁμαλὴν καὶ ἀνάῤῥοπον, ἐξαιρέτως δὲ ἐπὶ τῶν ἐξεχόντων μορίων, ὁποῖον τὸ ἰσχίον καὶ ἡ πτέρνα, τῶν ἐφεξῆς ἐχώμεθα καθ' ἅ φησιν '*ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπηται*. πάλιν οὖν κἀνταῦθα τὸ μὲν ὠφέλιμον εἰς τὴν τέχνην ἐστὶν ἐπίστασθαι περὶ τῆς θέσεως τῶν ἐξεχόντων μορίων τοῦτό γε, ὡς, ἐὰν μὲν ὑψηλοτέρα τοῦ προσήκοντος γένηται, συμβήσεται τὸ κῶλον ἀνακλᾶσθαι, ταπεινοτέρας δὲ οὔσης, ἐκτρέπεσθαι, καὶ μάλιστα ὅταν ᾖ προσέτι μὴ ὁμαλή. τὰ δὲ ἔξω τῆς τέχνης περὶ τὴν λέξιν ἐπισκόπει σχολὴν ἄγων. λέλεκται δὲ τελέως ἐν τῷ Περὶ ἀγμῶν, ὥσπερ περὶ τῶν ἄλλων ἁπάντων ὧν διεξέρχεται θεωρημάτων, οὕτως καὶ περὶ θέσεως πτέρνης ἐν οἷς φησι '*πτέρνης δ' ἄκρης χρὴ κάρτα ἐπιμελέεσθαι, ὡς εὐθέτως ἕξει καὶ* ...... οἵ γε μὴν πάντα ἐπὶ πᾶσι γράφοντες εἰώθασιν ὅλας τὰς ἐν ταῖς ἄλλαις βίβλοις εἰρημένας ῥήσεις, τὸ αὐτὸ θεώρημα περιεχούσας, παραγράφειν, ὅπερ οὐδὲ ἐν ταῖς δι' ἡμέρας συνουσίαις ἀθρόως ἂν γίγνοιτο. καὶ διὰ τοῦτο παρὰ τοῖς οὕτως ἐξηγουμένοις οὐδεὶς ἀνέγνω βιβλίον ἢ ἐνιαυτοῦ θᾶττον ἢ δυοῖν. καὶ μὴν, ἤδη γεγονότων εἰς τὸ Περὶ ἀγμῶν καὶ τὸ Περὶ ἄρθρων ὑπο-

μνημάτων, ὑπομνήσεως μόνον ἐνταῦθα δεῖ· εἰ δέ τις οὔπω τὰ ἐπ' ἐκείνων τῶν βιβλίων ἀνέγνω, οὗτος διαδραμὼν ὅτι τάχιστα τοῦτο τὸ νῦν ἡμῖν προκείμενον, ἐπ' ἐκεῖνα προβήτω, παρ' ἐμοῦ τοῦ πεπειραμένου μαθὼν, ὡς διεξοδικαὶ διδασκαλίαι τεχνίτας ἐργάζονται τελείους, οὐχ αἱ κατ' ἐπιτομὴν γιγνόμεναι· οὐ μὴν ἀχρήστους δὲ καὶ τὰς τοιαύτας εἶναί φημι, σύλληψίν τινα διὰ βραχέων τῆς ὅλης θεωρίας παρεχομένας.

ΙΘ'.

Σωλῆνα παντὶ τῷ σκέλεϊ, ἢ ἡμίσεϊ· ἐς τὸ πάθος δὲ βλέπειν καὶ τἄλλα ὁκόσα ὡς βλάπτει δῆλα.

Ὡς ἀνεγνωκόσι τὸ Περὶ ἀγμῶν καὶ ἄρθρων διαλέγεται κατὰ τούτους τοὺς λόγους ἐν οἷς τὸ δῆλον ἰδιώτῃ δῆλον λέγει. τινὰ μὲν γάρ ἐστιν οὕτω δῆλα παντὶ, τῷ γένει ἔχοντα καθάπερ τὰ πρὸ ταύτης τῆς ῥήσεως εἰρημένα· καὶ γὰρ μαλθακῶς καὶ ὁμαλῶς δεῖν κεῖσθαι τὸ κατεαγὸς ἅπαντες νοοῦσιν, οὐ μὴν εἴ τι βλάπτεσθαι ἔχει σωλῆνος ὑποθέσει, μὴ προακηκοότες ἃ περὶ τούτου ἐν τῷ Περὶ ἀγμῶν κατ' ἐκείνην ἔγραψε τὴν ῥῆσιν ἧς ἡ ἀρχὴ *'περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅ,τι ξυμβουλεύσω.* καὶ δὴ, δι' ὅ,τι γε εὐλόγως ἀπορεῖ, διεξέρχεται πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ καθ' ἑτέραν ῥῆσιν ἧς ἡ ἀρχή· *'σωλῆνα δὲ εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη.'* καὶ διελθὼν πολλὰ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ὧδε ἔφη· *'ἢ οὖν διαμπερὲς ἂν εἴη ποιητέος ὁ σωλὴν, ἢ οὐ ποιητέος.'* ὁ δὲ λόγος οὗτος βούλεται, μὴ μὲν ἀναγκαίως χρείαν εἶναι τοῦ σωλῆνος,' εἰ μέντοι τις βούλοιτο

χρῆσθαι, μέχρι τοῦ βουβῶνος ὑποθετέον εἶναι ἅπαντι τῷ σκέλει, μὴ μέχρι τοῦ γόνατος. Ἐξ ἐκείνων οὖν ἐγένετο δῆλον ἡμῖν καὶ τὸ νῦν εἰρημένον, οὐκ ὂν αὐτὸ καθ' ἑαυτὸ δῆλον· ὅσον γὰρ ἐπὶ τῇ λέξει δυνατὸν μὲν τὴν 'ἤ' φωνὴν ὡς διαζευκτικὸν εἰρῆσθαι σύνδεσμον, μᾶλλον δὲ εἰκὸς ἀντ' ἀποφάσεως αὐτὴν τετάχθαι· βούλεται γὰρ ἅπαντι τῷ σκέλει, οὐ τῷ ἡμίσει, τὸν σωλῆνα χωρὶς βλάβης ὑποβάλλεσθαι· καθάπερ Ὅμηρος ἔφη »Βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι«. ὁ Θουκυδίδης δέ· * * * *

Σκοπεῖσθαι δέ φησι χρῆναι καὶ τὸ πάθος οὗ χάριν ὁ σωλὴν παραλαμβάνεται, καὶ ὅσα βλάπτειν πέφυκε. τὸ μὲν οὖν πάθος ἐστὶν ἰσχυρὸν σύντριμμα τῶν κατὰ τὸ σκέλος ὀστῶν ἀκριβῶς ἀκινήτου δεόμενον τοῦ σκέλους εἰς τὴν ἴασιν. ὃ γ' οὖν σωλὴν ἐπαινεῖται πρός τινων ὡς ἐν ἐκείνοις τοῖς καιροῖς χρήσιμος ἐσόμενος ἐν οἷς ἀπὸ τῆς στρωμνῆς ὁ πεπονθὼς ἐπανίσταται. καὶ ὅτι γε αὖ εἰσιν οὗτοι ἐκεῖνοι καθ' οὓς ἤτοι γε ἀποπατῆσαι δεόμενος ἢ τὸ σκληρὸν τῆς στρωμνῆς μὴ φέρων, ἀπολείπων τὴν προτέραν, ἐφ' ἑτέραν ἄρτι στρωθεῖσαν μετακομίζεται, αὐτὸς ἐδήλωσεν ἐν τῷ Περὶ ἀγμῶν. ἐδήλωσε δὲ καὶ ὅτι μέχρι τοῦ γόνατος ὁ σωλὴν γενόμενος οὔτε κωλύει κινεῖσθαι τὸ σκέλος, ἀτηρός τέ ἐστι καὶ θλίβει πολλάκις. ἀποβλέποντα δέ σε πρός τε τὸ πάθος οὗ χάριν ὁ σωλὴν παραλαμβάνεται, καὶ πρὸς τὰς βλάβας ἃς ἐργάζεται, ποτὲ μὲν αἱρεῖσθαι τὸν σωλῆνα κελεύει, ποτὲ δὲ μή· ἐὰν μὲν γὰρ αἱ ἐξ αὐτοῦ βλάβαι μείζους ὦσι τῆς ὠφελείας, φευκτέος ὁ σωλὴν, ἐὰν δὲ ὑπερβάλλῃ ἡ ὠφέλεια, παντὶ τῷ σκέλει ὑποθετέος, μὴ μέχρι τοῦ γόνατος.

K'.

15. *Πάρεξις δὲ καὶ διάτασις καὶ ἀνάπλασις καὶ τὰ ἄλλα κατὰ φύσιν.*

Ὅτι πάρεξίς ἐστιν, ὅταν ὁ κάμνων ἑαυτὸν παρέχῃ τῷ ἰατρῷ θεραπευθησόμενον, εἴρηται πρόσθεν· ἐν τούτῳ δὴ τῷ καιρῷ, ἡνίκα πρῶτον μὲν σημειοῦται τὸ γεγονὸς αὐτῷ πάθος ὁ ἰατρὸς, εἶτα παρασκευάζεται πρὸς τὴν θεραπείαν, ἐν σχήματι πάντως εἶναι τινὶ ἀνάγκη τὸ πεπονθὸς μέρος· καὶ τοῦτο τὸ σχῆμα κατὰ φύσιν εἶναι τοῦ μέρους εὔλογον· ὑπὸ γὰρ τοῦ παρὰ φύσιν οὐ μικρὰ ἂν γένοιτο βλάβη. μετὰ δὲ τὴν πάρεξιν ὁ ἰατρὸς διατείνει τὸ μόριον, ὅταν οὕτως ἢ μικρὸν ὡς κρατήσεως μόνον χρήζειν ἐν τοῖς ὑπερκειμένοις. εὔδηλον οὖν ὅτι καὶ κατὰ τοῦτον τὸν καιρὸν ἄμεινόν ἐστι τῷ κάμνοντι τὸ κατὰ φύσιν σχῆμα φυλάττειν. εἶθ' ἑξῆς ἐστιν ὁ τῆς διαπλάσεως καιρὸς, ἐν ᾧ καὶ αὐτῷ φυλάττεσθαι προσήκει ταὐτὸ σχῆμα· καὶ μετὰ τοῦτον ὁ τῆς ἀποθέσεως ἢ ἀναλήψεως, ἃς ἀμφοτέρας ὀνομαστὶ μὲν οὐκ εἶπεν, ἐδήλωσε δὲ διὰ τοῦ φάναι 'καὶ τὰ ἄλλα.'

ΚΑ'.

Φύσις δὲ ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξι ὃ βούλεται τεκμαρτέον· ἐς δὲ ταῦτα, ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος· ἐκ μὲν τοῦ ἐλινύοντος καὶ ἀφειμένου τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός· ἐκ δὲ τοῦ κοινοῦ ἔκτασιν, ξύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα· ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν· ἀπὸ

τούτου γὰρ ῥήιστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα.

Ἐπεὶ διὰ τῆς προτέρας ῥήσεως τοῦ *κατὰ φύσιν* ἐμνημόνευσεν, εἰκότως νῦν ἐξηγεῖται, τίς ἡ φύσις ἐστὶν αὕτη καὶ τίνα τὰ γνωρίσματα αὐτῆς· καί φησιν· *Φύσις δὲ, ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξι ὃ βούλεται τεκμαρτέον.* ὡς εἰ καὶ οὕτως εἶπε· τὸ κατὰ φύσιν σχῆμα κατὰ μὲν τὰς ἐνεργείας ὁ σκοπὸς αὐτὸς καὶ ἡ χρεία δι' ἣν ἐνεργοῦνται, ἐνδείκνυνται. *ἐς δὲ ταῦτα*, τουτέστι τὰ νῦν εἰρημένα, τὴν πάρεξιν καὶ διάτασιν καὶ ἀνάπλασιν καὶ θέσιν, ἑτέρους σκοποὺς τῆς τοῦ κατὰ φύσιν σχήματος εὑρεσέως ἐφεξῆς αὐτὸς διέρχεται γράψας *ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος*. ἐλινύοντος μὲν λέγων τοῦ μηδὲν ὅλως ἐνεργοῦντος, ἀλλ' ἡσυχάζοντος, ὡς ἂν οὐδεμίαν ἐνέργειαν ἐνεργοῦντος διὰ τοῦ πεπονθότος μορίου τοῦ κάμνοντος. ἐξ οὗ φησι τὰς ἰθυωρίας λαμβάνεσθαι καθάπερ ἐπὶ τῆς χειρὸς ἐδίδαξεν, ὑποκεῖσθαι μὲν ἀξιῶν τὸ τοῦ πήχεως ὀστοῦν, ἐπικεῖσθαι δὲ τὸ τῆς κερκίδος. ἐκ δὲ τοῦ κοινοῦ τὸ μεταξὺ σχῆμα κάμψεώς τε καὶ ἐκτάσεως ἄκρας, ὅπερ ἐγγὺς εἶναί φησι τοῦ ἐγγωνίου σχήματος πήχεος πρὸς βραχίονα. καὶ καλεῖσθαί φασιν ἐγγώνιον σχῆμα τὸ κατ' ὀρθὴν γωνίαν, τουτέστιν ὅταν τὸ τοῦ πήχεως ὀστοῦν πρὸς τὸ τοῦ βραχίονος ὀρθὴν ἐργάζηται γωνίαν. πάντων δὲ τῶν παλαιῶν ἀντιγράφων προσκείμενον ἐχόντων τὸ *ἐγγὺς*, εἰδότων δὲ καὶ τῶν ἐξηγησαμένων τὸ σύγγραμμα ταύτην τὴν γραφὴν, κατὰ δύο τρόπους μοχθηρὸν γίγνεται τὸ λεγόμενον, ἐάν τις ἐγγώνιον ἀκούῃ σχῆμα τὸ κατ' ὀξεῖαν γωνίαν, ὀξείας δηλονότι γωνίας ὀνομαζομένης ἥτις ἂν ἐλάττων ᾖ τῆς ὀρθῆς. ὅταν μὲν γὰρ εὐ-

θεῖα ἐπ' εὐθείας σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τούτων τῶν ἴσων γωνιῶν ἐστιν, ἡ δὲ τῆς ὀρθῆς ἐλάττων ὀξεῖα καλεῖται, καθάπερ ἡ μείζων ἀμβλεῖα. καὶ τοίνυν ἡ μὲν ὀρθὴ γωνία μία τὸ μέγεθός ἐστιν οὐκ ἔχουσα τὸ μᾶλλον τε καὶ ἧττον, ἀπερίληπτον δὲ ἀριθμῷ τὸ πλῆθός ἐστι τῶν ὀξειῶν τε καὶ ἀμβλειῶν ὑπαρχουσῶν. ἀπαρέγκλιτος μὲν γάρ, ἡ ὀρθῇ γωνίᾳ, ἐφισταμένη κατ' εὐθείας εὐθεῖα, τηνικαῦτα τὴν γένεσιν ἐργάζεται δυοῖν ὀρθῶν γωνιῶν, κεκλικυῖα δὲ πρὸς θάτερον μέρος τῆς ὑποβεβλημένης γραμμῆς οὐκέτι ὀρθὴν ἐργάζεται γωνίαν, ἀλλ' ὀξείας καὶ ἀμβλείας ἀναριθμήτους· καὶ γὰρ ἡ κλίσις αὐτῆς τὸ μᾶλλον τε καὶ ἧττον ἀναρίθμητον. ἔχει πλήθει. οὔκουν ἔστι τὴν ὀρθὴν γωνίαν ἑρμηνεῦσαι βουληθέντα λέγειν ἐγγὺς εἶναι τῆς ὀξείας· ἡγεῖται γὰρ ἡ τῆς ὀρθῆς νόησις, ἕπεται δὲ ἡ τῆς ὀξείας, ὅτι ἡ μὲν ὀρθὴ μία, καθάπερ εἶπον, ἄπειροι δὲ κατὰ πλῆθος αἱ ὀξεῖαι. τὸ μὲν οὖν ἐγγὺς εἶναι τῆς ὀρθῆς ὀξεῖάν τινα γωνίαν εἰκότως ἄν τις εἴποι· παμπόλλων γὰρ οὐσῶν αὐτῶν ταύτην νοήσομεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ἢ τῆς ὀρθῆς ἂν ἀπολείπηται βραχὺ καὶ μὴ πάνυ τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὴν εὐθειῶν ἀπωξυμμένην ἔχῃ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῶν ἀμβλειῶν παμπόλλων οὐσῶν ἐκείνας νοήσομεν ἐγγὺς εἶναι τῆς ὀρθῆς, ὅσαι τὴν συμβολὴν τῶν ἐργαζομένων αὐτὰς εὐθειῶν ἔχουσι μετρίως ἀμβλεῖαν. ἐγγὺς δὲ τῆς ὀξείας εἶναί τινα γωνίαν ἢ ἐγγώνιον ἔχοι σχῆμα, ἀδιανόητον, ἅτε οὐκ οὔσης μιᾶς τῆς ὀξείας γωνίας, καὶ προσέτι διὰ τὸ μήτε *ἐγγώνια* διὰ τοῖν δυοῖν γγ· μήτε *εὐγώνια* διὰ τῆς *εὐ* συλλαβῆς κεκλῆσθαι σχήματα πρὸς μηδενὸς τῶν Ἑλλήνων ἃ ἂν γωνίαν ὀξεῖαν ἔχῃ· τὰ μέν τοι ὀρθὴν ἔχοντα

γωνίαν καὶ *εὐγώνια*, διὰ τῆς εὐ διφθόγγου, καὶ ἐγγώνια, διὰ τοῖν δυοῖν γάμμα, καλοῦσιν. εἴγε οὖν ἀναγκαῖόν ἐστιν ἀκούειν '*ἐγγωνίου*. τοῦ κατ' ὀρθὴν γωνίαν συγκειμένου σχήματος, ὅπερ γίγνεσθαι πέφυκεν, ὅταν ὀρθὴν γωνίαν ὁ πῆχυς ἐργάζηται πρὸς βραχίονα, ζητεῖν δεῖ, διὰ τί προσέθηκεν Ἱπποκράτης τὸ '*ἐγγὺς*. ὃ μὲν οὖν εἴωθα λέγειν πολλάκις, ἐρῶ καὶ νῦν· ἀσαφεῖς λέξεις ἐπιστημονικὴν μὲν οὐκ ἔχουσιν ἐξήγησιν· ὃ δὲ ἂν τὸ πιθανὸν ἔχῃ μετὰ τοῦ τὸ λεγόμενον ἀληθὲς εἶναι καὶ μὴ μάχεσθαι τῇ γνώμῃ τοῦ συγγραφέως, ἀποδέχεσθαι χρή. τούτου τοίνυν ἐχόμενοι τοῦ σκοποῦ πειράσομαι τὴν ' ἐγγύς. φωνὴν ἐξηγήσασθαι. λέγω οὖν τὸ μὲν ἐγγώνιον σχῆμα τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ἔχειν· ἓν γάρ ἐστιν· ἡμᾶς δὲ μάλιστα οὐδὲ δύνασθαι τοιοῦτον σχῆμα τῆς χειρὸς ἐργάζεσθαι καθ' ὃ διαβεβαιώσαιτο ἄν τις ἀπαρεγκλίτως ὀρθὴν εἶναι γωνίαν τὴν τῆς τῶν ὀστῶν συμβολῆς, ἀτὰρ καὶ ἀρκεῖν ἡμῖν, εἰ μὴ πόῤῥω τούτου σχηματίσαιμεν τὴν χεῖρα. ἔπειτα δὲ οὐδὲ βούλεται τοιοῦτον τὸ σχῆμα τῆς ὅλης χειρὸς εἶναι· ἐπιδείξω γὰρ αὐτῆς τὸ κατὰ φύσιν σχῆμα πλησίον μὲν εἶναι τῆς ὀρθῆς γωνίας, ἀποκεχωρηκὸς δὲ βραχὺ πρὸς τὴν ἀμβλεῖαν, ὅπερ ἐστὶ πρὸς τὴν ἔκτασιν ῥέπον· ἡ δὲ ἀπόδειξίς μοι τοῦ λόγου γενήσεται δι' ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν. '*ἐκ*. γὰρ, '*τοῦ ἐλινύοντος*. ἔφη καὶ *τοῦ ἔθεος*. εὑρίσκειν ἡμᾶς τὰ κατὰ φύσιν σχήματα. ταῦτα δὲ ἄμφω συντεθέντα σκοπὸν ἕνα ποιεῖ σύνθετον, ὡς εἰ καὶ οὕτως εἶπεν· ἐν οἷς ἀργοῦντες εἰθίσμεθα σχήμασιν ἕκαστον τοῦ σώματος μόριον ἔχειν, αἱρετέα ταῦτά ἐστι καὶ κατὰ τὰς θεραπείας. εὔδηλον γὰρ ὡς ὁ πρῶτος σκοπὸς τῶν ἐπιτηδείων σχημάτων ἐστὶν ἡ ἀνωδυνία. ταύτην οὖν εὔδη-

λον ὡς οὐδεὶς τῶν ἀργούντων ὑπερβὰς ἐν ἄλλῳ ἂν σχήματι τὸ πλεῖστον μέρος τοῦ χρόνου σχηματίσαι τὸ μόριον. ἐὰν οὖν ἐπισκέψῃ τοὺς ἀργοῦντας ἀνθρώπους, εὑρήσεις ὡς ἐπὶ τὸ πολὺ τὰς χεῖρας κατατεθειμένας οὐκ ἀκριβῶς μέσας ἐκτάσεως ἄκρας καὶ κάμψεως ἐσχάτης, ἀλλ' ἐπὶ τὴν ἔκτασιν ἐῤῥεπούσας. τὸ δὲ αὐτὸ συμβέβηκε καὶ κατὰ τὴν ἑτέραν ἀντίθεσιν τῶν σχημάτων. ἐν γὰρ τῷ κεκμηκότες ἀναπαύεσθαι μάλιστα αἱρούμενοι ἅπαντες ἄνθρωποι τὸ ἀνωδυνώτατον σχῆμα πρὸς μὲν τὸ μέσον ἔρχονται τοῦ τε ἀκριβῶς ὑπτίου καὶ τοῦ πρηνοῦς ἐσχάτως,ἐκκλίνουσι δὲ βίᾳ βραχὺ πρὸς τὸ πρηνές. ὁ μὲν οὖν Ἱπποκράτης εἰ ταῦτα δηλοῦν βουλόμενος προσέθηκε τὸ 'ἐγγὺς', οὐκ ἔχω διατείνεσθαι· τὸ μέντοι τῶν σχημάτων τῆς χειρὸς ἁπάντων ἀνωδυνώτατον εἶναι τὸ νῦν ὑπ' ἐμοῦ λεγόμενον ἀκριβῶς οἴδασιν ὅσοι τρίβωνές εἰσι τῶν τοιούτων ἔργων τῆς τέχνης, ἀκούοντές τε τὸν λόγον τοῦτον οἵδε γνωρίζουσι τὴν κατ' αὐτὸν ἀλήθειαν. δυοῖν γὰρ ἔχεσθαι δεῖ τὸν ἐξηγούμενον ὁτιοῦν σύγγραμμα, τῆς τε τοῦ συγγραφέως γνώμης καὶ τῆς τοῦ λεγομένου πράγματος ἀληθείας. ἐν οἷς οὖν ἄδηλός ἐστι διὰ τὴν ἀσάφειαν ἡ τοῦ συγγραφέως γνώμη, τό γε ἀληθὲς χρὴ φυλάττειν· οὕτως γὰρ καὶ τοὺς μανθάνοντας ὠφελεῖσθαι συμβήσεται. Τοῦτον οὖν τὸν σκοπὸν ἐν ἁπάσαις ταῖς ἐξηγήσεσι πειρῶμαι φυλάττειν· ἔνιοι δὲ τῶν ἐξηγητῶν, οὐδ' ἂν ἐθελήσωσι, τυχεῖν αὐτοῦ δύνανται, τῶν μὲν ἔργων τῆς τέχνης ἀπείρως ἔχοντες, ἐπὶ δὲ τὸ σοφιστικὸν εἶδος ἐκτρεπόμενοι καὶ γεγονότες οἱ καλούμενοι λογίατροι, δι' οὓς καὶ οἱ καλῶς χρώμενοι τῷ λόγῳ παρὰ τοῖς ἰδιώταις ὑποπτεύονται. Τούτων μὲν δὴ χρὴ μεμνῆσθαι, οὐκ ὀλίγον εἰς τὸν λόγον συμβαλλομένων· μεταβαίνειν δὲ ἤδη

καιρὸς ἐπὶ τὰ συνεχῆ τῆς προκειμένης ῥήσεως. ὥσπερ τοῦ ἐγγωνίου, οὕτω καὶ τοῦ τε ὑπτίου καὶ τοῦ πρηνοῦς ἀνωδυνώτατόν ἐστιν ἐκεῖνο ᾧ πλεῖστον χρόνον τοῦ βίου συνειθισμένοι σχεδὸν ἅπαντές εἰσι· προσχωρεῖ δὲ καὶ τοῦτο τῷ τῆς ἐκτάσεως· ἐν τούτῳ γὰρ τῷ σχήματι πλεῖστον χρόνον ἔχειν δυνάμεθα τὰ σκέλη μὴ μεταβάλλοντες. ὅτι δέ ποτε ἀναγκαῖόν ἐστι, καὶ τοῦτο τὸ σχῆμα μεταλλάττειν εἰς ἕτερον ἧττον ἀνώδυνον, ἐπεὶ ἐν τοῖς περὶ μυῶν ὑπομνήμασι δέδεικταί μοι ἡ τῆς τοιαύτης ἀνάγκης αἰτία, ἤδη οὐκ ἀποδείξεως, ἀλλ' ἀναμνήσεως χρήζει, καθάπερ γε καὶ ὅτι διὰ ταχέων ἐπανερχόμεθα πάλιν ἐπ' αὐτό. τὴν δ' αἰτίαν οὐκ ἀναγκαῖον νῦν λέγεσθαι, μακροτέρου λόγου δεομένην· ἄμεινον γὰρ ἀντὶ τοῦ τὴν αἰτίαν εἰπεῖν, ἕτερόν τι χρησιμώτερον τοῖς νέοις ὑφηγήσασθαι, μετὰ τοῦ φυλάττειν ἀκριβῶς τὴν Ἱπποκράτους γνώμην, καταλελεγμένην πρὸς ἡμῶν ἐν τοῖς περὶ μυῶν κινήσεως γράμμασιν. ἐν γὰρ τῇ τοῦ βραχίονος πρὸς τὸν πῆχυν διαρθρώσει τὸ κατὰ φύσιν ἐστὶ σχῆμα τὸ μέσον τῶν ὑπερβολικῶν ἑκατέρως, καθ' ἃ μήτε ἐκτεῖναι μήτε κάμψαι μᾶλλον ἔτι δυνάμεθα. καὶ φαίνεταί γε, τυγχανόντων τῆς σαρκὸς τῶν ὀστῶν γεγυμνωμένων, ἡ τοῦ πήχεως βαθμὶς, ἣν ὁρίζουσιν αἱ δύο κορῶναι, πεπληρωμένη δικαίως ὑπὸ τῆς γιγγλυμοειδοῦς τοῦ βραχίονος περιφερείας, ἣν μέσην περιλαμβάνουσιν οἱ κόνδυλοι, κατὰ δὲ τὰς ἐσχάτας ἐκτάσεις ἡ ὄπισθεν κορώνη τοῦ πήχεως εἰς τὴν ὀπίσω βαθμίδα τοῦ βραχίονος ἐμβαίνουσα, καθάπερ ἡ πρόσθεν ἐν ταῖς ἐσχάταις καμπαῖς εἰς τὴν πρόσθεν καὶ ὅσοι φύσει βαθυτέραν ἔχουσι τὴν ὀπίσω κοιλότητα, πλέον τῆς ἄκρας ἐκτάσεως εἰς τὴν ἐκτὸς χώραν ἀπάγουσι τὸν πῆχυν, ὥσπερ αὖ πάλιν ὅσοι

τοῦ προσήκοντος ἐνδεεστέραν, οὐκ ἀκριβῶς ἐκτείνουσιν. ὡς δὲ αἱ κατασκευαὶ τῆς διαρθρώσεως οὐχ ὅμοιαι πᾶσίν εἰσιν, οὐδὲ ἀκριβῶς οἱ ὅροι τῆς ἐκτάσεως ἐπὶ πάντων οἱ αὐτοί, οὕτως οὐδὲ ἡ μεσότης ἡ αὐτὴ πᾶσιν ἔσται. ὅταν οὖν τὸ μέσον ἄκρας ἐκτάσεως καὶ κάμψεως σχῆμα κατὰ φύσιν εἶναι λέγωμεν, οὐ κατηκριβωμένως, ἀλλ' ἐν πλάτει νοῆσαί σε χρὴ τὸ μέσον τοῦτο. καλεῖ δὲ ὁ Ἱπποκράτης αὐτὸ *'κοινόν*. ἀλλ' ὥσπερ ἀδύνατόν ἐστι κατὰ τὸ ἀκριβέστατον ἐν μέσῳ σχήματι καθιστάναι τὴν χεῖρα, καθ' ὃ μηδὲ βελόνης πάχος ἀφελεῖν ἢ προσθεῖναι δυνατόν ἐστιν, οὕτως αὖ οὐ χρὴ τοῦ μέσου τοῦδε πόῤῥω σχηματίζειν τὴν χεῖρα. κατὰ τοῦτο γὰρ ὁ τεχνικὸς στοχασμὸς τοῦ μὴ τεχνικοῦ διαφέρει, τοῦ μὲν τεχνικοῦ πλησίον ἀφικνουμένου τῆς ἀκριβοῦς συμμετρίας, τοῦ δὲ ἰδιώτου πλεῖστον ὅσον ἐνίοτε σφαλλομένου. δύναιτο ἂν οὖν καὶ κατὰ τοῦτο ὁ Ἱπποκράτης συμβουλεύειν τὸ ἐγγὺς τοῦ ἐγγωνίου σχήματος φυλάττειν, ἐγγώνιον μὲν καλῶν τὸ κατ' ὀρθὴν γωνίαν, ἀξιῶν δὲ στοχαζομένους ἡμᾶς αὐτῆς μὴ πόῤῥω τῆς ἀκριβοῦς ἀφικνεῖσθαι συμμετρίας. Ὃ δὲ ἔφην ἐγὼ διδάξειν τοὺς νέους χρησιμώτατον ἐς τὰ παρόντα, καὶ δὴ φράσω· μεγίστην ἐν πᾶσι τοῖς κατ' ἰατρικὴν, δύναμιν ἔχει τὸ ἔθος, ὡς ἐπίκτητον αὐτὸ φύσιν ὑπὸ τῶν μεγίστων ἰατρῶν ὠνομάσθαι. φαίνεται δὲ καὶ Ἱπποκράτης ἐν τοῖς ἀναγκαιοτάτοις σκοποῖς ἀεὶ τιθέμενος αὐτὸ καὶ δύναμιν ἐνδείξεως ἀπονέμων αὐτῷ δευτέραν, ἐπὶ προτέρᾳ δηλονότι τῇ τῆς φύσεως αὐτῆς. πλησίον μὲν οὖν τοῦ κατὰ φύσιν σχήματος χρὴ, μὴ μὴν τὴν αὐτὴν ἀκριβῶς ἰδέαν ἐπὶ πάντων τῶν καμνόντων ποιεῖσθαι, ἀλλ' ὑπαλλάττειν αὐτὴν ἐφ' ἑκάστου τοῖς ἔθεσιν ἑπόμενον οἰκείως. ἐνίους γὰρ ὁρῶμεν δι' ὅλης ἡμέρας καθημένους, ὅσοι

τέχνας ἑδραίας ἔχουσιν,· ἐνίους δὲ ἑστῶτας ἢ βαδίζοντας. εὔλογον οὖν ἔδοξέ μοι μᾶλλον ἐκτεταμένον σχηματίζειν τὸ σκέλος ἐφ' ὧν εἴθισται πλεῖστον χρόνον τοῦτο ἔχειν τὸ σχῆμα,· καθάπερ καὶ ἧττον ἐκτεταμένον ἐφ' ὧν δι' ὅλης ἡμέρας κέκαμπται. καὶ τῇ πείρᾳ μεταβασανίσας αὐτὸ τοιοῦτον εὗρον ὑπάρχειν ὁποῖον καὶ ἤλπισα. καὶ περὶ τῶν χειρῶν κατὰ τὸν αὐτὸν λόγον, δεῖ μὲν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος σχηματίζειν αὐτάς, ἀλλ' εἰς τὸ μᾶλλόν τε καὶ ἧττον ἐκ τῶν ἐθῶν λαμβάνειν τὴν ἔνδειξιν. ἐπεὶ δὲ καὶ διὰ τῆς πείρας ἁπάσας τὰς λογικὰς οἱ ἄνθρωποι ἐπινοίας κρίνουσι, μαρτύρων ἐδεῖτο τὸ πρᾶγμα, καίπερ βεβαίαν ἤδη τὴν πρόγνωσιν ἔχον, ὁμολογούντων εὖ ὀνήσασθαι τῆς αὐτοῦ εὑρέσεως. ὑπὸ πάντων οὖν τῶν φίλων βασανισθὲν τὸ θεώρημα βέβαιον ἤδη γέγονε χρησιμώτατον ὂν εἰς τὰ τοιαῦτα. καὶ τὸν Ἱπποκράτην τοίνυν εἴπωμεν ὑπαλλάττειν μὲν ἀξιοῦν τὸ ἀκριβὲς ἐγγώνιον σχῆμα κατὰ τὴν διαφορὰν τῶν ἐθῶν, τὴν ἀλλαγὴν δὲ βραχεῖαν ποιεῖσθαι, τουτέστιν ἐγγὺς τοῦ ἐγγωνίου σχήματος.

ΚΒ'.

Ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὁμαλῶς ἕξουσιν ἐς ἕξιν ἢ θέσιν μύες, φλέβες, νεῦρα, ὀστέα, ᾗ μάλιστα εὔθετα καὶ εὔσχετα.

Ταῦτα καὶ πρόσθεν εἴρηται, καὶ ἂν παντελῶς αὐτὰ περιέλῃ τις, οὐδὲν ἡ διδασκαλία βλαβήσεται. συμβαίνει δὲ ἐν τοῖς τοιούτοις βιβλίοις ὅσα πολλῶν πραγμάτων ἑρμηνείαν ἔχει διὰ βραχείας λέξεως, ἄλλως καὶ ἄλλως ἐνίοτε τὸν συγγραφέα τὰ αὐτὰ πράγματα γράφειν, πρὸς ἑαυτὸν σκοπούμενον ἤ τινι

λέξει χρήσεται μᾶλλον· εἶθ' εὑρόντα τὸν βιβλιογράφον ἐνίας μὲν αὐτῶν ἐν τοῖς μετώποις, ἐνίας δὲ καὶ κατὰ τοῦ νώτου, πάσας ἐγγράψαι τῷ ἐδάφει τοῦ συγγράμματος, ἐν ᾗ μάλιστα τάξει δόξουσιν εὐλόγως ἐγκεῖσθαι. Τὸ γοῦν κατὰ τὴν προκειμένην λέξιν δηλούμενόν ἐστι τοιοῦτον· πλείονας ἔφην εἶναι καιροὺς τῷ θεραπευομένῳ· πρῶτον, ἐν ᾧ παραγίγνεται πρὸς τὸν ἰατρὸν, ἐν τινὶ σχήματι πάντως ἔχων τὸ πεπονθὸς μέρος· εἶθ' ἑξῆς ἄλλον, ἐν ᾧ κατασκοπεῖσθαι τοῖς ἰατροῖς ἑαυτὸν παρέχει, γνωσομένοις τί τε τὸ συμβεβηκὸς αὐτῷ πάθημά ἐστι καὶ τίνος δεῖται παρασκευῆς εἰς θεραπείαν· εἶθ' ἑξῆς ὁ τῆς τούτων παρασκευῆς χρόνος· καὶ μετ' αὐτὸν ὁ τῆς διατάσεως· εἶτα μετὰ τοῦτον ἐπὶ μὲν τῶν καταγμάτων ὁ τῆς διαπλάσεως, ἐπὶ δὲ τῶν ἐξαρθρημάτων ὁ τῆς ἐμβολῆς· εἶθ' ὁ τῆς ἐπιδέσεως μετὰ τοῦτον· ὕστατος δὲ πάντων ὁ τῆς ἀναλήψεως μὲν ἐπὶ χειρὸς, ἀποθέσεως δὲ ἐπὶ σκέλους καὶ τῶν κατὰ νῶτα καὶ κεφαλὴν χωρίων. Ἕξιν οὖν εἴρηκεν ἐν τῇ προκειμένῃ λέξει τὴν ἐν τῷ μετὰ τὴν ἐπίδεσιν καιρῷ κατάστασιν τῶν ἐπιδεδεμένων. ἀντιδιήρηκε δὲ αὐτῇ τὴν θέσιν ἢ ἀπόθεσιν, ἐπὶ τριῶν γιγνομένην, ἅπερ ἐστὶ τὰ σκέλη καὶ ἡ κεφαλὴ καὶ ἡ σύμπασα ῥάχις· τὴν ἕξιν ἀκουόντων ἡμῶν ἐπὶ τῶν ἄλλων, οἷον ἐπί τε κλειδῶν καὶ χειρῶν καὶ πλευρῶν ἀκρωμίου τε καὶ ὠμοπλάτης καὶ γένυος ἑκατέρας καὶ εἴ τι ἄλλο τοιοῦτον. βούλεται ἄρα ἐν τῇ μεταβολῇ ἐπὶ τῶν εἰρημένων καιρῶν τὰ πεπονθότα μόρια, τὰ μὲν κεῖσθαι καλῶς, ὅσα δὴ δύναται τίθεσθαι, τὰ δὲ ἔχεσθαι καλῶς, ἃ μὴ δύναταί γε τίθεσθαι, εὔθετα μὲν ὀνομάσας τὰ εὖ τεθειμένα, εὔσχετα δὲ τὰ ἄλλα. τὰ μὲν γὰρ ἄλλα κατὰ τοὺς εἰρημένους καιροὺς ἑτέρῳ ἐστὶν ἕτερα, κοινὸν δὲ ἐν πᾶσιν ἓν τοῦτό

γ' ἐστι, τὸ κατὰ φύσιν σχῆμα τοῦ μέρους. ἀποβλέπειν οὖν εἰς τοῦτό γε κελεύει στοχαζόμενον τοῦ τελευταίου καιροῦ, διὰ τὸ τηνικαῦτα τὴν ἐπίδεσιν φυλάττεσθαι δεῖν πλείονα χρόνον. ἐὰν γὰρ ἐν ἄλλῳ σχήματι τὴν ἐπίδεσιν ποιησάμενοι μεταβάλλωμεν εἰς ἄλλο κατὰ τὸν ὕστατον καιρὸν, ἡ θέσις ὑπαλλαχθήσεται τῶν μυῶν καὶ τῶν νεύρων καὶ τῶν φλεβῶν, καὶ οὔτε εὔθετα οὔτε εὔσχετα ἔσται, τουτέστιν οὔτε καλῶς ἀποκείμενα, οὔτε καλῶς ἀνειλημμένα.

ΚΓ'.

16. *Διάτασις, μάλιστα τὰ μέγιστα καὶ πάχιστα,· καὶ μᾶλλον ὅκου ἀμφότερα· δεύτερα ὧν τὸ ὑποτεταγμένον· ἥκιστα ὧν τὸ ἄνω·*

Ἡ διάτασις, φησὶ, μάλιστα ἐνεργεῖται κατ' ἐκεῖνα τὰ μόρια καθ' ἃ μέγιστα καὶ πάχιστά ἐστι τὰ ὀστᾶ καὶ τὰ περὶ αὐτὰ σώματα, τουτέστιν οἱ μύες· οὗτοι γάρ εἰσιν οἱ μάλιστα κατατείνεσθαι δεόμενοι, ὅτι καὶ μάλιστα ἀνασπᾶσθαι πεφύκασιν ἐπὶ τὰς ἑαυτῶν κεφαλάς. ἔστι δὲ τοιοῦτον μόριον ὁ μηρὸς, εἶθ' ἑξῆς βραχίων καὶ κνήμη, καὶ μετὰ ταῦτα ὁ πῆχυς, εἶτα τὰ κατ' ἄκραν χεῖρα καὶ πόδα, · ἐξαιρουμένων ἐν τῷ παρόντι τῶν κατὰ ῥάχιν. ἀλλὰ *καὶ ὅκου*, φησὶν, *ἀμφότερα* τὰ ὀστᾶ πέπονθε, *μᾶλλον* χρὴ διατείνειν, ὡς ἐπὶ πήχεως καὶ κνήμης· *ἥκιστα δὲ*, τουτέστιν ἐλάχιστα καὶ μετριώτατα, *ὧν τὸ ἄνω*, καθάπερ ἐπὶ χειρὸς ἡ κερκίς. Ἅπαντα δὲ ταῦτα, ὡς ἔφην, ἐν τῷ Περὶ ἀγμῶν ἐξείργασται.

ΚΔ'.

μᾶλλον δὲ τοῦ μετρίου, βλάβη· πλὴν παιδίων. Ἐγχειρέειν αὐτῇ κατὰ σμικρόν.

Ἡ μὲν ἧττον τοῦ συμμέτρου γιγνομένη διάτασις, ἐάν τε ἐπὶ καταγμάτων, ἐάν τε ἐπὶ ἐξαρθρημάτων, μόνην ἀποτυχίαν φέρει διαπλάσεως μὲν ἐπὶ τῶν καταγμάτων, ἐμβολῆς δὲ ἐπὶ τῶν ἐξαρθρημάτων· οὐ μὴν βλάβην ἰδίαν ἔχει· ἡ δὲ αὖ μᾶλλον τοῦ συμμέτρου ἐνεργουμένη, καθὰ ὀδυνηρὰ, φλεγμονάς τε ἐξ ὑστέρου καὶ πυρετοὺς καὶ σπασμοὺς, ἐνίοτε δὲ καὶ παραλύσεις ἐπιφέρει· καθάπερ Ἐρασίστρατος ἑωρακέναι φησὶν ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου, διαταθέντος ἐπὶ πλέον. ἧττον δὲ οἱ παῖδες τῶν ἄλλων ἐπὶ τῇ πλεονασθείσῃ τάσει βλάπτονται διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων· ὡς γὰρ οἱ ἱμάντες, οἱ μὲν ὑγροὶ καὶ μαλακοὶ ἀλύπως ἐπὶ πλέον ἐκτείνονται, ῥήγνυνται δὲ οἱ σκληροὶ καὶ ξηροὶ, κατὰ τὸν αὐτὸν τρόπον καὶ οἱ μύες καὶ τὰ νεῦρα, τὰ μὲν ὑγρὰ καὶ μαλακὰ ῥᾳδίως ὑπακούοντα ταῖς τάσεσιν οὔτε ὀδυνᾶται σφοδρῶς οὔτε ἀποῤῥήγνυται, τὰ δὲ σκληρὰ καὶ ξηρὰ διὰ τὸ μὴ δύνασθαι χωρὶς μεγάλης βίας ἐκταθῆναι σφοδρὰς ὀδύνας ἐπιφέρει οὐ μόνον κατὰ τὰς ὑπερβαλλούσας τάσεις, ἀλλὰ καὶ κατὰ τὰς συμμέτρους. ἐν αὐτῷ δὲ τούτῳ καὶ σπῶνται καὶ ἀποῤῥήγνυνται μυῶν καὶ νεύρων ἶνες. οὔκουν τούτων τι γίγνεται τοῖς παιδίοις, οὐδὲ αὐταῖς ἀκολουθοῦσι φλεγμοναὶ καὶ δι' αὐτὰς πυρετοὶ καὶ παραφροσύναι καὶ σπασμοὶ καὶ παραλύσεις. αὐτὸς μὲν οὖν ἐπὶ παιδίων ἐποιήσατο τὸν λόγον, ἡμᾶς δὲ δεῖ μεταφέρειν αὐτὸν καὶ ἐπὶ εὐνούχους τε καὶ γυναῖκας καὶ τοὺς ἐκ φύσεως ἢ ἐ-

θους ὑγρούς τε καὶ μαλακοσάρκους· αἱ τοιαῦται γὰρ κράσεις τῶν σωμάτων ὑπακούουσί τε τῇ τάσει ῥαδίως, οὐδεμία τε βλάβη μεγάλη δι' αὐτὸ τοῦτο, κἂν πλεονασθῶσιν, ἀκολουθεῖν αὐταῖς εἴωθεν. ὅσοις δὲ δι' ἔθος ἢ φύσιν ἐσκλήρυνται τὸ σῶμα, μόγις μὲν ὑπακούουσι τῇ τάσει,· καὶ διὰ τοῦτο καὶ ἧττον τούτους κατατείνεσθαι δεῖν πρὸς τῶν ἰατρῶν αὐτὸς ἔφη, μεγάλας δὲ καὶ τὰς βλάβας ἴσχουσιν ἐπὶ ταῖς ἀμετροτέραις τάσεσιν.

'Εγχειρέειν αὐτῇ κατὰ σμικρόν. καὶ τοῦτο ὁμοίως τοῖς πρὸ τούτου διὰ διττὴν αἰτίαν εἴρηται, ἀσφαλείας τε ἕνεκα καὶ τοῦ μὴ πονεῖν τὰ πεπονθότα μόρια· ἡ γὰρ εὐτονία διὰ τὴν ὀδύνην βλαβερά.

ΚΕ'.

Διορθώσιος παράδειγμα τὸ ὁμώνυμον, τὸ ὁμόζυγον, τὸ ὅμοιον, τὸ ὑγιές.

Οὐχ ὁμώνυμον, ἀλλὰ συνώνυμον εἰρῆσθαι βέλτιον ἦν, εἴ γε ἄνθρωπος ἀνθρώπῳ συνώνυμός ἐστι καὶ Ἱπποκράτης Ἱπποκράτει καὶ κύων χερσαῖος κυνὶ χερσαίῳ, καθάπερ ὁ θαλάττιος τῷ θαλαττίῳ. ὅσα μὲν γὰρ τῶν ὀνομάτων ἓν εἶδος ἐν πολλοῖς τῶν κατὰ μέρος σημαίνει, συνωνύμως ἐπ' αὐτῶν λέγεται· ὅσα δὲ ἐπὶ διαφερόντων κατηγορεῖται, ταῦτα ἔθος ἡμῖν ἐστι λέγειν ὁμωνύμως κατηγορεῖσθαι· τὰ δὲ ὑποκείμενα, τὰ δηλούμενα πρὸς αὐτῶν, ὁμώνυμα ὑπάρχει· καὶ ἡ χεὶρ οὖν τῇ χειρὶ ταὐτὸν εἶδος ἔχουσα οὐχ ὁμωνύμως, ἀλλὰ συνωνύμως χεὶρ λέγεται. Τοῦτο μέν τοι τὸ ὀνοματίζειν οὐ μεγάλης ἐστὶν ἄξιον σπουδῆς, τὰ δ' ἐφεξῆς αὐτῇ τῇ τέχνῃ διαφέρει· κελεύει γάρ σε διορθοῦντα τὰ πεπονθότα σώματα παραδεί-

γματι χρῆσθαι τῷ ὁμωνύμῳ καὶ ὁμοζύγῳ καὶ ὁμοίῳ καὶ ὑγιεῖ· ὁμωνύμῳ μὲν ἐν τῷ παραβάλλειν βραχίονα βραχίονι καὶ πῆχυν πήχει καὶ μηρὸν μηρῷ καὶ κνήμην κνήμῃ, ὁμοζύγῳ δὲ, καθ' ἕνα καὶ τὸν αὐτὸν ἄνθρωπον, οὐκ ἄλλον, ὅπερ κἀν τῷ Περὶ ἄρθρων ἐδήλωσεν εἰπὼν '*μὴ τὰ ἀλλότρια ἄρθρα καθορέοντα*.. προστίθησι δὲ τῷ ὁμοζύγῳ τὸ ὅμοιον. ἐνδέχεται γὰρ ὁμόζυγον μὲν εἶναι τὸ παραβαλλόμενον, μὴ μὴν ὅμοιόν γε. πολλάκις γὰρ ὁ ἕτερος βραχίων ἠτρόφησε κατά τινα διάθεσιν, ἢ ἀπόστασιν ἔσχεν, ἢ βλαισὸν τὸ σκέλος ἢ ῥαιβὸν ἐγένετο. διὸ καὶ πάλιν ἐπήνεγκε τὸ '*ὑγιὲς*., οὐκ ὀκνήσας διττῶς εἰπεῖν τὸ δυνάμει ταὐτὸ, ἕνεκα τοῦ μηδὲν ἡμᾶς παρακοῦσαι. τὸ γὰρ ὁμόζυγον ὑγιὲς πάντως ἐστὶν, ἂν ὅμοιον ᾖ, πλὴν εἰ μὴ ἀμφότερα φανείη κατὰ τὸν αὐτὸν τρόπον πεπονθέναι· ἐπεὶ τότε γε οὐκ ἀρκέσει μόνον τὸ ὅμοιον εἰπεῖν, ὡς ἐν ἑαυτῷ ἔχον καὶ τὸ ὑγιὲς, ἀλλὰ δεησόμεθα τῷ ὁμοίῳ προσθεῖναι τὸ ὑγιές. ἴσως δὲ, ἀμφοτέρως γεγραφότος αὐτὸ τοῦ Ἱπποκράτους, ὡς ἐν ἄλλοις, συνέβη τὸν βιβλιογράφον οὐ μόνον τὸ ἕτερον, ἀλλὰ ἀμφότερα ἐγγράψαι τῷ ἐδάφει.

ΚΣΤ'.

17. *Ἀνάτριψις δύναται λῦσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι· ἡ σκληρὴ δῆσαι· ἡ μαλακὴ λῦσαι· ἡ πολλὴ μινυθῆσαι· ἡ μετρίη παχῦναι.*

Δῆσαι μὲν λέγει τὸ πυκνῶσαι, λῦσαι δὲ τὸ ἀραιῶσαι καὶ μαλακῦναι, μινυθῆσαι δὲ τὸ ἰσχνᾶναι. τὴν μὲν οὖν σκληρὰν τρῖψιν εἰκὸς δήπου καὶ τὴν τριβομένην σάρκα παραπλησίαν ἑαυτῇ ποιεῖν ἐν τῷ πιλεῖν τε καὶ θλίβειν αὐτήν· οὕτως δὲ καὶ τὴν μαλακὴν τρῖψιν ὁμοίαν ἑαυτῇ καὶ τὴν σάρκα κατα-

σκευάζειν, ὡς ἂν τῇ σκληρᾷ τἀναντία δρῶσαν. τὴν δὲ πολλὴν διαφερόντως ἐπὶ πλέον ἰσχναίνειν εὔλογον· ἀνατρέφειν δὲ καὶ σαρκοῦν οὐχ ἁπλῶς τὴν ἀντικειμένην τῇ πολλῇ, τὴν ὀλίγην, ἀλλὰ τὴν μετρίην· ὅπερ εἶπε καὶ πρόσθεν ἐπὶ τῆς τοῦ θερμοῦ ὕδατος χρήσεως. ἡ γὰρ παντελῶς ὀλίγη τρίψις ὁμοίως τῇ βραχείᾳ καταχύσει τοῦ ὕδατος οὐδὲν αἰσθητὸν ἐργάζεται. μέχρι τοσούτου τοίνυν χρὴ τρίβειν ἕνεκα σαρκώσεως, ἄχρι περ ἂν ἐκφανῇ τὰ αὐτὰ γνωρίσματα τοῖς ἐπὶ τῆς μετρίας καταχύσεως εἰρημένοις ἐν τῇ λέξει καθ' ἥν φησιν *ἔτι μετεωριζομένου δεῖ, πρὶν συμπίπτειν, παύσασθαι· τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται...* ὅτι δ' οὐδὲν λείπει περὶ τῶν ἔργων τῆς ἀνατρίψεως, ἐν τῷ δευτέρῳ τῶν ὑγιεινῶν ἐπιδέδεικταί μοι. γιγνώσκειν μέντοι χρὴ καὶ τοῦτο τὸ τοῖς πολλοῖς ἀγνοούμενον, ὡς οὐ τὴν ἐκ τῶν κάτω μερῶν ἄνω γιγνομένην τρίψιν ἀνάτριψιν ὀνομάζουσιν οἱ Ἕλληνες, ἀλλ' ἅπασαν ἁπλῶς ἂν ἐπιτελουμένην· καὶ σπάνιόν γέ ἐστι τὸ τῆς τρίψεως ὄνομα παρ' αὐτοῖς εὑρεῖν· ἀνάτριψιν γὰρ ἔθος ἐστὶν αὐτοῖς ὀνομάζειν, ὃ νῦν ἡμεῖς τρίψιν καλοῦμεν.

ΚΖ'.

18. *Ἐπιδεῖν δὲ, τὸ πρῶτον ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος, ἥκιστα τὰ ἄκρα· ἡρμάσθαι δὲ, μὴ πεπιέχθαι· πλήθεϊ, μὴ ἰσχύϊ· τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον, τὴν δ' ὑστέρην ἧσσον· τρίτῃ χαλαρά. Εὑρεθήτω δὲ τῇ μὲν ὑσταραίῃ ἐν ἄκροισιν οἴδημα μαλθακόν· τῇ τρίτῃ δὲ τὸ ἐπιδεθὲν λυθὲν ἰσχνότερον. παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. Τῇ δὲ ὑστεραίῃ ἐπιδέσι ἣν δικαίως ἐπιδεδεμένον φανῇ μαθεῖν*

θεῖ· ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσι πιεχθήτω· τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλέοσιν. Τῇ δὲ ἑβδόμῃ ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα εὑρεθήτω ἰσχνὰ, χαλαρὰ τὰ ὀστέα. Ἐς δὲ νάρθηκας δεθέντα, ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐᾶν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος· ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν τῷ μέσῳ. Νάρθηκας διὰ τρίτης ἐρείδειν.

19. *Ἡ ἀνάληψις, ἡ θέσις· ὡς ἐν τῷ αὐτῷ σχήματι διαφυλάσσειν.*

Ἕρματα μὲν ὅ,τι λέγουσιν οἱ Ἕλληνες εὔδηλόν ἐστι κἀκ τοῦ παρὰ τοῦ ποιητοῦ λεχθέντος οὕτω·

» ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν «·

ἀνάλογον δὲ αὐτῷ τὸ ἠρμάσθαι τὸ οἷον ἐρηρεῖσθαι καὶ ἐστηρίχθαι δηλοῖ. τοῦτ' οὖν διὰ τοῦ πλήθους τῶν ὀθονίων μᾶλλον ἢ τῆς ἰσχύος γίγνεται· κελεύει δὲ ἰδίως τὴν ἐκ τῆς ἐπιδέσεως θλίψιν φυλάττεσθαι. εἴρηται δὲ καὶ περὶ τοῦδε καὶ περὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὴν προκειμένην ῥῆσιν καὶ τὰ ἐφεξῆς γέγραπται, τελεώτατα διά τε τοῦ Περὶ ἀγμῶν καὶ τοῦ Περὶ ἄρθρων· καὶ μεταφέρειν εἰς τόδε τὸ βιβλίον ὅσα τελέως ἐν ἐκείνοις εἴρηται, οὐχ ἡγοῦμαι προσήκειν. ὑπερβὰς τοίνυν αὐτὰ, καὶ γὰρ σαφῶς εἴρηται τοῖς ἀνεγνωκόσι τὰ περὶ ἀγμῶν καὶ περὶ ἄρθρων, ἐπὶ τὰ συνεχῆ τρέπομαι.

ΚΗ'.

Κεφάλαια σχημάτων, ἔθεα, φύσιες ἑκάστου τῶν μελέων· τὰ εἴδεα, ἐκ τοῦ τρέχειν, ὁδοιπορέειν, ἑστάναι, κατακεῖσθαι, ἐκ τοῦ ἔργου, ἐκ τοῦ ἀφεῖσθαι.

Εὔδηλον κἀκ ταύτης τῆς ῥήσεως ὅτι τὸ βιβλίον τοῦτο

γεγραμμένον ἐν τύποις ἐξεδόθη μετὰ τὸν τοῦ γράψαντος αὐτὸ θάνατον· εἰώθασι γὰρ οἱ τὰ τοιαῦτα ἐκγράφοντες τὰ διττῶς ὑπὸ τοῦ συγγραφέως γραφέντα ἢ ἐν τῷ μετώπῳ ἢ ἔξωθεν ἕνεκα τοῦ διασκέψασθαι, ποτέρῳ ἄμεινον τὴν αὐτοῦ γνώμην ἑρμηνεύσει, ταῦτα ἐγγράφειν αὐτῷ τῷ συγγράμματι. τίς γὰρ πιστεῦσαι δύναται δὶς αὐτὸν τὰ αὐτὰ γράψαι βουληθῆναι ἐν τούτῳ τῷ βιβλίῳ, μηδεμιᾶς ἀνάγκης εὐλόγου γενομένης· ἔτι τε μᾶλλον ἐν ᾧ βραχυλογίαν ἐσχάτην ἐπετήδευσεν. ἀλλ' ἐπειδὴ τοῖς πρὸ ἡμῶν ἔδοξε καὶ τὰ τοιαῦτα ἐξηγεῖσθαι, καὶ ἡμεῖς αὐτοῖς ἠκολουθήσαμεν. Ὅτι μὲν οὖν τὰ *κεφάλαια* τῶν σχημάτων ἐν ἴσῳ τῶν σκοπῶν εἴρηκεν, εἰς οὓς ἀποβλέποντες εὑρήσομεν ἐφ' ἑκάστῳ μέρει τὸ οἰκεῖον αὐτῷ σχῆμα, πρόδηλόν ἐστι. καὶ μέν τοι καὶ ὅτι τὰ ἔθη τῶν σκοπῶν τούτων εἷς ἐστιν, εἴρηται πρόσθεν ἐν τῇδε τῇ ῥήσει· *Πάρεξις δὲ καὶ διάτασις καὶ ἀνάπλασις καὶ τἆλλα κατὰ φύσιν. Φύσις δὲ, ἐν μὲν ἔργοις, τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον· ἐς δὲ ταῦτα, ἐκ τοῦ ἐλινύοντος, ἐκ τοῦ κοινοῦ, ἐκ τοῦ ἔθεος· ἐκ μὲν τοῦ ἐλινύοντος καὶ ἀφειμένου τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός· ἐκ δὲ τοῦ κοινοῦ ἔκτασιν, ξύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα· ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν· ἀπὸ τούτων γὰρ ῥήιστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα.* ταῦτα γεγραφὼς ὁ ἀνὴρ πῶς οὖν αὖθις ἔγραψεν αὐτῶν φαυλότερα κατὰ τὴν προκειμένην ῥῆσιν; προειπὼν γὰρ ἐν αὐτῇ *ἔθεα τε καὶ φύσιας ἑκάστου τῶν μελέων*, ἑξῆς *τὰ εἴδεα*, τουτέστι τὰς διαφορὰς αὐτῶν, ἐξ ἐνεργειῶν τινων γνωρίζεσθαι βούλεται. Τινὲς δὲ καὶ προσέγραψαν τῷ *τὰ εἴδεα τῶν με-*

λέων.' ἵνα ἡ λέξις οὕτως ἔχοι' 'τὰ εἴδεα τῶν μελέων.. περὶ γοῦν σκελέων ὡς ἐπὶ παραδείγματος ἔφη' '*ἐκ τοῦ τρέχειν*, *ὁδοιπορέειν*, *ἱστάναι*.' καὶ μετὰ ταῦτα προσέθηκεν '*ἐκ τοῦ κατακεῖσθαι*,, 'ὅπερ ταὐτὸν ἔσται τῷ προγεγραμμένῳ ῥήματι, τῷ ἐλινύειν. καὶ μέν τοι καὶ πάλιν ἐφεξῆς τούτων εἰπὼν '*ἐκ τοῦ ἔργου καὶ τοῦ ἀφεῖσθαι*.., τὸ μὲν ἔργον ἀντὶ τῶν κατὰ μέρος ἐνεργειῶν ἔλαβε, τοῦ τρέχειν καὶ ὁδοιπορέειν καὶ ἑστάναι' τὸ δὲ ἀφεῖσθαι ἀντὶ τοῦ ἐλινύειν. ὥστε οὐδὲν πλέον ἐν τῇδε τῇ ῥήσει διῆλθεν ἔργου καὶ ἡσυχίας. οὐ γάρ, ὅτι φύσεις ὠνόμασε μελῶν ἐν ἀρχῇ τῆς ῥήσεως, ἡγητέον αὐτὸν ἄλλο τοῦτο τρίτον σχημάτων κεφάλαιον εἰρηκέναι, μηδὲν ἄλλο τῆς φύσεως εἰρηκότα γνώρισμα παρὰ τὰ ἔργα. τὸ ὅλον οὖν ἤδη ἔχει, καθάπερ ἐν τῇ μικρὸν ἔμπροσθεν εἰρημένῃ ῥήσει γέγραπται' κατὰ πάντας τοὺς καιροὺς τῆς θεραπείας τῶν κατὰ χειρουργίαν παθῶν ἓν σχῆμα φυλάττεσθαι χρή, τὸ κατὰ φύσιν τοῦ μέρους' εὑρεθήσεται δὲ τοῦτο, φησίν, ἐκ τοῦ ἐλινύοντος καὶ ἀφειμένου, τουτέστιν ὅταν ἡσυχάζῃ τις,' ἔκ τε τοῦ κοινοῦ, τουτέστι τοῦ μεταξὺ τῶν ὑπερβολικῶν,' ἔκ τε τοῦ ἔθεος,' ἐν ᾧ δῆλόν ἐστι τὰ ἔργα καὶ τὸ ἐλινύειν περιέχεσθαι. ὥστε δύο ταῦθ' ἕξομεν γενικώτατα γνωρίσματα τοῦ κατὰ φύσιν ἑκάστῳ μορίῳ γενομένου σχήματος, τό τε μέσον εἶναι τῶν ὑπερβολικῶν αὐτὸ καὶ κατ' ἔθος. Ἐγὼ δὲ ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπὲρ τούτων διελθὼν κἀκ τῆς κατασκευῆς τῶν μορίων, ἣν ἐξ ἀνατομῆς εὑρίσκομεν, ἐνδεικνύμενα ἔδειξα τὰ κατὰ φύσιν σχήματα τῶν μορίων, ὡς κἀν τῷ Περὶ ἀγμῶν αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξε. δύναται δὲ ἄλλος ἄλλοις ὀνόμασί τε καὶ ῥήμασι χρώμενος περὶ τῶν εἰρημένων πραγμάτων ἕτερα φαί-

ρουμένου τοῦ δέρματος. εὔδηλον δὲ ὅτι καὶ φλέβες μικραὶ συνδιαιροῦνται τῇ σαρκὶ κατὰ τὴν τῶν ἐκχυμωμάτων γένεσιν. τὰ δὲ σπάσματα περὶ τὰς ἶνας γίγνεται τῶν μυῶν, ἐπὶ πλέον ταθείσας, ὡς ἐνίας ῥαγῆναι. καὶ καλοῦσιν ἰδίως οἱ νεώτεροι τὰ τοιαῦτα παθήματα ῥήγματα, ἢ τίλματα. Τούτων οὖν πρώτων ὁ Ἱπποκράτης μνημονεύσας ἐφεξῆς αὖ ἔγραψεν οἰδήματα. πάντας δὲ οὕτως ὀνομάζειν εἴωθε τοὺς παρὰ φύσιν ὄγκους, οὓς οἱ μετ' αὐτὸν εἰς φλεγμονὰς καὶ σκίῤῥους καὶ τὰ κληθέντα ὑπ' αὐτῶν ἰδίως οἰδήματα διῃρήκασιν. φλεγμονὰς δὲ ὁ Ἱπποκράτης ὀνομάζει τὰς φλογώσεις, οὐχ, ἐφ' ὧν νῦν τοὔνομα τίθεται, τοὺς θερμοὺς ὄγκους. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶ τὸ καλούμενον ἐρυσίπελας φλογῶδες μὲν ἀεὶ, σὺν ὄγκῳ δὲ οὐκ ἀεί. Ταῦτα οὖν ἅπαντα τὰ κατειλεγμένα πρὸς Ἱπποκράτους ὀνομαστὶ πάθη τὴν μὲν κατὰ δίαιταν καὶ φαρμακείαν ἑτέραν ἔχει θεραπείαν, τὴν δὲ κατὰ χειρουργίαν ἐξ ἐπιδέσεως τρόπον γενομένης τοιοῦτον· καὶ μάλιστα τὰ ἔκ τινος παρεκχύσεως τὴν γένεσιν ἐσχηκότα,· περὶ ὧν νῦν ποιεῖται τὸν λόγον. τὸ γὰρ '*ἐξαρύηται ἐκ τοῦ τρώματος*‹ οἷον ἐκθλίβηται ἢ ἐξαιρῆται δηλοῖ· διὸ τινὲς ἄντικρυς '*ἐξαιρέηται*‹ γράφουσιν, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι. Τὴν δ' ἐπίδεσιν ταύτην ἐν μὲν τῷ Περὶ ἀγμῶν ἀπὸ τοῦ τὸ οἴδημα ἔχοντος μορίου ποιεῖται, νυνὶ δὲ ἀπὸ τοῦ '*τρώματος*‹· δῆλον δ' ὅτι καλεῖ τρῶμα τὴν τοιαύτην βλάβην τοῦ μορίου·, καὶ τοῦτό γε τῆς καταγματικῆς ἐπιδέσεως ὑπαλλάττει νῦν, ὅτι τὴν πλείστην νομὴν τῶν ἐπιδέσμων ἐπὶ τὸ ἄνω ποιεῖσθαι κελεύει, βραχὺ δέ τι καὶ ἐπὶ τὸ κάτω. Τὸ δὲ '*μὴ κατάντη τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος*‹ κοινὸν μέν ἐστι πρὸς τὴν καταγματικὴν ἐπίδεσιν, ἀλλ' ὡς μεγίστην ἔχον αὐτὸ δύνα-

Λ'.

21. *Ἡ πίεξις πλήθεϊ, μὴ ἰσχύι.*

Καὶ τοῦτο αὖ κατὰ τοῦ νώτου γεγραμμένον ἢ ἐν τῷ μετώπῳ ὑπὸ τοῦ συγγράψαντος τὸ βιβλίον, εἰς τοὔδαφος ὁ βιβλιογράφος μετήνεγκεν. εἴρηται γοῦν καὶ ἔμπροσθεν τελέως καὶ σαφῶς, οὐκ, ὡς νῦν, ἐλλειπτικῶς: χρὴ γὰρ προσυπακοῦσαι *τῶν ὀθονίων*, ἵν' ἡ λέξις ὅλη γένηται τοιαύτη· ἡ πίεσις τῷ πλήθει τῶν ὀθονίων γιγνέσθω μᾶλλον ἢ τῇ θλίψει.

ΛΑ'.

22. *Ὁκόσα δὲ ἐκχυμώματα ἢ φλάσματα ἢ σπάσματα ἢ οἰδήματα ἀφλέγμαντα· ὅκως ἐξαρύηται ἐκ τοῦ τρώματος ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δέ τι καὶ ἐς τὸ κάτω, μὴ κατάντη τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος, τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα καὶ ταύτη μάλιστα ἐρείδοντα, ἥκιστα τὰ ἄκρα, μέσως τὰ διὰ μέσου, τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον τὴν ἐπίδεσιν ποιέεσθαι· μάλιστα δὲ τούτοισιν ὀθόνια λεπτὰ κοῦφα μαλθακὰ καθαρὰ πλατέα ὑγιέα· ἀτὰρ καὶ ταῦτα πλήθεϊ μᾶλλον ἢ ἰσχύι, πιέζι ἥσσονι, ἄνευ ναρθήκων· καὶ καταχύσι χρῆσθαι.*

Φλάσματα, διὰ τοῦ φ, καλεῖν ἔθος Ἱπποκράτει κατὰ τὴν τῶν Ἰώνων διάλεκτον ἃ πρὸς ἡμῶν ὀνομάζεται, διὰ τοῦ θ, θλάσματα. γίγνεται δὲ βαρέος τινὸς ἐμπεσόντος τῷ σώματι καί, ὡς ἂν εἴποι τις, διασπάσαντος τὸ σαρκῶδες γένος. συνίστασθαι δὲ πέφυκεν, ὅταν ἡ διαθλασθεῖσα σὰρξ εἰς τὴν ὑπὸ τῷ δέρματι χώραν αἷμα προχέῃ· τὸ δὲ τοιοῦτον πάθος ἐκχύμωμα καλεῖται, καὶ γίγνεται δηλονότι τοῦτο μὴ διαι-

ρουμένου τοῦ δέρματος. εὔδηλον δὲ ὅτι καὶ φλέβες μικραὶ συνδιαιροῦνται τῇ σαρκὶ κατὰ τὴν τῶν ἐκχυμωμάτων γένεσιν. τὰ δὲ σπάσματα περὶ τὰς ἶνας γίγνεται τῶν μυῶν, ἐπὶ πλέον ταθείσας, ὡς ἐνίας ῥαγῆναι. καὶ καλοῦσιν ἰδίως οἱ νεώτεροι τὰ τοιαῦτα παθήματα ῥήγματα, ἢ τίλματα. Τούτων οὖν πρώτων ὁ Ἱπποκράτης μνημονεύσας ἐφεξῆς αὖ ἔγραψεν οἰδήματα. πάντας δὲ οὕτως ὀνομάζειν εἴωθε τοὺς παρὰ φύσιν ὄγκους, οὓς οἱ μετ' αὐτὸν εἰς φλεγμονὰς καὶ σκίῤῥους καὶ τὰ κληθέντα ὑπ' αὐτῶν ἰδίως οἰδήματα διῃρήκασιν. φλεγμονὰς δὲ ὁ Ἱπποκράτης ὀνομάζει τὰς φλογώσεις, οὐχ, ἐφ' ὧν νῦν τοὔνομα τίθεται, τοὺς θερμοὺς ὄγκους. ἔξωθεν δὲ τῶν εἰρημένων ἐστὶ τὸ καλούμενον ἐρυσίπελας φλογῶδες μὲν ἀεὶ, σὺν ὄγκῳ δὲ οὐκ ἀεί. Ταῦτα οὖν ἅπαντα τὰ κατειλεγμένα πρὸς Ἱπποκράτους ὀνομαστὶ πάθη τὴν μὲν κατὰ δίαιταν καὶ φαρμακείαν ἑτέραν ἔχει θεραπείαν, τὴν δὲ κατὰ χειρουργίαν ἐξ ἐπιδέσεως τρόπον γενομένης τοιοῦτον· καὶ μάλιστα τὰ ἔκ τινος παρεκχύσεως τὴν γένεσιν ἐσχηκότα,· περὶ ὧν νῦν ποιεῖται τὸν λόγον. τὸ γὰρ '*ἐξαρύηται ἐκ τοῦ τρώματος*‹ οἷον ἐκθλίβηται ἢ ἐξαιρῆται δηλοῖ· διὸ τινὲς ἄντικρυς '*ἐξαιρέηται*‹ γράφουσιν, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι. Τὴν δ' ἐπίδεσιν ταύτην ἐν μὲν τῷ Περὶ ἀγμῶν ἀπὸ τοῦ τὸ οἴδημα ἔχοντος μορίου ποιεῖται, νυνὶ δὲ ἀπὸ τοῦ '*τρώματος*‹· δῆλον δ' ὅτι καλεῖ τρῶμα τὴν τοιαύτην βλάβην τοῦ μορίου˙, καὶ τοῦτό γε τῆς καταγματικῆς ἐπιδέσεως ὑπαλλάττει νῦν, ὅτι τὴν πλείστην νομὴν τῶν ἐπιδέσμων ἐπὶ τὸ ἄνω ποιεῖσθαι κελεύει, βραχὺ δέ τι καὶ ἐπὶ τὸ κάτω. Τὸ δὲ '*μὴ κατάντη τὴν χεῖρα ἔχοντα ἢ τὸ σκέλος*‹ κοινὸν μέν ἐστι πρὸς τὴν καταγματικὴν ἐπίδεσιν, ἀλλ' ὡς μεγίστην ἔχον αὐτὸ δύνα-

μιν ἐπὶ τῶν νῦν προκειμένων αὖθις ἔγραψεν, μήπως ἀμελέστερον σχόντες ἢ εἰώθαμεν, ἐνίοτε, μεγάλην ἐργασώμεθα βλάβην. ὅσα γὰρ ἀξιόλογον βλάβην ἢ ὠφέλειαν ἔχει καλῶς ἢ μὴ καλῶς γιγνόμενα, ταῦτα ἀναμιμνήσκειν οὐκ ὀκνεῖ συνεχέστερον· ἀφ' ὧν δὲ μικρὰν ὠφέλειαν ἢ βλάβην οἶδε γιγνομένην, περὶ τούτων ἀρκεῖται ἅπαξ εἰπεῖν. ἐπὶ μὲν οὖν τῶν καταγμάτων, ὅταν εὐθέως ἐπιδέηται πρὶν ἤτοι φλεγμῆναι τὸ πεπονθὸς ἤ τι τῶν νῦν εἰρημένων ἐπιγενέσθαι παθῶν, τοῦ μὲν μηδὲν ἐπιῤῥεῖν τῷ πεπονθότι παραπλήσιος ἡ πρόνοια τῇ ἐπὶ τῶν νῦν εἰρημένων ἐστὶν, οὐ μὴν τοῦ γε διαφορεῖσθαι τὸ περιεχόμενον ἐν τῷ πεπονθότι· διόπερ ἐπὶ τῶν τοιούτων καὶ τὴν κατάχυσιν προσέθηκεν, οὐχ ὡς οὐδ' ὅλως ἐπ' ἐκείνων χρώμενος, ἀλλ' ὡς νῦν μᾶλλον. ἐπὶ πλέον γὰρ δεῖ τοῖς τοιούτοις ὕδατος θερμοῦ καταχεῖν, ἵνα διαφορηθῇ τὸ περιεχόμενον ἐν τοῖς ὠγκωμένοις. οὕτως οὖν καὶ αὐτὸς ἐν τῷ περὶ πτέρνης λόγῳ καθ' ἣν ἀφ' ὑψηλοῦ πηδησάντων ἐκχύμωμά τι γίγνεται, σὺν τοῖς ἄλλοις οἷς ἔγραψεν εἰς τὴν θεραπείαν τούτων χρησίμοις καὶ τοῦτο προσέθηκεν· '*ὕδατι δὲ θερμῷ πλείστῳ ἐπὶ τούτοισι χρῆσθαι*,' οὗ τῇ αἰονήσει τὴν ἀσφάλειαν ἔχει τὸ ἐπιδούμενον μόριον. κέχρηται μὲν οὖν αὐτῷ κἀπὶ τῶν καταγμάτων, χρεία δὲ μείζων ἐπὶ τῶν νῦν προκειμένων ἐστὶν, ὅπως, ὅ,τι ἐκθλίβοιτο, καὶ διαφορῆται. διὰ τὴν αὐτὴν οὖν αἰτίαν καὶ χωρὶς ναρθήκων ποιεῖται τὴν ἐπίδεσιν. ὥστε κατὰ δύο τῆς καταγματικῆς αὕτη ἀποκεχώρηκεν, κατά τε τὴν ὕδατος κατάχυσιν καὶ κατὰ τὸ ἧττον πιέζεσθαι,· διότι καὶ μάλιστα ἐπὶ τούτων ἀξιοῖ τὰ ὀθόνια κοῦφα εἶναι καὶ λεπτὰ καὶ μαλθακὰ καὶ καθαρά. προσέθηκε δὲ καὶ χωρὶς φλεγμονῆς εἶναι δεῖν ἕκαστον τῶν εἰρημένων

παθῶν, εἰ μέλλοι διὰ τῆς εἰρημένης ἐπιδέσεως θεραπεύεσθαι· ὅτι τὰ φλεγμαίνοντα τὴν ἐξ ἐπιδέσεως πίεσιν οὐδὲ μετρίως γιγνομένην ἀνέχεται· καὶ δὴ διὰ τοῦτο θεραπεύομεν αὐτὰ καταπλάσμασί τε καὶ συνεχέσιν ὕδατος θερμοῦ καταχύσεσι καὶ φαρμάκοις ὑγροῖς, ὅσα δηλονότι φλεγμονὰς ὠφελῆσαι ἱκανά.

ΛΒ′.

23. *Τὰ δὲ ἐκπτώματα ἢ στρέμματα ἢ διαστήματα ἢ ἀποσπάσματα ἢ ἀποκλάσματα ἢ διαστρέμματα, οἷα τὰ κυλλὰ, τὰ ἑτερόῤῥοπα, ἔνθεν μὲν ἐξέστη, ξυνδιδόντα, ὅπη δὲ, ξυντείνοντα, ὡς ἐς τἀναντία ῥέπῃ ἐπιδεθέντα ἢ πρὶν ἐπιδεθῆναι, σμικρῷ μᾶλλον ἢ ὥστε ἐξ ἴσου εἶναι· καὶ τοῖσιν ἐπιδέσμοισι καὶ τοῖσι σπλήνεσι καὶ τοῖσιν ἀναλήμμασι καὶ τοῖσι σχήμασι, κατατάσι, ἀνατρίψι, διορθώσι· καὶ καταχύσι πλείοσι.*

Περὶ τούτων ἁπάντων τῶν παθῶν ἔν τε τῷ Περὶ ἀγμῶν καὶ τῷ Περὶ ἄρθρων αὐτὸς ἐδίδαξε τελεώτατα, καὶ νῦν, ὥσπερ ἄλλων πολλῶν, οὕτως καὶ τούτων οἷον ἐπιτομήν τινα γράφει, καθ' ἑαυτὴν μὲν ἀσαφῆ διὰ συντομίαν, εὔδηλον δὲ τοῖς προανεγνωκόσιν ἐκεῖνα τὰ βιβλία. καὶ ἡμεῖς δὲ, ὅτι φθάνομεν αὐτὰ προεξηγήσασθαι, διὰ τοῦτο νῦν ὀλίγα ἀναμνήσεως ἕνεκεν ἐροῦμεν. ἐὰν δέ τις ἐκ τοῦ Κατ' ἰητρεῖον ἄρχηται, τούτῳ χρὴ τὸν διδάσκαλον σαφηνείας ἕνεκεν λέγειν ὅσα κατὰ τὸ περὶ ἀγμῶν καὶ ἄρθρων αὐτὸς ὁ Ἱπποκράτης ἔγραψεν· ἐν ὑπομνήματι δὲ μεταγράφειν αὐτὰ καὶ παρατίθεσθαι οὐ πάνυ προσήκει. Κέκληκεν οὖν ἐν τῇ προκειμένῃ ῥήσει ὁ Ἱπποκράτης ἐκπτώματα μὲν ἐπὶ τῶν ἐξηρ-

ρεῤῥέπειν εἰς τἀναντία τὴν ἐπίδεσιν ἐπὶ πλέον τοῦ κατὰ σιν. ἀλλὰ καὶ καταχύσει πλέονι χρῆσθαι κελεύει, προσθεὶς ταῦθα τὸ 'πλέονι', παραλελειμμένον μὲν ἐν τῇ προτέρα σει, συνυπονοούμενον δὲ τοῖς εἰρημένοις. ἐπ' ἐκείνων μὲν ν ἕνεκα τοῦ διαφορῆσαι, ἐπὶ τούτων δὲ τοῦ μαλακῦναι ίαν ὕδατος θερμοῦ καταχύσει χρῆται πλείονι.

ΛΓ'.

24. Τὰ δὲ μινυθήματα, πουλὺ προσλαμβάνοντα τοῦ γιέος, ἐπιδεῖν, ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ ξυντακέντα, πλημέντα ἢ ἐμίκρυθεν, ἀλλοίῃ τῇ ἐπίδεσι, παραλλάξαντα ἐκίλησῃ ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήηται.

Τὴν ῥῆσιν ταύτην ἔνιοι μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον, ὥσπερ καὶ ἄλλας πολλάς, ἀπέδρασαν ὀλίγα περιλαλήσαντες, οἱ δὲ ἐπιχειρήσαντες σαφῶς ἐξηγήσασθαι ἥμαρτον τῆς ἀληείας, ὧν θαυμάζομεν, τίνι τρόπῳ τὰ μινύθοντα μόρια, τουτστι τὰ ἰσχνά τε καὶ ἄτροφα γιγνόμενα, πρὸς τὴν κατὰ φύν εὐκρασίαν ἐπανῆγον. ἐγὼ δὲ ὅταν μὲν τὰ ἐν συγκεχυμένῃ ἕξει ἢ τινι σοφισματικῷ προβλήματι σημαινόμενα ζητῆται, λάβην οὐδεμίαν ἡγοῦμαι φέρειν εἰς τὰ τῆς τέχνης ἔργα τοῖς ανθάνουσιν, εἰ καὶ κακῶς τις ὑπολάβοι περὶ αὐτῶν· ὅταν δὲ ναντία τῆς ὠφελούσης ἀγωγῆς ᾖ τὰ γραφόμενα, βλάπτειν αγκαῖόν ἐστι τοὺς ἀσκουμένους κατὰ τὴν τέχνην. Ὡς τοίαὐτὸς ἐθεράπευσα διὰ παντὸς ἠτροφηκότα μόρια διδάπρότερον, ὅπως δὴ τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύσωσιν ανθάνοντες, εἶθ' ἑξῆς τὴν ῥῆσιν ἐφαρμόσαι πειράσομαι ἀληθέσιν. ἐν γὰρ τοῖς ἀσαφῶς γεγραμμένοις ἴσχεσθαι μὲν

τερόῤῥοπα. μόνον, εἴτε, ὥς τινες γράφουσιν 'οἷα τὰ κυλλὰ, τά τε ἑτερόῤῥοπα., κατὰ πάσας τὰς γραφὰς τὸ 'τὰ ἑτερόῤῥοπα. συμφωνεῖται πᾶσιν. καὶ γὰρ εἴσω καὶ ἔξω τὴν ῥοπὴν ἴσχει πολλάκις ἡ διάρθρωσις ὅλη, καὶ μάλιστα ἐν σκέλεσι κατὰ γόνυ καὶ κατὰ σφυρά· καὶ καλεῖται τὰ μὲν ἔξω ῥέποντα βλαισὰ, τὰ δὲ ἔσω ῥαιβὰ καὶ κυλλά. Τούτοις οὖν ἅπασι τοῖς εἰρημένοις πάθεσιν ἐπίδεσις ἁρμόττει δύο τούτους ἔχουσα σκοποὺς, ὅθεν μὲν ἀπεχώρησε τὸ μόριον, ἐκεῖσε αὐτὸ προσάγεσθαί τε καὶ ἐρείδεσθαι διὰ τῶν ἐπιδέσμων· ἔνθα δὲ ἐξέστη, χαλαρὸν εἶναι τὸ χωρίον, ὅπως δέχηται τὸ διὰ τῆς ἐπιδέσεως ὠθούμενον εἰς αὐτό. τῷ 'συνδιδόντα. γὰρ, τουτέστιν ἀνιέντα καὶ μὴ τείνοντα ἔνθα μὴ χρὴ, 'τὸν ἐπίδεσμον ὑπακουστέον ἐστὶ, τῷ δὲ 'ὅπη. 'ἐξέστη., κατ' ἐκεῖνο τὸ μέρος τῆς ῥήσεως ἐν ᾧ φησιν 'ὅπη δέ.' ὡς γενέσθαι τὴν ὅλην λέξιν τοιαύτην· ὅθεν μὲν ἐξέστη, συνδιδόντα, τουτέστι χαλῶντα, τὸν ἐπίδεσμον·, ὅπη δὲ ἐξέστη, συντείνοντα, ὡς εἰς τἀναντία ῥέπειν τῆς χώρας εἰς ἣν ἐξέστη. τῆς δὲ εἰς τἀναντία ῥοπῆς τοῖς ἐξεττῶσιν ὅρον οὐ τὸ κατὰ φύσιν ἔθετο, νικηθήσεται γὰρ οὕτως ἡ ἐπίδεσις ὑπὸ τοῦ παθήματος, εἰθισμένου τοῦ μορίου πολυχρονίῳ διαστροφῇ, ἀλλ' ἐπέκεινα βραχὺ αὐτὰ τοῦ κατὰ φύσιν ἄγειν ἀξιοῖ.· τοῦτο γάρ ἐστι τὸ λεγόμενον ὑπ' αὐτοῦ 'σμικρῷ μᾶλλον ἢ ὥστε ἐξ ἴσου εἶναι· τὸ γὰρ κατὰ φύσιν ἴσον ἐστιν. ταύτην δὲ τὴν εἰς ἐναντίον τόπον ῥοπὴν ἐξ ἁπάντων κελεύει ποιεῖν ἡμᾶς ὅσα παραλαμβάνομεν εἰς τὴν ἐπίδεσιν, ἃ καὶ κατέλεξεν αὐτὸς ὀνομαστὶ, 'καὶ τοῖσιν ἐπιδέσμοισιν, εἰπὼν, καὶ τοῖσιν σπλήνεσι καὶ τοῖσιν ἀναλήμμασιν., καὶ πρὸς τούτοις ἔτι 'κατατάσι, ἀνατρίψι, διορθώσι.. κατὰ πάντα γὰρ ταῦτα δυνατόν ἐστι

κατὰ φύσιν ἐχόντων καὶ μόγις ἐρυθραίνεται καὶ τριβόντων καὶ καταχεόντων ὕδωρ θερμόν. ὁ μὲν οὖν σκοπὸς τῆς ποσότητός ἐστιν ἔρευθος κτήσασθαι τὸ μόριον· ὁ δὲ αὐτὸς οὗτος χρόνος ὀγκωδέστερον αὐτὸ δείκνυσιν, ἐὰν δὲ ἐπιμείνῃ ὁ τρίβων ἢ καταχέων, ὅ τε ὄγκος συμπίπτει καὶ παύεται τὸ ἔρευθος. καὶ δὴ καὶ προγνώσει τὸ εὐίατον ἢ δυσίατον ἐν τοῖς κινυθήμασιν ἐκ τοῦ ῥᾳδίως ἢ μόγις ἔρευθος κτᾶσθαι καὶ εἰς ὄγκον αἴρεσθαι. πορίζω δὲ τοῦτο τοῖς δυσχερῶς κτωμένοις οὐ μόνον διά τινος τῶν θερμαινόντων φαρμάκων ὑγρῶν τὴν ἀνάτριψιν ποιούμενος, καὶ μάλιστα ὅσα βραχὺ ἔχει θαψίας μὴ παλαιᾶς, ἀλλὰ καὶ καταχρίων τινὶ τῶν πιττωδῶν φαρμάκων τὰς τοιαύτας ἰσχνότητος· ὁ δὴ πίττωσιν καὶ δρωπακισμὸν καλοῦσιν· ἅ, τίνα ποτέ ἐστι, νοήσεις ἀκούσας πιττάκια καὶ δρώπακας· καί σοι λέγειν ἐξέστω καθ' ὁποτέραν ἂν βουληθῇς φωνήν. οὐ γὰρ ἀττικίζειν διδάσκειν πρόκειταί μοι τοὺς νέους ἐν τοῖσδε τοῖς ὑπομνήμασιν, ἀλλὰ τὰ χρησιμώτατα εἰς τὰ ἔργα τῆς ἰατρικῆς τέχνης διεξέρχεσθαι, οἷα καὶ ταῦτα τὰ περὶ τῆς τῶν πιττωδῶν φαρμάκων κατὰ τοὺς προειρημένους σκοποὺς χρήσεως. ἐὰν μὲν γὰρ ἡ πρώτη χρῖσις εὔογκόν τε καὶ ἐρυθρὸν ἀποδείξῃ τὸ μόριον, ἤδη παύεσθαι προσῆκεν· εἰ δὲ μή, καὶ δεύτερον ἐπιχρίειν καὶ τρίτον, ἐπὶ τινῶν μὲν καθ' ἑκάστην ἡμέραν, ἐπὶ τινῶν δὲ διὰ τρίτης ἢ τετάρτης, ὡς ἂν μάλιστα δεόμενον ἴδῃς τὸν πεπονθότα τόπον. οὐ προστίθημι δὲ ἐνίοτε κατὰ τὸν λόγον τῶν σκοπῶν τό, θερμὸν γίγνεσθαι τὸ μόριον ἀνατριβόμενον ἢ πιττούμενον, ἐπειδὴ συνυπονοεῖται τοῦτο τῷ ἐρυθρόν· κατὰ γὰρ τὸν αὐτὸν χρόνον εἰς ἔρευθός τε καὶ θερμασίαν ἐπιδίδωσιν. Οὕτως ἀεὶ θεραπεύων ἐγὼ τὰς παρὰ φύσιν ἰσχνότητας ὀλι-

ψάκις ἐδεήθην ἐπιδέσεως· εἰ δέ ποτε δεηθείην, ὡς Ἱπποκράτης ἔγραψεν, ἐπέδησα, προσέχων αὐτοῦ τῇ λέξει καθ' ἣν εἶπεν *'ἀλλοίῃ τῇ ἐπιδέσει..* τὸ γὰρ *ἀλλοίῃ* πρὸς τὴν καταγματικὴν ἀντιθεὶς εἶπεν, οἷα τὴν θλῖψιν σφοδροτέραν ἐπὶ τῶν πεπονθότων ποιουμένην. ἡ οὖν ἀλλοία ἐπίδεσις εὐθὺς μὲν κἀν τῇ πρώτῃ τῶν ὀθονίων ἐπιβολῇ διαφέρει τῆς καταγματικῆς, οὐκ ἐπ' αὐτοῦ τοῦ θεραπευομένου μορίου τὴν ἀρχὴν τιθεμένων ἡμῶν, ὡς ἐφ' ἑλκῶν τε καὶ καταγμάτων καὶ ἐκχυμωμάτων τε καὶ θλασμάτων, ὅσα τε ἄλλα μικρῷ ἔμπροσθεν εἴπομεν, εἰώθαμεν ποιεῖν· ἔπειτα δέ σε κελεύει μὴ πιέζειν κατὰ τὸ πεπονθὸς μόριον, ἀλλὰ μάλιστα μὲν ὅθεν ἤρξω, κατὰ τὸ ὑγιές, ἑξῆς δὲ ἀνιέναι τὴν τάσιν ἐν τῇ ἀπὸ τοῦ ὑγιοῦς νομῇ μέχρι τοῦ πεπονθότος, ὅταν τε ἐπὶ τὸ πεπονθὸς ἀφίκῃ, τὰ μάλιστα ἐκλελυμένῃ χρῆσθαι τῇ περιβολῇ τῶν ὀθονίων. χειμῶνος μὲν οὖν καὶ τούτῳ συμπεριβαλεῖν δεῖ τὸν ἐπίδεσμον, πρὸς τὸ θερμαίνειν αὐτό, χαλαρὸν δηλονότι καὶ πιέσεως οὐδὲ τοὐλάχιστον ἔχοντα· θέρους δὲ τὸ μὲν ὑγιὲς ἐπιδῶ, τὸ περιεχόμενον αἷμα κατ' αὐτὸ πρὸς τὸ τῆς ἀναθρέψεως δεόμενον ἐκθλίβων, αὐτὸ δὲ τὸ θεραπευόμενον οὐκ ἐπιτηδεύω τῇ ἐπιδέσει ἐκθερμαίνειν τε καὶ διαφορεῖν. ὅταν δὲ ἱκανῶς ἄτροφον ὅλον τὸ σκέλος, ἢ χεὶρ ὅλη, γεγένηται, τὸ ἀντικείμενον κῶλον ἐπιδῶ, τὴν ἀρχὴν ἐκ τῶν κάτω μερῶν ποιούμενος, εἶτ' ἀναβαίνων ἐπὶ μὲν σκέλους ἄχρι τοῦ βουβῶνος, ἐπὶ δὲ χειρὸς ἄχρι μασχάλης καὶ ὤμου. κατὰ γὰρ τὸν αὐτὸν τρόπον ἀποσχίζονται τῆς μεγάλης φλεβὸς ἐν μὲν τοῖς κάτω μέρεσι, τοῖς καθ' ἱερὸν ὀστοῦν, αἱ τὰ σκέλη τρέφουσαι φλέβες, ἐν δὲ τοῖς ἄνω, τοῖς κατὰ κλεῖς, αἱ τὰς χεῖρας. ὅταν οὖν ἡ τῆς ἑτέρας φλεβὸς ἐπιῤῥοὴ τοῦ αἵμα-

τος εἰς τὸ συζυγοῦν κῶλον ἀποκλεισθῇ, πρὸς τὸ ἕτερον ἥκει τὸ αἷμα, καὶ διὰ τοῦτο τὴν μὲν κατὰ τὸ ὑγιὲς σκέλος ἐπίδεσιν ἐσφίγχθαι χρὴ μέχρι τοῦ μὴ θλίβειν οὕτως, ὡς ὀδύνην ποιεῖν. ἤτοι δὲ γυμνὸν εἶναι χρὴ τὸ πεπονθὸς μόριον, ἢ ὀλίγον ἐρίοις ἐσκεπάσθαι μέχρι τοῦ μηροῦ, ὁπότε ψυχρὸν εἴη τὸ περιέχον· μὴ ὄντος δὲ ψυχροῦ τούτου, γυμνόν τε εἶναι συμφέρει καὶ συνεχῶς ἀνατρίβεσθαι πρῶτον σινδόσιν, εἶτα φαρμάκοις θερμαίνουσιν, ὅταν ᾖ δυσεκθέρμαντα, ταχέως δὲ θερμαινομένων, ἔλαιον μόνον ἀρκεῖ, βραχύτατον ἔχον κηροῦ· προσμένει τε γὰρ μᾶλλον τοῦτο καὶ ἧττον διαφορεῖ. κατὰ δὲ τὴν αὐτὴν ἀναλογίαν κἀπὶ τῶν χειρῶν ἅπαντα γίγνεται· καὶ γὰρ τούτων ἐπιδετέον ἐστὶ τὴν ἀπαθῆ, καθάπερ τὸ σκέλος, καὶ θερμαντέον ἰσχυρῶς τὴν πεπονθυῖαν ἀνατρίψει τε καὶ κινήσει. καὶ ὅταν μὴ παντάπασιν ὁ κάμνων ᾖ ἠλίθιος, πυνθάνεσθαι βέλτιον αὐτοῦ, πότερον τῆς ἐν τῷ θεραπευομένῳ μορίῳ θερμασίας αἰσθάνεται παραμενούσης, ἢ πεπαῦσθαι, φαίνεται σαφῶς αὐτῷ. κἂν φῇ πεπαῦσθαι, καιρὸς ἤδη τῆς δευτέρας χρήσεώς ἐστι τῶν θερμαινόντων τε καὶ ῥωννύντων αὐτό. τέτταρα δὲ αὐτά ἐστι κατὰ γένος· διὰ σινδόνων τρίψις, ὕδατος θερμοῦ κατάχυσις, ἀνάτριψις ἤτοι διά του φαρμάκου θερμαίνοντος ἢ δι' ἐλαίου, κατάχρισις ἁπλοῦ δρώπακος·. ἐὰν δέ ποτε φαίνηταί σοι λίαν κατεψῦχθαι τὸ θεραπευόμενον μέρος, ἔςω ποικίλος ὀδρώπαξ, ἐπεμβεβλημένον ἔχων ἄσφαλτον καὶ θεῖον ἄπυρον ὀλίγον καὶ πύρεθρον. Ὅτι μὲν οὖν οὕτω χρὴ θεραπεύειν τὰ λελεπτυσμένα σώματα, οἶδα, παμπόλλους ἰασάμενος· εἰ δὲ καὶ τὴν Ἱπποκράτους ῥῆσιν ἐξηγοῦμαι καλῶς, οὐκέτι διισχυρίζομαι, πᾶσαν κατειδὼς ἐξήγησιν ἀσαφοῦς λέξεως ἄχρι μὲν τοῦ πιθανοῦ προερχομένην, τὸ δὲ ἐπιστημονικὸν καὶ

4

βέβαιον οὐκ ἔχουσαν. ἐξηγοῦμαι δὲ τὴν ῥῆσιν οὐχ, ὡς οἱ πλεῖστοι, κατὰ τὴν τοιάνδε γραφήν· 'ὡς ἂν ἐξ *ἐπιδρομῆς συντακέντα* πλέον ἢ αὐτὰ ἐμίνυθεν'· μοχθηρὸν γὰρ ἔχει τὸν νοῦν, ἀλλ' ὡς ἔνιοι γράφουσι μετὰ τοῦ ἄρθρου, κατὰ τήνδε τὴν λέξιν" ὡς ἂν ἐξ ἐπιδρομῆς τὰ συντακέντα..... λέγει γὰρ '*συντακέντα*, τὰ λεπτυνθέντα χωρία διὰ τὴν ἀκινησίαν τε καὶ ἀτροφίαν. ταῦτα δ' οὖν φησιν ἐξ ἐπιδρομῆς τοῦ αἵματος, ὡς εἰ καὶ ἐπιῤῥοῆς εἶπεν, ἰᾶσθαι δεῖν, αἵματος ἀφικομένου δηλονότι πρὸς τὰ πεπονθότα πλέονος ἢ ὅσου δεῖσθαι δόξειεν, εἰ κατὰ φύσιν εἶχε. συμβήσεται γὰρ οὕτως εἰς τὴν αὔξησιν ἐκκλῖναι τὰ μινυθήματα τοῖς τῆς πρόσθεν ἐπιδέσεως ἀλλοίᾳ χρησαμένοις. δέδεικται δὲ αὐτῆς ὀλίγον ἔμπροσθεν ἡ ἀλλοιότης· ᾗ καὶ τὴν δύναμιν ἀλλοίαν ἀναγκαῖον ἀκολουθεῖν. ἡ μὲν γὰρ πρόσθεν ἀπέργει τοῦ πεπονθότος μορίου τὸ αἷμα, αὕτη δὲ χορηγεῖ δαψιλέστερον ἢ εἰ κατὰ φύσιν εἶχεν. ὅτε μὲν γὰρ τὸ μόριον κατὰ φύσιν εἶχεν, αὔταρκες ἦν τὸ περιεχόμενον ἐν αὐτῷ, καὶ διὰ τοῦτο πλέον οὐκ ἐχρῆν ἐπιῤῥεῖν τοῦ μέλλοντος εἰς θρέψιν τε καὶ διαπνοὴν ἀναλίσκεσθαι· νυνὶ δέ, κενοῦ καὶ ἀναίμου τοῦ πεπονθότος μορίου γεγονότος, πολλῷ πλέον εἶναι χρὴ τὸ ἐπιῤῥέον, ἵνα μὴ τρέφηται μόνον, ὡς ὅτε ἦν ὑγιές, ἀλλὰ καὶ ἀνατρέφηται. καὶ γὰρ τὰς ἀποῤῥοίας νῦν πλέονας ἀναγκαῖόν ἐστι γενέσθαι διὰ τὸ συνεχῶς θερμαίνεσθαι τὸ μόριον. ἅπαντα γὰρ αὐτὸ θερμαίνει τὰ κατὰ τὴν θεραπείαν γιγνόμενα, καὶ ἡ τρίψις καὶ ἡ κίνησις καὶ ἡ φαρμακεία, ἡ διὰ πίττης καὶ πιττακίου, καὶ τὸ καταχεόμενον, οἶκοι, ὕδωρ θερμόν. ὁ γὰρ Ἱπποκράτης ἀεὶ τούτῳ φαίνεται χρώμενος, ἴσως διὰ τὴν ἀπορίαν τῶν βαλανείων ἐν τῷ τότε χρόνῳ. ἐμοὶ δὲ ἀρέσκει κατ' ἐξοχὴν τὸ κατὰ τὰς ἐν

τῷ βαλανείῳ πυέλους ὕδωρ εἴς τε τὸ θερμαίνειν μετρίως τὰ θεραπευόμενα μόρια καὶ τὸν ἐκ τῶν κινήσεων κόπον ἀναιρεῖν. χρὴ δὲ κινεῖν αὐτὰ κατὰ τὰς συνήθεις ἐνεργείας, καὶ τοῦτο πράττειν οὐχ ἅπαξ ἀθρόως ἑκάστης ἡμέρας, ἀλλὰ πολλάκις, ὥσπερ τὴν τρίψιν, ἄχρι τοῦ διαθερμανθῆναι τὰ μόρια παραλαμβάνοντας, εἶτα παύοντας. Ἐγὼ μὲν οὖν οὕτως ἐφαρμόζω τῇ ῥήσει τὴν ἀληθῆ θεραπείαν, ἧς ἐγὼ ἔργῳ τὴν δύναμιν ἔδειξα μυρίων ἐξ ἐπιδέσεως καὶ χρονίας ἡσυχίας καταλεπτυνθέντα ἀναθρέψας μόρια. καιρὸς δ' ἂν εἴη καὶ τῶν ἐξηγησαμένων τὸ βιβλίον διηγήσασθαι τὴν γνώμην,· ὧν οἱ πλεῖστοι μὲν, ὡς ἔφην, περιλαλήσαντες μόνον, ἀνεξήγητον εἴασαν τὴν ῥῆσιν, ὀλίγοι δ' ἐπεχείρησαν κατ' αὐτὴν τὴν λέξιν ἐξαπλῶσαι τὴν ὅλην διάνοιαν αὐτῆς, ἣν ἀξιοῦσιν εἶναι τοιάνδε· κελεύειν φασὶ τὸν Ἱπποκράτην τὰ μινυθήματα δι' ἐπιδέσεως ἄρχεσθαι θεραπεύειν, ᾗ ἂν συντακέντα, τουτέστι καταλεπτυνθέντα πλέον ἢ αὐτὰ πρόσθεν ἐλελέπτυντο, μεταβολὴν εἰς τοὐναντίον σχῆμα λαμβάνοι. πολλὰ γὰρ τῶν παθῶν οὕτω φασὶ θεραπεύεσθαι, καὶ παραδείγματα φέρουσι ναυτιώδεις δή τινας ἐμετικῷ φαρμάκῳ θεραπευθέντας, καὶ ἐκκρίνοντας συνεχῶς κάτω δριμέα διὰ καθαρτικοῦ ἰαθέντας,· ἐνίους δὲ βήττοντας ὑπὸ τῶν βῆχα κινούντων σφοδροτέραν. ἔνιοι δ' αὐτῶν καὶ τοῦ κατὰ τοὺς 'Αφορισμοὺς εἰρημένου μέμνηνται κατὰ λέξιν οὕτως ἔχοντος' *'ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται..* εἴπερ οὖν, φασὶν, οὐ μόνον διὰ τῶν ἐναντίων τοῖς πάθεσι βοηθημάτων, ἀλλὰ καὶ διὰ τῶν ὁμοίων αἱ θεραπεῖαι γίγνονται, καὶ νῦν οὕτως Ἱπποκράτης ἐκέλευσεν ἡμᾶς τὰ μινυθήματα θεραπεύειν

ἀρχομένους ἀπὸ τῆς ἔτι μᾶλλον αὐτὰ λεπτῦναι δυναμένης ἐπιδέσεως· ὅπερ *ἐξ ἐπιδρομῆς* συμβαίνειν φασί· καὶ ἐπὶ πλεῖον βραχέως συντακέντων τῶν μερῶν ὑπὸ ταύτης τῆς ἐπιδέσεως, ἀναθεόντων τῶν χυμῶν, γένοιτ' ἂν πάλιν ἀνάθρεψις, ὑφ' ἧς ἐς τὴν εὐσαρκίαν ἐκκλίνειν σχοίοι τὰ μόρια. Ὁρῶντες δὲ οἱ οὕτως ἐξηγούμενοι τὸ *'ἀλλοίῃ τῇ ἐπιδέσει,* μηδ' ὅλως ὑπ' αὐτῶν ἐξηγήσεως τυχεῖν δυνάμενον, 'ἀλλοίῃ τῇ *ἕξι,* γράφουσιν. ὥστε γίγνονται τρεῖς διαφέρουσαι ἀλλήλων γραφαί· μία μέν, 'ἀλλοίῃ τῇ *ἐπιδέσι,*, ἑτέρα δὲ 'ἀλλοίῃ τῇ *ἕξι,*, τρίτη δὲ 'ἀλλοίῃ *τε* ἕξι,· καὶ γὰρ οὕτως ἐν ἐνίοις τῶν ἀντιγράφων εὑρίσκεται γεγραμμένον. οἱ οὖν *'ἀλλοίῃ τῇ ἕξι,* γράφοντες οὐκ ἐπὶ τὴν ἐπίδεσιν ἀναφέρουσι τὴν λέξιν, ἀλλ' ἐπὶ τὸ πεπονθὸς μόριον, ὅ φασιν ἀλλοίῃ χρησάμενον ἕξει ἢ ἣν εἶχεν ἔμπροσθεν, ἐκκλίνειν πρὸς εὐτροφίαν. τὴν δ' ἕξιν ταύτην αὐτῷ γίγνεσθαι δι' ἐπιδέσεως ἐπὶ πολὺ συντηκούσης. εἰκότως μέντοι ἀπορήσειεν ἄν τις, ἐξ ἐπιδέσεως εἰς τὴν ἰσχνότητα τῶν ἀτροφησάντων μορίων ἀφικομένων, πῶς ἂν ἡ τοιαύτη νῦν τὰ ἐναντία μέλλοι ἐργάσεσθαι. τῆς γὰρ ὀνομαζομένης πρός τινων καταγματικῆς ἐπιδέσεως, κοινῆς δὲ οὔσης, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυτο, καὶ ἄλλων παθῶν, ἐν οἷς ἦν τὰ ἐκχυμώματά τε καὶ θλάσματα καὶ σπάσματα, λεπτυνούσης τὰ μόρια, τίνι φῶμεν ἕξει διὰ τῆς αὐτῆς ἐπιδέσεως ἀρχὴν ἀναθρέψεως πορίζεσθαι τοῖς ἠτροφηκόσιν; ὅθεν ἔνιοι τὴν λέξιν οὕτως ἔγραψαν· 'ὡς ἂν ἐξ ἐπιδρομῆς ξυντακέντα πλέον ἢ *αὐτόματα* ἐμίνυθεν,, διαδράσασθαι τὴν ἀτοπίαν τοῦ λόγου νομίσαντες, εἰ αὐτομάτως φήσειαν λελεπτύνθαι τὰ μόρια, καὶ τὸ νῦν διδασκόμενον οὐχὶ πάντων εἶναι τῶν μινυθημάτων κοινόν, ἀλλὰ μόνον τῶν αὐτομάτων, τὸν

κοινὸν καὶ καθόλου λόγον τῆς διδασκαλίας εἰς μικρὸν καὶ ἄκοσμον συντέμνοντες. ὀλίγιστα γάρ ἐστι τὰ κατ' ἄλλην αἰτίαν ἀτροφοῦντα καὶ πάνυ σπάνια, τὰ δ' ἄλλα πάντα διὰ πολυχρόνιον ἐπίδεσίν τε ἅμα καὶ ἡσυχίαν τῶν πεπονθότων μορίων εἰς τὴν τοιαύτην ἀφικνεῖται διάθεσιν. ἀλλὰ καὶ εὔλογόν ἐστι τούτων μᾶλλον ἢ ἄλλων τινῶν μεμνῆσθαι τὸν Ἱπποκράτην, ἅτε τοῖς προειρημένοις ἀκολούθων. εἴρηται γὰρ αὐτῷ μέχρι δεῦρο περί τε καταγμάτων καί τινων ἄλλων παθῶν, ὅσα παραπλησίου ἐπιδέσεως δεῖται. τούτοις οὖν εἰδὼς ἑπομένην ἰσχνότητα τῶν μορίων, εἰκότως ἐπεχείρησε διδάσκειν, ὥς περ αὐτήν ἐστι θεραπευτέον. ὃ δὲ δὴ μέγιστον ἄν τις ἐγκαλέσειε τοῖς ἐπιδέσει λεπτυνούσῃ χρῆσθαι τὸν Ἱπποκράτην νομίζουσι, καὶ δὴ φράσω· πρόκειται μὲν γὰρ ἀναθρέψαι τὰ λελεπτυσμένα,· γενέσθαι δὲ τοῦτο ἀδύνατόν ἐστιν ἄνευ τοῦ τὴν δύναμιν αὐτῶν ῥωσθῆναι καὶ χορηγίαν ὕλης τροφίμου σχεῖν ἄφθονον· ἣν δὲ οἴονται οἶδε αὐτὸν παραλαμβάνειν, ἀνείργει μὲν τὴν ἐπιῤῥοὴν τοῦ αἵματος, ἀσθενῆ δὲ ἐργάζεται τὴν δύναμιν. ἣν δὲ ἐγώ φημι λέγεσθαι πρὸς Ἱπποκράτους ἀλλοίην, ὡς πρὸς τὴν ἐργαζομένην δηλονότι τὰ μινυθήματα, ταύτην δεῖ ἑτέρως ποιεῖσθαι· χρὴ γὰρ ἄρχεσθαι μὲν ἀπὸ τῶν ὑγιῶν, οὐκ ἀπὸ τῶν πεπονθότων, εἶτα δὲ ἐκ πολλοῦ τὴν περιβολὴν ποιούμενον καὶ πιέζοντα κατὰ τὸ ὑγιὲς ἄχρι τοῦ μηδεμίαν ὀδύνην γενέσθαι φλεγμονὴν ἐργάζεσθαι δυναμένην ἥκειν ἄχρι τοῦ πεπονθότος ἐκλύοντα κατὰ βραχὺ τὴν πίεσιν. Ἀλλὰ καὶ τὸ συνεπιδεῖν τῷ πεπονθότι τὸ ὑγιὲς σκέλος οὐδένα λόγον ἔχει κατὰ τὴν ἐξήγησιν αὐτῶν· ἵνα γὰρ ἐπὶ πολὺ συντακῇ τὰ λελεπτυσμένα, τὴν ἐπίδεσίν φασιν αὐτὸν παραλαμβάνειν· εἰς τοῦτο δὲ οὐ μόνον οὐδὲν ὠ-

φελεῖ τὸ ἕτερον σκέλος ἐπιδούμενον, ἀλλὰ καὶ βλάπτει· τὸ γὰρ εἰς τοῦτο πρότερον ἀφικνούμενον αἷμα δῆλον ὡς νῦν ἅπαν εἰς τὸ πεπονθὸς ἀπωθεῖται. ἀλλὰ καὶ, οἶμαι, τῶν παραδειγμάτων ὧν οἱ τὴν προειρημένην ἐξήγησιν εἰρηκότες παρατίθενται τὸ μοχθηρὸν πρόδηλόν ἐστι, μηδὲ ὅμοιόν τι ἐχόντων τῷ παρ' Ἱπποκράτους διδασκομένῳ. ὑγιὴς μὲν γὰρ ὁ λογισμὸς, ἐκκρῖναι πᾶν ἀθρόως τὸ τὴν ναυτίαν ἐργαζόμενον, ἐμπεπλασμένον δηλονότι δυσαπολύτως τοῖς χιτῶσι τῆς κοιλίας· οὕτως δὲ καὶ τὰ συῤῥέοντα κατὰ βραχὺ δριμέα καὶ τὴν κοιλίαν ἐρεθίζοντα πρὸς ἀπόκρισιν ἀθρόως κενῶσαι λόγον ἔχει, καθάπερ γε καὶ τὸ μετρίαν βῆχα διὰ τῶν σφοδροτέραν κινούντων ἀθρόως ἐκκαθῆραι. τούτοις δὲ ὅμοιον οὐδὲν ἔχει τὸ λεγόμενον ὑπ' αὐτῶν, ἐπισυντήκειν ἀξιούντων τὸ λελεπτυσμένον χωρίον, ἵνα ἀρχὴν ἀναθρέψεως σχῇ. διὰ γὰρ τῆς ἐπὶ πολὺ πιέσεως οὔθ' ἡ δύναμις τῶν ἠτροφηκότων εὔρωστος γίγνοιτ' ἂν, οὔθ' ὕλης τροφίμου χορηγία. τὸ δὲ καὶ τῶν τετανικῶν μνημονεῦσαι αὐτοὺς, ἀλογώτατον· ἐπιδεικνύουσι γὰρ ἑαυτοὺς τῆς Ἱπποκράτους τέχνης ἀμαθῶς ἔχοντας, εἴγε τἀναντία τῶν ἐναντίων ἐκεῖνος εἶναί φησιν ἰάματα, ὡς ἐν τοῖς περὶ θεραπευτικῆς μεθόδου ἐδείξαμεν. μὴ γιγνώσκοντες δὲ ἔνιοι τὴν δύναμιν τοῦ λόγου πρὸς ἀντιλογίαν ἐτράποντο, κοινὸν δὴ τοῦτο πεπονθότες ἅπασι τοῖς προπετῶς ἀντιλέγουσι καὶ διαβάλλειν πειρωμένοις ἃ μηδ' ὅλως ἔμαθον. οὐχ ὅπως γὰρ ἀνατρέπεται τὸ τὰ ἐναντία τῶν ἐναντίων εἶναι βοηθήματα δι' ὧν εἶπεν Ἱπποκράτης ἐπὶ τῶν τετανικῶν, ἀλλὰ κατασκευάζεταί γε κατ' αὐτὸν τὸν ἀφορισμὸν, ᾧ αὐτὸς ψυχρὸν ἐνίοτε ἔφη ὕδωρ θέρμης ἐπανάκλησιν ποιεῖσθαι, θέρμη δὲ ταῦτα λύεσθαι. τὴν τοίνυν θέρμην ταύ-

την, ἥτις ἰᾶται τὰ ψυχρὰ πάθη, ποτὲ μὲν διὰ τρίψεως ἐργαζόμεθα, ποτὲ δὲ διὰ φαρμάκου θερμαίνοντος ἢ γυμνασίων ἢ καταχύσεως ὕδατος θερμοῦ, καὶ μάλιστα, εἰ παρείη, καὶ ἀσφαλτώδους, ἤ, ὡς πολλάκις ἔφην, διὰ τοῦ πιττῶσαι τὸ θερμανθῆναι δεόμενον, ἔστι δ᾽ ὅτε καὶ διὰ ψυχροῦ καταχύσεως. ἀλλὰ τὰ μὲν ἄλλα πάντα κατὰ τὴν ἑαυτῶν δύναμιν ἔχοντα τὸ θερμαίνειν ἀεὶ χρήσιμά ἐστι τοῖς θερμανθῆναι δεομένοις μορίοις τε καὶ πάθεσι, τὸ δὲ ψυχρὸν ὕδωρ, ἅτε ψυχρὸν ὅσον ἐφ᾽ ἑαυτοῦ, σπανίως χρήσιμον γίγνεται, ἐπὶ μόνου σώματος ἰσχυρὸν ἔχοντος τὸ ἔμφυτον θερμὸν ὠφελίμως παραλαμβανόμενον. ἐπί γ᾽οὖν εὐσάρκου, φησὶν αὐτὸς, ἔστιν ὅτε χρήσιμον γίγνεται τὸ ψυχρόν· οὐ μὴν οὐδ᾽ ἐπὶ τούτου κατὰ πάντα καιρὸν, ἀλλὰ θέρεος. τίς γὰρ οὐκ οἶδεν ἢ τίς οὐκ εἴρηκε τῶν περὶ ψυχρολουσίας γραψάντων ἐργαζομένην αὐτὴν δυοῖν θάτερον, ἢ βλάβην ἐκ καταψύξεως, ἢ θερμασίας πλείονος ἐκ τοῦ βάθους ἐπάνοδον; ἐὰν μὲν οὖν ἱκανῶς ᾖ θερμὸν τὸ σῶμα, τηνικαῦτα συμβαίνει μὴ μόνον μὴ νικᾶσθαι ὑπὸ τοῦ ψυχροῦ τὴν ἐν αὐτῷ θερμότητα, ἀλλὰ καὶ, ἅτε πυκνωθέντος τοῦ δέρματος ἐπισχεθείσης τε τῆς διαπνοῆς, αὐξηθῆναι· ἐὰν δὲ ἧττον θερμὸν ᾖ, ἢ ὡς ἀντισχεῖν τῷ προσπίπτοντι ψυχρῷ, μέχρι τοῦ βάθους ἀφικνουμένης αὐτοῦ τῆς δυνάμεως, ἁλίσκονται τοῖς ἐκ καταψύξεως πάθεσιν. Ἴσως δὲ καὶ ταῦτά μοι περιττῶς νῦν ἐρρήθη, ἑτέρωθι, καθάπερ ἔφην, ἐπιδεδειχότι, τὰ πρώτως θεραπεύοντα πρώτως εἶναι δεῖν ἐναντία. πρώτως δὲ δῆλον ὅτι λέγεται τὰ διὰ μέσου μηδενός, οἷς ἀντίκειται τὰ διὰ μέσου τινὸς, ἃ δὴ κατὰ συμβεβηκὸς, οὐ πρώτως, ὠφελεῖ. φλυαροῦσι δ᾽ οἱ μνημονεύοντες καὶ γαστρὸς ὑπαγωγῆς καὶ βηχικῶν φαρμάκων καὶ ψυχροῦ καταχύσεως, εὐλόγως μὲν

ἐνίοτε γιγνομένων, οὐδὲν δ' ἐχόντων ὅμοιον τῷ νῦν ἡμῖν προκειμένῳ λόγῳ. δεῖξαι γὰρ αὐτοὺς ἔδει, πῶς ἂν ἡ λεπτύνουσα ἀμέτρως ἐπίδεσις ἢ ῥώμην ἐργάζοιτο τοῖς λελεπτυσμένοις μορίοις ἢ πλείονος αἵματος ἐπιῤῥοήν· ἔστ' ἂν δὲ μὴ δύνωνται δεῖξαι ταῦτα, μάτην παραδείγματα γράφουσι, πρὸς τῷ μηδὲ ἀπόδειξιν ἐπιστημονικὴν γίγνεσθαι διὰ παραδείγματος. ἐδείχθη δὲ κατὰ τὸ Περὶ παραδείγματος ὑπόμνημα πρὸς ἡμῶν ἡ χρεία τῶν παραδειγμάτων· ὅτι οὐ τῆς μὴ νοοῦσι νοήσεως ἕνεκα λέγομεν αὐτά, ὡς νομίζουσί γ' ἔνιοι, καὶ μάλισθ' ὅσοι ὁμοίως τοῖς ῥήτορσιν εἰς πίστωσιν αὐτοῖς χρῶνται, τοῦ παντὸς ἁμαρτάνοντες, ὥσπερ καὶ ὅσοι Πλάτωνά φασι δι' ἐπαγωγῶν τὸ πολὺ τὰς ἀποδείξεις ποιεῖσθαι. δέδεικται γὰρ ὡς κἀκεῖνος ἕνεκα σαφηνείας ἐχρῆτο ταῖς ἐπαγωγαῖς. ὅτῳ μὲν οὖν φίλον ἀκριβῶς ἐπίστασθαι δύναμιν ἐπαγωγῆς τε καὶ παραδείγματος, ἐπὶ τὸν ἴδιον ἑκατέρου λόγον ἀφικνείσθω, γεγραμμένον ἡμῖν ἑτέρωθι· νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπανήξω καὶ παρακαλέσας τοὺς ὁμιλοῦντας τοῖσδε τοῖς γράμμασιν, ἀναγνόντας ἀκριβῶς ἅ μοι λέλεκται μέχρι δεῦρο, ἐπὶ τὴν τῆς ἐχομένης ῥήσεως ἐξήγησιν ἀφικνεῖσθαι, μαρτυροῦσαν τῇ λελεγμένῃ ὑφ' ἡμῶν ἐπὶ ταύτης, ἐπ' ἐκείνην ἤδη μεταβήσομαι· ἵνα δὲ μᾶλλον ἅπασα γένηται σαφής, οὐχ ὅλην αὐτὴν ἀθρόως γράψω, ἀλλὰ κατὰ μέρος τὴν ἐξήγησιν αὐτῆς ποιήσομαι.

ΛΔ'.

Βέλτιον δὲ καὶ τὰ ἄνωθεν, οἷον κνήμῃ καὶ τὸν μηρὸν, μηρῷ δὲ καὶ τὸ ἕτερον σκέλος, τὸ ὑγιὲς, ξυνεπιδεῖν, ὡς

ὁμοιότερον ἢ καὶ ὁμοίως ἐλινύῃ καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται, καθὰ ἐνδέχεται·

Τὴν τῶν μινυθημάτων ἐπίδεσιν ὀλίγον ἔμπροσθεν ἀλλοίαν ἔφη χρῆναι ποιεῖσθαι τῆς καταγματικῆς. ἐν ἐκείνῃ γὰρ πρόκειται, πρὸς τῷ τὴν ἐπιῤῥοὴν τοῦ αἵματος ἀνείργεσθαι, ἔτι καὶ τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσι μορίοις ἄνω τε καὶ κάτω διωθεῖσθαι, πρὸς τὸ ἡσυχάζειν αὐτὰ μηδ' ὅλως κινούμενα. διὰ γὰρ τῆς τοιαύτης ἔνεστι τελέως ἀφλέγμαντα γενέσθαι τὰ πεπονθότα μόρια. νυνὶ δὲ οὔτ' ἀνείργειν τὴν ἐπιῤῥοὴν τοῦ αἵματος οὔτ' ἐκκρίνειν τὸ περιεχόμενον ἐν αὐτοῖς οὔτε ἀκίνητα φυλάττειν, ἀλλὰ ἐναντία τούτων ἅπαντα πρόκειται πράττειν. τὴν οὖν ἐπίδεσιν, ὡς ἔφην καὶ πρόσθεν, ἄρξασθαι ἀπὸ τῶν ὑγιῶν χρὴ, πιέζουσαν δὲ ταῦτα τὸ μὲν αἷμα ἐξ αὐτῶν ἐπὶ τὰ λελεπτυσμένα ἐκθλίβειν, αὐτὰ δὲ τούτου τελέως ἀπολαύειν κωλύειν. ἐπὶ μὲν οὖν κνήμης ἢ πήχεως πεπονθότων ἱκανὸν ἂν εἴη τὴν ἀρχὴν τῆς ἐπιδέσεως ἀπὸ βουβῶνος ποιεῖσθαι ἢ μασχάλης, μηροῦ δὲ ἢ βραχίονος πεπονθότων, ἀναγκαῖόν ἐστι καὶ τὸ ἀντικείμενον ἐπιδεῖν κῶλον, ἐκ τῶν κάτω μὲν ἀρχομένους, ἀνίοντας δὲ ἄχρι βουβῶνος ἢ μασχάλης. εἰ δέ ποτε μεγάλως πῆχυς ἢ κνήμη πεπόνθοι, καὶ τότε ἑκάτερον ἐπιδεῖν σκέλος ἢ βραχίονα ἄμεινόν ἐστιν, ὡς ὁμοίως τό τε μὴ πεπονθὸς σκέλος ὅ τε ὑπερκείμενος τῷ λελυπτυσμένῳ τοῦ πεπονθότος μηρὸς εἴργηται μὴ τρέφεσθαι. διὰ τοῦτο οὖν εἶπεν· *οἷον κνήμῃ καὶ τὸν μηρὸν, μηρῷ δὲ καὶ τὸ ἕτερον σκέλος, τὸ ὑγιὲς, ξυνεπιδεῖν ὡς ὁμοίως*, φησὶν, *ἐλινύῃ*, τουτέστιν ἀργῇ, τὸ ἕτερον σκέλος δηλονότι τῷ κατὰ τὸ πεπονθὸς μηρῷ· *καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται*. τὸ δὲ *καθὰ ἐνδέχεται*

προσέθηκε διὰ τὸ μὴ βούλεσθαι τῆς τροφῆς ἀποκλείειν οὕτω τὸ ἐπιδούμενον, ὡς μηδ' ὅλως διέρχεσθαί τι μέρος αὐτῆς. εἰ γάρ τις σφίγγοι γενναίως, ὡς ἀποκλείηται τελέως, εὐθὺς μὲν καὶ τοῦ νεκρωθῆναι τὸ μόριόν ἐστι κίνδυνος· εἰ δὲ καὶ μὴ γένοιτό ποτε τοῦτο, τὴν τροφήν γε πάντως, ὥσπερ τῶν κατὰ τὸν μηρὸν μορίων, οὕτω καὶ τῶν κατὰ τὴν κνήμην ἀφαιρήσεται. πρόκειται δὲ νῦν ἡμῖν οὐ δὴ λεπτῦναι τὸν μηρὸν, ἀλλ' ἀναθρέψαι τὴν κνήμην. ἐπεὶ δὲ ὁ τῆς ἐπιδέσεως τρόπος ἀτροφώτερον τὸν μηρὸν ἐξ ἀνάγκης ἐργάζεται, προσιέμενοι τὴν τοιαύτην βλάβην ἄχρι τινὸς, εἶθ' ὕστερον, ὅταν ἤδη μετρίως σχῇ σαρκώσεως ἡ κνήμη, κοινὴν ἀμφοτέρων ποιούμεθα πρόνοιαν. Ἀποστῆναι τοιγαροῦν χρὴ κἀνταῦθα τῆς ἐξηγήσεως τῶν οἰομένων αὐτὸν τὰ τῷ λελεπτυσμένῳ μορίῳ ὑπερκείμενα καὶ τὰ κατὰ τὸ ἕτερον σκέλος ἐπιχειρεῖν συλλεπτύνειν ἕνεκα τοῦ κρύπτεσθαι τὴν ἰσχνότητα τῶν ἠτροφηκότων καὶ μὴ κατάφωρον γίγνεσθαι μηδὲ ἐξελέγχεσθαι τῇ παραθέσει τῶν εὐτροφούντων. οὐ γὰρ Ἱπποκράτης, ἀλλ' οὐδὲ τῶν ἐπιτυχόντων ἰατρῶν τις ἀξιώσειεν ἂν ἡμᾶς οὕτως καλῶς ἰᾶσθαι.

ΛΕ.

ὀθονίων πλήθεϊ, μὴ πιέξι·

Καὶ πρόσθεν ἤδη πολλάκις ἐκέλευσεν οὕτω πράττειν ἐφ' ὧν ἀνώδυνον ἀκριβῶς βούλεται φυλάττεσθαι τὸ ἐπιδούμενον.

ΛΣΤ'.

ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον καὶ ἀνατρίψι χρώμενον σαρκούσῃ καὶ καταχύσι· ἄνευ ναρθήκων.

πρῶτον, εἴρηκεν ἤτοι κατὰ τὸν χρόνον ἢ κατὰ τὴν δύ-

ναμιν· καὶ κατὰ τὸν χρόνον, ἤτοι ἐπὶ τῆς πρώτης ἐπιδέσεως, ἢ τῶν ἐφεξῆς ἀλλήλαις παραβαλλομένων· εἰ μὴ ἄρα, ἐπεὶ κατὰ πάντα ταῦτα ἀληθές ἐστι τὸ λεγόμενον, ταῦτα πάντα βουλόμενος ἡμᾶς ἀκούειν οὕτως ἔγραψεν. εὐθὺς μὲν γὰρ ἐπὶ τῆς πρώτης ἐπιδέσεως, ἐπειδὴ ταύτην ἐκ πολλοῦ ἀρχόμενον ποιεῖσθαι χρὴ, τὴν μὲν πρώτην περιβολὴν τῶν ὀθονίων ἐρείδοντα, τὰς δὲ ἐφεξῆς ἀεὶ μᾶλλον ἀνιέντα, μάλιστα δὲ κατὰ τὸ τῆς ἀναθρέψεως δεόμενον μόριον, πιθανὸν ἂν εἴη τὸ μὲν κατὰ δύναμιν 'πρῶτον' ἐπὶ τοῦ θεραπευομένου μορίου λελέχθαι, τὸ δὲ κατὰ χρόνον ἐπὶ τῆς ἐπιδέσεως. εἰ δὲ ἐπὶ πασῶν τῶν ἐπιδέσεων ἀλλήλαις παραβαλλομένων ἀκούσομεν τῆς ῥήσεως, ὁ νοῦς ἔσται τοιοῦτος· εἰ κατὰ τὰς πρώτας ἐπιδέσεις συνεπιδέοις τὸ ὑγιὲς, πάντως προσήξει ποτὲ αὖθις γυμνοῦν αὐτό· τοῦτ' οὖν αὐτὸ πρῶτον ἐπὶ τῶν μὴ καλῶς τρεφομένων καὶ διὰ τοῦτο μάλιστα δεομένων ἀναθρέψεως πράττειν· τοῦ δ' αἵματος ἐπὶ τὸ πεπονθὸς ἑλκομένου, διά τε τῆς ἀνατρίψεως καὶ τῶν ἄλλων ὅσα σμικρὸν ἔμπροσθεν εἶπον, ἡ σάρκωσις ἐν αὐτῷ μᾶλλόν τε καὶ θᾶττον ἐπέσται. τῆς μὲν οὖν ἀνατρίψεως καὶ τῆς θερμοῦ καταχύσεως ὕδατος αὐτὸς ἐμνημόνευσε, φαρμάκου δὲ οὐκ ἐμνημόνευσεν, ἐπειδὴ τῆς χειρουργίας μόνης ὠφελείας ἐνταῦθα διδάσκει. οὐδὲ γὰρ τὸ διακινεῖν αὐτὰ μετρίως ἄχρι τοῦ μὴ κοπωθῆναι, παραλελεῖφθαι δεῖ δοκεῖν ὑπ' αὐτοῦ· ἐπεὶ γ' αὐτὸς ἐδίδαξε τὰ ταῖς διακινήσεσιν ὁμογενῆ· τῇ δὲ ἀνατρίψει κίνησις ἅπασα τῶν ἀτροφούντων ὁμογενής ἐστιν. ὅπου δὲ καὶ θάτερον σκέλος ἐλινύειν ἐκέλευσεν ὁμοίως τῷ κατὰ τὸ πεπονθὸς κῶλον ὑγιεῖ μορίῳ, δῆλός ἐστι τῷ ἀνατρίβειν ἀξιῶν κινεῖσθαι. Θεραπεύων οὖν ἀτροφίαν χρήσῃ ἅμα τῇ διὰ

τῆς ἀνατρίψεως κινήσει καὶ ταῖς πιττώσεσι καὶ ταῖς τῶν θερμαινόντων φαρμάκων προσφοραῖς, ὧν τῆς ὁδοιπορίας διὰ τῶν πεπονθότων γιγνομένης ἐκεῖνα φθάνει προαπολαύοντα καὶ πλεονεκτεῖ· μέγιστον δὲ τεκμήριον ἔσται σοι τοῦ θερμαινομένων τῶν ἀκρωτηρίων ἐπιῤῥεῖν αἵματος τοῖς κώλοις πλέον ἡ γιγνομένη κατ' αὐτὰ θερμότης καὶ ἐρυθρότης. τελέαν μὲν οὖν ἤδη τούτων ἔχεις τὴν ἴασιν, ἐμοῦ προστεθεικότος ἐκείνοις ἃ Ἱπποκράτης εἶπε καὶ τὴν τῶν θερμαινόντων φαρμάκων προσφοράν· ἐν ᾧ γένει καὶ ἡ πίττωσίς ἐστιν· ὁ δὲ Ἱπποκράτης οὐδ' ἐμνημόνευσεν ὅλως ἐν τούτῳ τῷ βιβλίῳ φαρμάκου, καίτοι μνημονεύσας ἐνίων παθῶν δεομένων τῆς ἐκ φαρμάκων ἰάσεως, ἐν οἷς ἐστι τὰ ἐκχυμώματα καὶ τὰ στρέμματα καὶ τὰ σπάσματα, ὅτι μόνην τὴν κατὰ χειρουργίαν ὠφέλειαν ἐν αὐτῷ διδάξαι προύθετο, καὶ ταύτην οὐ πᾶσαν, ὡς ἔφην, ἀλλὰ τὴν ἀναγκαιοτάτην τε καὶ χρησιμωτάτην τοῖς ἀρχομένοις μανθάνειν τὴν τέχνην.

ΛΖ'.

25. *Τὰ δὲ ἐρμάσματα καὶ ἀποστηρίγματα, οἷον στήθεϊ, πλευρῇσι, κεφαλῇ, καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα· τὰ μὲν, σφυγμῶν ἕνεκεν, ὡς μὴ ἐνσείηται, καὶ τῶν διαστασίων τῶν κατὰ τὰς ἁρμονίας ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν ἐρείσιος χάριν· τὰ δὲ, ἐπί τε βηχέων καὶ πταρμῶν ἢ ἄλλης κινήσεως οἷας οὖν κατὰ θώρηκα καὶ κεφαλήν. Τούτων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι τῆς ἐπιδέσιος· ᾗ μὲν γὰρ τὰ σίνη, μάλιστα πεπιέχθω· ὑποτιθέναι οὖν μαλθακόν τι ἁρμόζον τῷ πάθεϊ· ἐπιδεῖν δὲ μὴ μᾶλλον πιεζεῦντα ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείειν, ἧσσόν τε ἢ ὥστε τὰς διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τὰ*

ἔσχατα ἀλλήλων· μηδ' ἀμφὶ πταρμοῖσι καὶ βηξὶ μᾶλλον ἢ ὥστε ἀποστήριγμα εἶναι ἀρκέον, ὡς μήτε διαναγκάζηται μήτε ἐνσείηται.

Ἔνθα ἐκέλευεν αὐτὸς ἑρμάζειν, μὴ πιέζειν τὴν ἐπίδεσιν ταῖς τῶν παρερμάτων περιβολαῖς,· ὁμοίως οἷς εἴρηκε καὶ περὶ τῆς ἐπιδέσεως αὐτῆς, ἣν διὰ τῶν ὀθονίων ποιούμεθα·, δῆλος ἦν τῆς ἑρμάζειν φωνῆς τὸ σημαινόμενον ἀπὸ τῶν ἑρμάτων εἰληφώς·, ὧν καὶ ὁ ποιητὴς μνημονεύων εἶπεν·

» ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν »·

ὡς οὐδὲν διαφέρον ἢ ἑρμάσματα εἰπεῖν ἢ στηρίγματα. φαίνεται δὲ πολλάκις μὲν κεχρημένος τῷ ἑρμάζειν ἐπί τε ἐπιδέσμων καὶ σπληνῶν καὶ παρερμάτων, σημαίνων τό γε στηρίζειν. ἤκουσαν δὲ κατὰ πάσας τὰς ῥήσεις τοῦ ἑρμάζειν οἱ ἐξηγηταὶ ὡς ταὐτὸ σημαινόμενον ἔχοντος, ὅπερ καὶ τὸ στηρίζειν.ἀλλὰ νῦν γε φαίνεται, γράψας ἐφεξῆς ἀλλήλων τὰς δύο φωνάς, τήν τε τῶν ἑρμασμάτων καὶ τὴν τῶν στηριγμάτων,ἐνδείκνυσθαι διάφορον ἐξ αὐτῶν τι σημαίνεσθαι. μή τι οὖν ἑρμάσματα μὲν ὠνόμασε τὰ κατὰ τὴν ἐπίδεσιν αὐτὴν ἕνεκα τοῦ φυλάττεσθαι τὸ πεπονθὸς ἀκίνητον ὑποβαλλόμενά τε καὶ περιβαλλόμενα,ἔχοντα μὲν καὶ ἄλλας τινὰς χρείας, μάλιστα δὲ ταύτην, πρώτας μὲν τὰς ὑποδεσμίδας, εἶθ' ἑξῆς τοὺς σπλῆνας, ἑρμάσματα καὶ τούτους ὄντας οὐ μόνον τοῦ κατάγματος, ἀλλὰ καὶ τῶν ἐπιδέσμων·, εἶτα τοὺς ἔξωθεν αὐτοῖς περιβαλλομένους ἐπιδέσμους καὶ τοὺς νάρθηκας, καὶ τὰ παρέρματα; πάντα γὰρ ταῦτα τοῦ κρατεῖν ἕνεκα τὰ ὑποβεβλημένα περιτιθέμενα τὴν τῶν ἑρμασμάτων ἔχει χρείαν οὐ πρὸς ταῦτα μόνον, ἀλλὰ καὶ πρὸς τὰ κατάγματα. ἀποστηρίγματα δὲ δοκεῖ μοι λέγειν τὰ χωρὶς ἐπιδέσεως ἔξωθεν

ὅλῳ τῷ πεπονθότι μορίῳ παρατιθέμενα ἐκ δεξιῶν ἢ ἀριστερῶν, ἢ κάτωθεν ἢ ἄνωθεν. ὀνομάζω δὲ νῦν ἄνωθέν τε καὶ κάτωθεν, ὡς κατὰ τὸ μῆκος τοῦ σώματος· ἐν γὰρ τῇ κατὰ τὸ πάχος αὐτοῦ διαστάσει τὰ μὲν ὑποστηρίγματα κάτω εἰσί, τὰ δὲ ἐπεμβλήματα πάντ' ἄνωθεν ὁποῖα ἄττα. στηρίζεται δὲ τὰ μὲν ἄκρα ἱματίοις παρατιθεμένοις ἑκατέρωθεν, κεφαλὴ δὲ προσκεφαλαίοις τέ τισι καὶ ὑπαυχενίοις, καὶ ἐρίοις τε καὶ ῥάκεσι μαλακοῖς. καὶ σωλῆνες δὲ οἱ ὑποτιθέμενοι τοῖς κατεαγόσι σκέλεσι στηρίγματα ἂν εἴη. τὸ δ' ἐντιθέμενον εἰς τὴν μασχάλην ἐρίων στρογγύλωμα, ὅταν ἐκπεπτωκὸς τὸ κατ' ὦμον ἄρθρον ἐμβαλόντες ἐπιδῶμεν, ἐγχωρεῖ προσαγορεύειν ἔρμασμά τε καὶ στήριγμα· ὅτι δὲ ἐπιδεῖται, καὶ αὐτὸ καθάπερ τι μέρος γίγνεται τῆς ὅλης ἐπιδέσεως. τά γε μὴν ἔξωθεν ἐπιτιθέμενά τε καὶ παρατιθέμενα θώρακι καὶ κεφαλῇ στηρίγματα μᾶλλον, οὐχ ἑρμάσματα, κλητέον. ἐπενοήθη δὲ ταῦτα τοῖς ἰατροῖς διὰ τὰς ἀναγκαίας κινήσεις τῶν μορίων, ἐνίας μὲν κατὰ φύσιν οὔσας, ὡς ἀναπνοὴν ἐπὶ τῶν κατὰ θώρακα, καὶ σφυγμὸν μηνίγγων,· ἐνίας δὲ παρὰ φύσιν, ὡς βῆχα καὶ πταρμὸν καὶ λυγμόν. ὅσοι δὲ ἐν τοῖς φλεγμαίνουσι μορίοις γίγνονται σφυγμοὶ καὶ προσέτι κατὰ τὰς κεφαλαλγίας τὰς σφοδρὰς ἐν ταῖς κατὰ τοὺς κροτάφους ἀρτηρίαις, καὶ παλμοὶ δὲ πολλάκις μὲν ἐφ' ὑποχονδρίων γιγνόμενοι, ἔστι δὲ ὅτε καὶ κατ' ἄλλα μόρια, στηριγμάτων δέονται. καὶ τά γε στηρίγματα ταῦτα ποιοῦμεν, ποτὲ μὲν τὰ δεόμενα, ὡς ἐπὶ τῶν κατὰ τοὺς κροτάφους ἀρτηριῶν ἐν κεφαλαλγίαις σφοδραῖς, ἢ τῶν κατὰ τὰ ὑποχόνδρια παλμῶν, ἢ τραυμάτων αἱμοῤῥαγίαν ἀπειλούντων, ἐπιθέντες ἔριον, ἐπιδέσμῳ περιλαμβάνοντες· ἐνίοτε δὲ καὶ χωρὶς ἐπιδέσμων τε καὶ ἐρίου,

στηρίζοντες ἁπλῶς τὰ κατὰ θώρακά τε καὶ αὐχένα καὶ κεφαλὴν ὑπαυχενίοις τε μαλακοῖς καὶ σακκίοις κούφοις, κέγχρον θερμὴν ἔχουσιν, ὅταν ἅμα πυριαθῆναί τε καὶ στηρίζεσθαι δέωνται. μασχάλην δὲ καὶ γένυν ἐκπεσούσας, ἐπειδὰν ἐμβληθῶσι, μαλακοῖς ἑρμάσμασιν καὶ ἁπαλοῖς στηρίγμασιν ἐνίοτε στηρίζομεν. Κοινοῦ τοίνυν ὄντος σκοποῦ τοῖς τε ἰδίως ὀνομαζομένοις ἑρμάσμασι καὶ τοῖς στηρίγμασιν, εἰκότως οἵ τε ἐξηγησάμενοι τὸ βιβλίον ἓν ἐξ ἀμφοῖν οἴονται σημαίνεσθαι, καὶ ἡμεῖς αὐτοὶ πολλάκις ἀδιαφόρως χρώμεθα τοῖς ὀνόμασιν. ὁ δὲ κοινὸς σκοπός ἐστιν ὃν ὀλίγον ἔμπροσθεν εἶπον, ὅπως ἐν ταῖς κινήσεσι μὴ σείηται τὰ μόρια. διαφορᾶς μέντοι τινὸς οὔσης εἰδικῆς ἣν ἄρτι διῆλθον, ὅταν γ' ἀκριβολογώμεθα, στηρίγματα μὲν ἐροῦμεν ὅσα τῆς ἐπιδέσεως ἔξωθέν ἐστιν, ἑρμάσματα δὲ τὰ κατ' αὐτὴν ἐκείνην· καὶ οὕτως διοριούμεθα τὰ μὲν ἐπὶ τοῖς ἀναγκαίως κινουμένοις μορίοις, ὧν τὰς κινήσεις παύειν οὐκ ἔστιν ἐφ' ἡμῖν, στηρίγματα καλεῖσθαι, τὰ δὲ ἐπὶ τοῖς ἀκινήτοις, ἑρμάσματα. σκέλος μὲν γὰρ καὶ χεῖρα μὴ κινεῖν ἐφ' ἡμῖν ἐστι, θώρακα δὲ καὶ μήνιγγας, οὐκ ἐφ' ἡμῖν. καὶ παλμὸς δὲ ἔν τινι μορίῳ γιγνόμενος οὐκ ἐφ' ἡμῖν ἐστιν, ὥσπερ οὐδὲ βὴξ ἢ πταρμὸς ἢ λυγμός. τοῖς γοῦν πλείστοις ἀδύνατον ἀντέχειν αὐτοῖς ἐπὶ χρόνον ἱκανὸν, ὡς μὴ γίγνοιτο· βιάζεται γὰρ ὅταν ἰσχυρὰς σχῇ τὰς γεννώσας αὐτὰ αἰτίας, καὶ μόνοις τοῖς καρτερικωτάτοις δυνατὸν ἀνδράσιν ἀντισχεῖν τε καὶ κωλῦσαι τὴν γένεσιν αὐτῶν. φαίνεται δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης κατὰ τὴν προκειμένην ῥῆσιν ἐπὶ μὲν τῶν σφυγμῶν, εἰπὼν 'ὡς *μὴ ἐνσείηται*, καὶ προσέτι ἐπὶ τῆς τῶν κατὰ τὴν κεφαλὴν ἁρμονιῶν διαστάσεως, τῷ τῶν ἑρμασμάτων ὀνόματι κεχρημένος, ἐφεξῆς δὲ

ἐπί τε βηχῶν καὶ πταρμῶν καὶ ὅλως. τῶν κατὰ τὴν κεφαλὴν καὶ θώρακα κινήσεων τῷ τῶν στηριγμάτων. ἡ μὲν οὖν τῶν ἁρμονιῶν διάστασις ἐπὶ κεφαλῆς ἐν ταῖς καλουμέναις ῥαφαῖς γίγνεται, κυρίως μὲν ἁρμονιῶν ὀνομαζομένων καθ' ἃ ψαύει τὰ τῆς κεφαλῆς ἀλλήλων ὀστᾶ, κατὰ μεταφορὰν δὲ ῥαφῶν. ἥρμοσται γὰρ ἀκριβῶς ἀλλήλοις τὰ κατὰ τὸ κρανίον ὀστᾶ, καὶ διὰ τοῦτο καθ' ἁρμονίαν ἡ σύνθεσις αὐτῶν εἰκότως ἂν λέγοιτο γεγονυῖα, καθ' ὁμοιότητα δέ τινα πρὸς τὰ ῥαπτόμενα ῥαφή. αὗται τοίνυν ἐνίοτε διΐστανται καί ποτε καὶ ὀδύνην ἐπιφέρουσιν, ὅταν φλεγμήνῃ τὰ συνάπτοντα τὸν περικράνιον ὑμένα τῇ σκληρᾷ μήνιγγι ἐξερχόμενα κατὰ τὰς ῥαφὰς φλέβια· ἐφ' ἧς διαθέσεως ἡ κίνησις τῆς σκληρᾶς μήνιγγος, ἐπιπιπτούσης τοῖς φλεγμαίνουσιν, ὀδύνην ἐργάζεται. παραπλησίως δὲ καὶ κατά τινας φλεγμονὰς ἡ κίνησις τῶν ἀρτηριῶν ἀλγηδόνας ἀποτελεῖ· καὶ δεῖται τὰ τοιαῦτα παθήματα συμμετρίας ἀκριβοῦς τῶν στηριγμάτων, ὅπως μήτε χαλαρὰ τοῖς πεπονθόσι μέρεσι προσπίπτοντα, κινουμένων τούτων διασείηται ῥᾳδίως καὶ αὐτὰ καὶ διὰ τοῦτο πόνον ἐπάγῃ, μήτε αὖ πάλιν αὐτὰ τὰ στηρίγματα περαιτέρω τοῦ προσήκοντος ἐρηρεισμένα θλίψιν ἐργαζόμενα παροξύνῃ τὰς ὀδύνας. τὴν δ' αὐτὴν συμμετρίαν τῆς τῶν ἐπιδέσμων περιβολῆς εἴρηται πρόσθεν αὐτῷ καὶ κατ' ἄλλα τινὰ πάθη προσηκόντως γίγνεσθαι δεῖν τῆς καταγματικῆς ἀλλοίας ἐπιδέσεως χρήζοντα. καὶ διὰ τοῦτο ἔφη νῦν· *τούτων δὲ αἱ αὐταὶ συμμετρίαι·* τούτων δηλονότι τῶν νῦν εἰρημένων τὰς αὐτὰς τοῖς προειρημένοις συμμετρίας εἶναι φάσκων, εἶτα καὶ τῶν συμμετριῶν τούτων τινὰ ἀναμιμνήσκει ἡμᾶς ἐν οἷς φησιν *ᾗ μὲν γὰρ τὰ σίνη, μάλιστα πιέζειν*. τουτέστιν, ἔνθα ἐστὶ

τὰ σίνη· τὸ γὰρ ᾗ. νῦν ἀντ' ἐπιῤῥήματος τοπικοῦ ἀκουστέον,· διὸ καὶ δασύνειν αὐτὸ καὶ περισπᾷν χρή. μετὰ τοῦτο δὲ, ὑποτιθέναι κελεύων μαλθακόν τι ἁρμόζον τῷ πάθει, τὴν περιβολὴν τοῦ ἐπιδέσμου ποιεῖσθαί φησι χρῆναι '*μὴ μᾶλλον πιέζοντας, ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείειν*, ὅπερ ἐστὶ, μὴ τοσοῦτον ὥστε ὑπὸ στενοχωρίας κωλύεσθαι τὴν κίνησιν τῶν σφυζόντων· ὀδυνηρὸν γὰρ τοῦτο. πρὸς τούτῳ δὲ καὶ ἄλλον ὅρον ἔθετο, κατὰ τὰς διαστάσεις τῶν ῥαφῶν ἰδίως ὑπάρχοντα, καθ' ἅ φησι '*ἧσσόν τε ἢ ὥστε τὰς διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τὰ ἔσχατα ἀλλήλων*., ἔσχατα λέγων καθ' ἃ μηκέτι μᾶλλον ἐγχωρεῖ συμψαύειν. δηλοῦται δ' ἐκ τούτου ἡ σφοδρὰ καὶ ἄμετρος θλίψις· ὥσπερ γὰρ οὐ χρὴ κεχαλάσθαι τὴν ἁρμονίαν, οὕτως οὐδὲ εἰς ἄκρον ἐσφίγχθαι· καὶ γὰρ καὶ τοῦτο παρὰ φύσιν. οὗτοι μὲν οὖν εἰσι τῆς ἰσχυρᾶς πιέσεως οἱ ὅροι· τῆς δ' ἀμυδρᾶς ἐφεξῆς ὅροι· '*μηδὲ ἀμφὶ πταρμοῖσί τε καὶ βηξίν*. ὡς εἰ καὶ οὕτως εἶπε, μηδὲ ἐν τοῖς πταρμοῖς καὶ ταῖς βηξὶ, 'ὥστε κωλύεσθαι ταῦτα, ἀλλ' ὥστε μὴ σείεσθαι καὶ κλονεῖσθαι τὰ πεπονθότα μόρια, μηδενὸς αὐτὰ συνέχοντος. αἱ γὰρ σφοδραὶ κινήσεις τὰ χαλαρὰ καὶ ἀστήρικτα μόρια διασείουσι βιαιότερον ἢ ὡς τοῖς πεπονθόσι πρέπει παροξύνουσι τοὺς πόνους αὐτῶν. ἡ τοίνυν συμμετρία τῶν στηριγμάτων ἐστὶν ἣν ἐπὶ τέλει τῆς ῥήσεως ἔγραψεν εἰπὼν' *ὡς μήτε διαναγκάζηται μήτε ἐνσείηται*., τουτέστιν, ἵνα μήτε βιαίως θλίβηται τὰ πεπονθότα μήτε ἐν ταῖς κινήσεσι σείηται, ταῦτα δ' ἔσται, ἐὰν μήτε βιαίως μήτε χαλαρῶς ἐπιδεδεμένα ᾖ.

ΟΒΕΛΙΣΜΟΣ.

δ'. . . . , ἡ δὲ δευτέρη, [ἡ] ἐκ τοῦ σίνεος . . .
ιή. Γαληνός γε οὐ μνημονεύει τοῦ 'μήτε *ἀποκλᾶται*. .
ιθ'. . . . ὁκόσα [ὡς] βλάπτει δῆλα.
κϐ'. . . . *ὁμαλῶς* 1). . .

1) = B, κή.

κγ'. . . . 'καὶ *μᾶλλον* ὅκου. . . .'
κζ'. 19. . . . θέσις· 1) ὡς ἐν. . . .

1). εἰκὸς γὰρ τὸ 'ἢ *ἐπίδεσις*. σχόλιον εἶναι.

λγ'. . . . *πλησθέντα* 1) ᾗ ἐμίνυθεν, ἀλλοίῃ τῇ ἐπιδέσι [,] παραλλάξαντα ἐκκλίνῃ . . . .

1)· ἡ μὲν γὰρ ἄνευ τοῦ *τὰ* γραφὴ 'ὅκως ἂν ἐξ ἐπιδρομῆς ξυντακέντα πλέον ἢ αὐτόματα ἐμίνυθεν, ἀλλοίῃ τῇ ἕξι παραλλάξαντα ἐκκλίνῃ . . . . τὴν μὲν σύνταξιν ἐπιεικῆ ἔχει, μοχθηρὸν δὲ τὸν νοῦν· ἐν δὲ τῇ σὺν τῷ *τὰ* γραφῇ 'ὅκως ἂν ἐξ ἐπιδρομῆς *τὰ* ξ. .ἔμοιγε τοῦτο τὸ δῆθεν Γαληνοῦ '*πλέον ἢ αὐτὰ ἐμίνυθεν*. σόλοικόν τε φαίνεται καὶ ἀδιανόητον. Εὖ γε μὴν οἶδα δεινῶς αὐθαίρετον εἶναι τὸ ἐμὸν *πλησθέντα*

λδ'. . . .· .*καθὰ* [*ἐν*]δέχεται.
λζ'. . . . ἐνσείηται, (τὰ δὲ) καὶ . . .
—. . . . ἐρείσιος χάριν· [τὰ δὲ] ἐπὶ . . .
—. . . . κινήσιος οἵας *οὖν* . . .

—. . . . (ἀποστηρίγματα γίγνεται).

—. . . . πεπιέχθω· . . .

—. . . . ἧσσόν τε ἢ . . .

—. . . . βῆξι [μᾶλλον] ἢ . . . . ἀρχεῖον, ὡς . . .

Σελ. 123, στ. 4. . . . ἐν ἔργῳ . . .

Ἐν Μουνυχίᾳ, μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ ἔτους 1866.

Dr. C. H. Th. Reinhold.

ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

11. 12.

Ἐπιδημιῶν.

Α'. Γ'.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.



ΙΠΠΟΚΡΑΤΗΣ.

Κομιδῇ

CAROLI H. TH. REINHOLD.

11. 12.

Ἐπιδημιῶν.

Α΄. Γ΄.



ΑΘΗΝΗΣΙ,

ΤΕΛΕΣΙ ΤΕ ΚΑΙ ΤΥΠΟΙΣ Κ. ΑΝΤΩΝΙΑΔΟΥ.

(ΟΔΟΥ ΠΕΡΙΚΛΕΟΥΣ ΑΡ. 23.)

1866.

πυρετοὶ τοῖσι μὲν, τοῖσι δ' οὔ. ἐπιπόνως ταῦτα τοῖσι πλείστοισιν. Τὰ δ' ἄλλα, ὁκόσα κατ' ἰητρεῖον, ἀνόσως διῆγον.

2. Πρωῒ δὲ τοῦ θέρεος ἀρξάμενοι καὶ διὰ θέρεος καὶ κατὰ χειμῶνα, πολλοὶ τῶν ἤδη πουλὺν χρόνον ὑποφερομένων φθινώδεες κατεκλίθησαν· ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖσιν ἐβεβαίωσε τότε· ἔστι δ' οἷσιν ἤρξατο πρῶτον τότε, οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. Ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τούτων· καὶ τῶν κατακλιθέντων οὐκ οἶδ' εἴ τις καὶ μέτριον χρόνον περιεγένετο· ἀπέθνησκον δὲ ὀξυτέρως, ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα. ὡς τά γε ἄλλα καὶ μακρότερα καὶ ξὺν πυρετοῖσιν ἐόντα εὐφόρως ἤνεγκαν καὶ οὐκ ἀπέθνησκον. περὶ ὧν γεγράψεται· μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νοσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινεν. Ἦν δὲ τοῖσι πλείστοισιν αὐτῶν τὰ παθήματα τοιάδε· φρικώδεες πυρετοὶ ξυνεχέες ὀξέες, τὸ μὲν ὅλον οὐ διαλείποντες· ὁ δὲ τρόπος ἡμιτριταῖος· τὴν μὲν μίαν κουφοτέρην, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. ἱδρῶτες δὲ αἰεὶ, οὐ δι' ὅλου· ψύξις ἀκρέων πολλὴ, καὶ μόλις ἀναθερμαινόμενα. κοιλίαι ταραχώδεες χολώδεσιν ὀλίγοισιν ἀκρήτοισι λεπτοῖσι δακνώδεσι· πυκνὰ ἀνίσταντο. οὖρα δὲ ἦν λεπτὰ καὶ ἄχροα καὶ ἄπεπτα καὶ ὀλίγα, ἢ πάχος ἔχοντα καὶ σμικρὴν ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ' ὠμῇ τινι καὶ ἀκαίρῳ ὑποστάσι. ἔβησσον δὲ πυκνὰ, σμικρὰ πέπονα κατ' ὀλίγον μόγις ἀνάγοντες· οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐς ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες. φάρυγγες δὲ τοῖσι πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνον εἶχον ἔρευθος μετὰ φλεγμονῆς· ῥεύματα σμικρὰ λεπτὰ δριμέα. τα-

χὺ τηκόμενοι καὶ κακούμενοι. ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεος, ἄδιψοι· καὶ παράληροι πολλοὶ περὶ θάνατον. Περὶ μὲν τὰ φθινώδεα ταῦτα.

3. Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον πυρετοὶ πολλοὶ ξυνεχέες, οὐ βίαιοι· μακρὰ δὲ νοσέουσιν οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοντο· κοιλίαι τέ γὰρ ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν ἄξιον λόγου προσέβλαπτον· οὖρά τε τοῖσι πλείστοισιν εὔχροα μὲν καὶ καθαρὰ, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα· βηχώδεες οὐ λίην, οὐδὲ τὰ βησσόμενα δυσκόλως· οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. Ἐκρίνετο δὲ τούτων, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ εἰκοστὴν ἡμέρην, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστὴν, πολλοῖσι δὲ περὶ ὀγδοηκοστήν. ἔστι δὲ οἷσιν οὐδ' οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον· τούτων δὲ τοῖσι πλείστοισιν οὐ πουλὺν διαλιπόντες χρόνον ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν· ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισι ἐκρίνοντο· πολλοῖσι δὲ αὐτῶν ἀνήγαγον, ὥστε καὶ ὑπὸ χειμῶνα νοσέειν. Τὸ μὲν οὖν ὅλον ἠπίως ἐνόσεον· οἱ δὲ φθινώδεες τὸν φθινώδεα τρόπον, πυρετοῖσι φρικώδεσιν, ἄλλοτε ἀλλοίως παροξυνομένοισι πεπλανημένως, σμικρὰ ἐφιδροῦντες. Ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσι ταύτῃ μούνοισι τοῖσι φθινώδεσι θανατώδεα ξυνέπεσεν· ἐπεὶ τοῖσί γε ἄλλοισιν εὐφόρως πᾶσι· καὶ θανατώδεα ἐν τοῖσιν ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένετο.

** Κατάστασις β'.*

4. Ἐν Θάσῳ πρωὶ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρὸν, ἀλλ' ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖσιν ὑγροὶ

καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι πληιάδος δύσιος καὶ ὑπὸ πληιάδα. Χειμὼν δὲ βόρειος· ὕδατα πολλὰ λαῦρα μεγάλα, χιόνες, μιξαίθρια τὰ πλεῖστα. ταῦτα δὲ ἐγένετο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων. Ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνέειν ἄρχεται ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πολλά· χιὼν καὶ ὕδατα ξυνεχέως πολλά, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ ξυνέτεινε καὶ οὐκ ἀνίει μέχρι ἰσημερίης, Ἦρ δὲ ψυχρὸν βόρειον ὑδατῶδες ἐπινέφελον. Θέρος οὐ λίην καυματῶδες ἐγένετο· ἐτησίαι ξυνεχέως ἔπνευσαν· ταχὺ δὲ περὶ ἀρκτοῦρον πολλὰ πάλιν ὕδατα. Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα· πρωὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως.

5. Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες ὀδυνώδεες ὑγραὶ ἀπέπτως, σμικρὰ λημία δυσκόλως ἐκρηγνύμενα· τοῖσι πλείστοισιν ὑπέστρεφον· ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον λειεντεριώδεες καὶ δυσεντεριώδεες, καὶ τεινεσμοί, καὶ διάρροιαι χολώδεες λεπτοῖσι πολλοῖσιν, ὠμοῖσι καὶ δακνώδεσιν· ἔστι δ' οἷσι καὶ ὑδατώδεες· πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες, πυώδεες· καὶ στραγγουριώδεα, οὐ νεφριτικὰ τούτοισιν, ἀλλ' ἀντ' ἄλλων· ἔμετοι χολώδεες, φλεγματώδεες, καὶ σιτίων ἀπέπτων ἀναγωγαί· ἱδρῶτες· πᾶσι πάντοθεν πουλὺς πλάδος. ἐγένετο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροισι, πολλοῖσι δὲ ξὺν πυρετοῖσι, περὶ ὧν γεγράψεται· ἐνίοισί τε ὑπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα μετὰ πόνου. Ἤδη δὲ φθινοπώρου φθινώδεες καὶ ὑπὸ

χειμῶνα πυρετοὶ ξυνεχέες, καί τισιν αὐτῶν ὀλίγοισι καυσώδεες· ἡμερινοὶ, νυκτερινοί· ἡμιτριταῖοι, τριταῖοι ἀκριβέες, τεταρταῖοι, πλανῆτες. ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγένοντο.

6. Οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν· οὔτε γὰρ ἡμορράγεεν, εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε παράληροι, τά τε ἄλλα πάντα εὐφόρως. ἐκρίνετο δὲ τούτοισι πάνυ εὐτάκτως, τοῖσι πλείστοισι ξὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν· οὐδὲ ἀποθανόντα οὐδένα οἶδα τότε ἐν καύσῳ οὐδὲ φρενιτικὰ τότε γενόμενα. Οἱ δὲ τριταῖοι πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι· εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος τέσσαρας περιόδους· ἐν ἑπτὰ δὲ τελέως ἔκρινον· οὐδ' ὑπέστρεψεν οὐδενὶ τούτων. Οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς ἐν τάξι τεταρταίου ἤρξαντο· ἔστι δ' οἷσιν οὐκ ὀλίγοισιν ἐξ ἄλλων πυρετῶν καὶ νοσημάτων ἀποστάσιες ἐς τεταρταίους ἐγένοντο· μακρὰ δὲ, ὡς εἴθισται, τούτοισι καὶ ἔτι μακρότερα ξυνέπιπτεν. Ἀμφημερινοὶ δὲ καὶ νυκτερινοὶ καὶ πλανῆτες πολλοῖσι πολλοὶ καὶ πουλὺν χρόνον παρέμενον ὀρθοστάδην τε καὶ κατακειμένοισιν· τοῖσι πλείστοισι τούτων ὑπὸ πληιάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο. Σπασμοὶ δὲ πολλοῖσι, μᾶλλον δὲ παιδίοισιν, ἐξ ἀρχῆς καὶ ἀπύροισιν· ἔστι δ' οἷσι καὶ ἐπὶ πυρετοῖσιν ἐγίγνοντο σπασμοί· χρόνια μὲν τοῖσι πλείστοισι τούτων, ἀβλαβέα δὲ, εἰ μὴ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσιν.

7. Οἱ δὲ δὴ ξυνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκλείποντες, παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπον, μίαν ὑποκουφίζοντες καὶ μίαν παροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε

καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι πληιάδος δύσιος καὶ ὑπὸ πληιάδα. Χειμὼν δὲ βόρειος· ὕδατα πολλὰ λαῦρα μεγάλα, χιόνες, μιξαίθρια τὰ πλεῖστα. ταῦτα δὲ ἐγένετο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων. Ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνέειν ἄρχεται ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πολλά· χιὼν καὶ ὕδατα ξυνεχέως πολλὰ, καὶ οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ ξυνέτεινε καὶ οὐκ ἀνίει μέχρι ἰσημερίης, Ἦρ δὲ ψυχρὸν βόρειον ὑδατῶδες ἐπινέφελον. Θέρος οὐ λίην καυματῶδες ἐγένετο· ἐτησίαι ξυνεχέως ἔπνευσαν· ταχὺ δὲ περὶ ἀρκτοῦρον πολλὰ πάλιν ὕδατα. Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα· πρωὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως.

5. Ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες ὀδυνώδεες ὑγραὶ ἀπέπτως, σμικρὰ λημία δυσκόλως ἐκρηγνύμενα· τοῖσι πλείστοισιν ὑπέστρεφον· ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον λειεντεριώδεες καὶ δυσεντεριώδεες, καὶ τεινεσμοὶ, καὶ διάρροιαι χολώδεες λεπτοῖσι πολλοῖσιν, ὠμοῖσι καὶ δακνώδεσιν· ἔστι δ' οἷσι καὶ ὑδατώδεες· πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες, πυώδεες· καὶ στραγγουριώδεα, οὐ νεφριτικὰ τούτοισιν, ἀλλ' ἀντ' ἄλλων· ἔμετοι χολώδεες, φλεγματώδεες, καὶ σιτίων ἀπέπτων ἀναγωγαί· ἱδρῶτες· πᾶσι πάντοθεν πουλὺς πλάδος. ἐγένετο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροισι, πολλοῖσι δὲ ξὺν πυρετοῖσι, περὶ ὧν γεγράψεται· ἐνίοισί τε ὑπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα μετὰ πόνου. Ἤδη δὲ φθινοπώρου φθινώδεες καὶ ὑπὸ

ι μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος πα-
‛ τοῖσι πλείστοισιν ἀποσίτοισιν εἶναι πάντων γευ-
‵ιστα δὲ τούτων οἷσι καὶ τὰ ἄλλα ὀλεθρίως ἔχοι,
ίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τούτοι-
δὲ χρόνων μακρῶν καὶ πόνων πολλῶν καὶ
ἐπὶ τούτοισιν ἀποστάσιες ἐγένοντο ἢ μέ-
ιὴ δύνασθαι, ἢ μείους, ὥστε μηδὲν ὠ-
κλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ τὸ

..σι τὰ γενόμενα δυσεντεριώδεα καὶ τει-
..εντερίαι, καὶ ῥοώδεες· ἔστι δ' οἷσι καὶ ὑδρω-
.τὰ τούτων καὶ ἄνευ τούτων. ὅ,τι δὲ παραγένοιτο
.υυτων βιαίως, ταχὺ ξυνήρει. ἢ πάλιν, ἐπὶ τὸ μηδὲν ὠφε-
λέειν, ἐξανθήματα σμικρὰ καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν
νοσημάτων καὶ ταχὺ πάλιν ἀφανιζόμενα· ἢ παρὰ τὰ ὦτα
οἰδήματα μωλυνόμενα καὶ οὐδὲν ἀποσημαίνοντα. ἔστι δ' οἷσιν
ἐς ἄρθρα, μάλιστα δὲ κατὰ τὸ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπο-
λιπόντα καὶ ταχὺ πάλιν ἐπικρατεύμενα ἐπὶ τὴν ἐξ ἀρχῆς
ἕξιν.

10. Ἔθνησκον δὲ ἐκ πάντων μὲν, πλεῖστοι δὲ ἐκ τούτων, καὶ τούτων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα, ὀκταετέα καὶ δεκαετέα, καὶ ὅσα πρὸ ἥβης. Ἐγίγνετο δὲ τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων, τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τούτων. Μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων καὶ πλείστους ἐρρύσατο τῶν ἐόντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίγνοντο· ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγ-

γενομένων καὶ μακρότατοι καὶ μετὰ πόνων μεγίστων γινόμενοι· πρηέως ἀρχόμενοι, τὸ ὅλον ἐπιδιδόντες αἰεὶ καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιον, σμικρὰ διακουφίζοντες καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσιος βιαιοτέρως παροξυνόμενοι, ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πουλὺ κακούμενοι. Ῥίγεα δὲ πᾶσι μὲν ἀτάκτως καὶ πεπλανημένως ἐγίγνετο, ἐλάχιστα δὲ καὶ ἥκιστα τούτοισιν. Ἱδρῶτες πολλοί, τούτοισι δὲ ἐλάχιστοι, κουφίζοντες οὐδέν, ἀλλὰ παντοίας βλάβας φέροντες. Ψύξις πολλὴ τούτοισιν ἀκρέων, καὶ μόλις ἀναθερμαινόμενα. Ἄγρυπνοι, οὐ δὴ τὸ ξύνολον, μάλιστα δ' οὗτοι, καὶ πάλιν κωματώδεες. Κοιλίαι πᾶσι μὲν ταραχώδεες καὶ κακαί, πολλὸν δὲ τούτοισι κάκισαι. Οὖρα δὲ τοῖσι πλείστοισι τούτων ἢ λεπτὰ καὶ ὠμὰ καὶ ἄχροα καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως, ἢ πάχος μὲν ἔχοντα, θολερὰ δὲ καὶ οὐδὲν καθιστάμενα, οὐδὲ ὑφιστάμενα, ἢ σμικρὰ καὶ ὠμὰ τὰ ὑφιστάμενα, οὐδὲ πεπαινόμενα· κάκιστα δὲ ταῦτα πάντων. Βῆχες μὲν παρείποντο τοῖσι πυρετοῖσι· γράψαι δὲ οὐκ ἔχω βλάβην οὐδ' ὠφέλειαν γενομένην διὰ βηχὸς τότε.

8. Χρόνια μὲν οὖν καὶ δυσχερέα καὶ πάνυ ἀτάκτως καὶ πεπλανημένως καὶ ἀκρίτως τὰ πλεῖστα τούτων διετέλει γιγνόμενα καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι καὶ τοῖσι μή· εἰ γάρ τινες αὐτῶν διαλίποιεν σμικρά, ταχὺ πάλιν ὑπέστρεφεν. Ἔστι δὲ οἶσιν ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ ὀγδοηκοστὴν ἐοῦσι, καὶ τούτων ἐνίοισιν ὑπέστρεφεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείστους αὐτῶν ἔτι νοσέειν· τοῖσι δὲ πλείστοισιν ἀκρίτως ἐξέλειπεν· ὁμοίως δὲ ταῦτα ξυνέπιπτε τοῖσι περιγιγνομένοισι καὶ τοῖσιν οὔ. Πολλῆς δέ τινος γενομένης ἀκρισίης καὶ ποικιλίης ἐπὶ τῶν νοσημά-

των καὶ μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος παρεπομένου τοῖσι πλείστοισιν ἀποσίτοισιν εἶναι πάντων γευμάτων, μάλιστα δὲ τούτων οἷσι καὶ τὰ ἄλλα ὀλεθρίως ἔχοι, διψώδεες οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τούτοισιν. Γενομένων δὲ χρόνων μακρῶν καὶ πόνων πολλῶν καὶ πολλῆς ξυντήξιος, ἐπὶ τούτοισιν ἀποστάσιες ἐγένοντο ἢ μέζους, ὥστε ὑποφέρειν μὴ δύνασθαι, ἢ μείους, ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ παλινδρομέειν καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιον.

9. Ἦν δὲ τούτοισι τὰ γενόμενα δυσεντεριώδεα καὶ τεινεσμοὶ καὶ λειεντερίαι, καὶ ῥοώδεες· ἔστι δ' οἷσι καὶ ὕδρωπες, μετὰ τούτων καὶ ἄνευ τούτων. ὅ,τι δὲ παραγένοιτο τούτων βιαίως, ταχὺ ξυνήρει. ἢ πάλιν, ἐπὶ τὸ μηδὲν ὠφελέειν, ἐξανθήματα σμικρὰ καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν νοσημάτων καὶ ταχὺ πάλιν ἀφανιζόμενα· ἢ παρὰ τὰ ὦτα οἰδήματα μωλυνόμενα καὶ οὐδὲν ἀποσημαίνοντα. ἔστι δ' οἷσιν ἐς ἄρθρα, μάλιστα δὲ κατὰ τὸ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολιπόντα καὶ ταχὺ πάλιν ἐπικρατεύμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.

10. Ἔθνησκον δὲ ἐκ πάντων μὲν, πλεῖστοι δὲ ἐκ τούτων, καὶ τούτων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα, ὀκταετέα καὶ δεκαετέα, καὶ ὅσα πρὸ ἥβης. Ἐγίγνετο δὲ τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων, τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τούτων. Μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων καὶ πλείστους ἐρρύσατο τῶν ἐόντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίγνοντο· ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγ-

γουριώδες τῇσιν ἡλικίῃσι ταύτῃσι γίγνεσθαι μάλιστα· ἐγίγνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν, ὀρθοστάδην καὶ ἐπὶ τῶν νοσημάτων. Ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίγνετο· κοιλίαι τε γάρ, καὶ εἰ τύχοιεν ἐφυγραινόμεναι κακοήθεα τρόπον, ταχὺ ξυνίσταντο, γεύμασί τε πᾶσιν ἡδέως εἶχον, οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα· χρόνια δὲ τούτοισι τὰ περὶ τὴν στραγγουρίην καὶ ἐπίπονα ἦν. Οὖρα δὲ τούτοισιν ἤει πολλὰ παχέα καὶ ποικίλα καὶ ἐρυθρά, μιξόπυα, μετ' ὀδύνης. Περιεγένοντο δὲ πάντες οὗτοι, καὶ οὐδένα τούτων οἶδα ἀποθανόντα.

* *Κατάστασις γ'.*

13. Ἐν Θάσῳ πρὸ ἀρκτούρου ὀλίγον καὶ ἐπ' ἀρκτούρου ὕδατα πολλὰ μεγάλα ἐν βορείοισιν. Περὶ δὲ ἰσημερίην καὶ μέχρι πληιάδος νότια ὕσματα σμικρὰ ὀλίγα· χειμὼν βόρειος· αὐχμοί· ψύχεα· πνεύματα μεγάλα· χιόνες. Περὶ δὲ ἰσημερίην χειμῶνες μέγιστοι· ἦρ βόρειον· αὐχμοί· ὕσματα ὀλίγα· ψύχεα. Περὶ δὲ ἡλίου τροπὰς θερινὰς ὕδατα ὀλίγα, μεγάλα ψύχεα μέχρι κυνός· μετὰ δὲ κύνα μέχρις ἀρκτούρου θέρος θερμόν, καύματα μεγάλα, οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ ξυνεχέα καὶ βίαια· ὕδωρ οὐκ ἐγένετο· ἐτησίαι ἔπνευσαν· περὶ ἀρκτοῦρον ὕσματα νότια μέχρι ἰσημερίης.

14. Ἐν τῇ καταστάσι ταύτῃ κατὰ χειμῶνα μὲν ἤρξαντο παραπληγίαι καὶ πολλοῖσιν ἐγίγνοντο, καί τινες αὐτῶν ἔθνησκον διὰ ταχέων· καὶ γὰρ ἄλλως τὸ νούσημα ἐπίδημον ἦν. τὰ δ' ἄλλα διετέλεον ἄνοσοι. Πρωὶ δὲ τοῦ ἦρος ἤρξαντο καῦσοι καὶ διετέλεον πρόσω τοῦ θέρεος καὶ μέχρι ἰσημερίης. Ὅσοι μὲν οὖν ἦρος καὶ θέρεος ἀρξαμένου αὐτίκα νοσέειν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο· ὀλίγοι δέ τινες ἔθνησκον.

Ἤδη δὲ τοῦ φθινοπώρου καὶ τῶν ὑσμάτων γενομένων, θανατώδεες ἦσαν καὶ πλείους ἀπώλλυντο. Ἦν δὲ τὰ παθήματα τῶν καύσων, οἶσι μὲν καλῶς καὶ δαψιλέως ἐκ ῥινῶν αἱμορραγήσειε, διὰ τούτου μάλιστα σώζεσθαι· καὶ οὐδένα οἶδα, εἰ καλῶς αἱμορραγήσειεν, ἐν τῇ καταστάσι ταύτῃ ἀποθανόντα· Φιλίσκῳ γὰρ καὶ Ἐπαμινώνδῃ καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν· ἀπέθανον. Οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων περὶ κρίσιν ἐπερρίγεον καὶ μάλιστα οἶσι μὴ αἱμοραγήσειεν· ἐπερρίγεον δὲ καὶ οὗτοι·, καὶ ἐφίδρουν.

15. Ἔστι δ' οἷσιν ἴκτεροι ἐκταίοισιν· ἀλλὰ τούτοισιν ἢ κατὰ κύστιν κάθαρσις ἢ κοιλίη ἐκταραχθεῖσα ὠφέλησεν ἢ δαψιλὴς αἱμορραγίη· οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ Ἀριστοκύδῃ· καίτοι τούτῳ καὶ ἐκ ῥινῶν ἡμορράγησε καὶ ἡ κοιλίη ἐπεταράχθη καὶ τὰ κατὰ κύστιν ἐκαθήρατο· ἐκρίθη εἰκοσταῖος· οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τούτων ἐγένετο· ἀπέθανεν. Ἡμορράγεε δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ μειρακίοισι καὶ ἀκμάζουσιν· καὶ ἔθνησκον πλεῖστοι τούτων οἷσι μὴ ἡμορράγησεν. πρεσβυτέροισι δὲ ἐς ἰκτέρους, ἢ κοιλίαι ταραχώδεες· οἷον Βίωνι, τῷ παρὰ Σιληνῷ κατακειμένῳ. Ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος· καί τισι τῶν διανοσησάντων, οἷσι καὶ αἱμορραγίαι ἐγένοντο, ἐς δυσεντεριώδεα ἐτελεύτησεν· οἷον τῷ Ἐράτωνος παιδὶ καὶ Μύλλῳ, πολλῆς αἱμορραγίης γενομένης, ἐς δυσεντεριώδεα κατέστη· περιεγένοντο. Πουλὺς μὲν οὖν μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασεν· ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ἡμορράγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη, τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν καὶ ἐς ἄκρον ἰ-

σχίον, ἀλγήματος μετὰ κρίσιν γενομένου καὶ οὔρων λεπτῶν διεξιόντων αἱμορραγέειν σμικρὰ ἤρξατο περὶ τετάρτην καὶ εἰκοστὴν (καὶ ἐγένοντο ἐς αἱμορραγίην ἀποστάσιες· οἷον Ἀντιφῶντι τῷ Κριτοβούλου· ἀπεπαύσατο καὶ ἐκρίθη τελέως περὶ τεσσαρακοστήν.

16. Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαί, ἐλάσσους δὲ ἢ ἄνδρες, καὶ ἔθνησκον ἧσσον. ἐδυστόκεον δὲ πλεῖσται καὶ μετὰ τοὺς τόκους ἐπενόσεον, καὶ ἔθνησκον αὗται μάλιστα· οἷον Τελεβόλου θυγάτηρ· ἀπέθανεν ἐκταίη ἐκ τόκου. Τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσι πυρετοῖσι γυναικεῖα ἐπεφαίνετο, καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο. ἔστι δ' ᾗσιν ἐκ ῥινῶν ἡμορράγησεν· ἔστι δ' ᾗσι καὶ ἐκ ῥινῶν καὶ τὰ γυναικεῖα τῇσιν αὐτῇσιν ἐπεφαίνετο· οἷον τῇ Δαϊθαρσέος θυγατρὶ παρθένῳ ἐπεφάνη τότε πρῶτον καὶ ἐκ ῥινῶν λαῦρον ἐρρύη. καὶ οὐδεμίαν οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο· ᾗσι δὲ ξυνεχύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν, ἅς καὶ ἐγὼ οἶδα.

17. Οὖρα δὲ τοῖσι πλείστοισιν εὔχροα μέν, λεπτὰ δὲ καὶ ὑποστάσιας ὀλίγας ἔχοντα· κοιλίαι δὲ ταραχώδεες τοῖσι πλείστοισι διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσιν· πολλοῖσι δέ, τῶν ἄλλων κεκριμένων, ἐς δυσεντερίας ἐτελεύτα· οἷον Ξενοφάνεϊ καὶ Κριτίᾳ. Οὖρα δὲ ὑδατώδεα πολλὰ καθαρὰ καὶ λεπτὰ καὶ μετὰ κρίσιν καὶ ὑποστάσιος πολλῆς καὶ καλῆς γενομένης καὶ τῶν ἄλλων καλῶς κεκριμένων ἀναμνήσομαι οἷσιν ἐγένετο· Βίωνι, ὃς κατέκειτο παρὰ Σιληνῷ, Κράτιδι τῇ παρὰ Ξενοφάνεος*, Ἀρέτωνος παιδί, Μνησιστράτου γυναικί. μετὰ δὲ δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες. Περὶ δὲ ἀρκτοῦρον ἑνδεκαταίοισι πολλοῖσιν ἔκρινε καὶ τού-

τοισιν οὐδ' αἱ κατὰ λόγον γιγνόμεναι ὑποστροφαὶ ὑπέστρεφον· ἦσαν δὲ κωματώδεες περὶ τὸν χρόνον τοῦτον, πλείω δὲ παιδία· καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων.

18. Περὶ δὲ ἰσημερίην καὶ μέχρι πληιάδος καὶ ὑπὸ χειμῶνα παρείποντο μὲν καὶ οἱ καῦσοι, ἀτὰρ καὶ φρενιτικοὶ πλεῖστοι τηνικαῦτα ἐγένοντο, καὶ ἔθνησκον τούτων οἱ πλεῖστοι· ἐγένοντο δὲ καὶ κατὰ θέρος ὀλίγοι. Τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν οἷσι τὰ ὀλέθρια ξυνέπιπτεν· αὐτίκα γὰρ ἀρχομένοισι πυρετὸς ὀξὺς, ἐπερρίγεον σμικρά· ἄγρυπνοι, ἀδήμονες, διψώδεες, ἀσώδεες· σμικρὰ ἐφίδρουν περὶ μέτωπον καὶ κληῖδας, οὐδεὶς δι' ὅλου· πολλὰ παρέλεγον· φόβοι, δυσθυμίαι, ἄκρεα περίψυχρα, πόδες ἄκροι, μάλιστα δὲ τὰ περὶ χεῖρας· οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι· τοῖσι δὲ πλείστοισι τεταρταίοισιν οἱ πόνοι μέγιστοι καὶ ἱδρὼς ἐπὶ πλεῖστον ὑπόψυχρος καὶ ἄκρεα οὐκ ἔτι ἀναθερμαινόμενα, ἀλλὰ πελιδνὰ καὶ ψυχρά· οὐδ' ἐδίψων ἔτι. οὖρα τούτοισι μέλανα ὀλίγα λεπτὰ καὶ κοιλίαι ἐφίσταντο· οὐδ' ἡμορράγησεν ἐκ ῥινῶν οὐδενὶ, οἷσι ταῦτα ξυμπίπτοι, ἀλλὰ σμικρὰ ἔσταξεν· οὐδ' ἐς ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνησκον ξὺν ἱδρῶτι. Τοῖσι δὲ φρενιτικοῖσιν ἔστιν οἷσιν οὐ ξυνέπιπτε τὰ ὑπεγεγραμμένα πάντα· ἐκρίνετο δὲ τούτοισιν ὡς ἐπὶ τὸ πουλὺ ἑνδεκαταίοισιν, ἔστι δ' οἷσι καὶ εἰκοσταίοισιν, οἷσιν οὐκ εὐθὺς ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο, ἀλλὰ περὶ τρίτην ἢ τετάρτην ἡμέρην, μετρίως δὲ ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ περὶ τὴν ἑβδόμην ἐς ὀξύτητα τὸ νούσημα μετέπεσεν.

19. Πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο· ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, ὑπολευκοχρῶτες, ἰθύτριχες, μελανότριχες, μελανό-

φθαλμοι, οἱ εἰκῇ καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκότες, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοὶ, ὀργίλοι. καὶ γυναῖκες δὲ πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνησκον. Ἐν δὲ τῇ καταστάσι ταύτῃ ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο· οἷσι γὰρ διὰ ῥινῶν καλῶς αἱμορραγήσειεν ἢ κατὰ κύστιν οὖρα πολλὰ καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἔλθοι ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεα ἐπικαίρως ἢ δυσεντερικὰ γένοιτο· πολλοῖσι δὲ ξυνέπιπτε μὴ ἐφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖσι πλείστοισι καὶ δοκέειν μὲν ἔχειν ὀχληροτέρως· διεσώζοντο δὲ πάντες οἷσι ταῦτα ξυμπίπτοι. Γυναιξὶ δὲ καὶ παρθένοισι ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα· ᾗσι δὲ ἢ τούτων τι καλῶς γένοιτο ἢ τὰ γυναικεῖα δαψιλέως ἐπιφανείη, διὰ τούτων ἐσώζοντο, καὶ ἔκρινε, καὶ οὐδεμίαν οἶδα ἀπολομένην, ᾗσι τούτων τι καλῶς γένοιτο· Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λαῦρον ἐῤῥύη· ἑβδομαίη δὲ ἐοῦσα ἐδείπνησεν ἀκαιροτέρως· ἀπέθανεν.

20. Τὰ παρὰ τὰ ὦτα ἐν πυρετοῖσιν ἐπαιρόμενα μετ' ὀδύνης ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως οὔτε καθίστατο οὔτε ἐξεπύει· τούτοισι διάρροια χολωδέων ἢ δυσεντερίη ἢ παχέων οὔρων ὑπόστασις γενομένη ἔλυσεν, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ. Τὰ δὲ περὶ τὰς κρίσιας, ἐξ ὧν καὶ διεγιγνώσκομεν, ἢ ὁμοῖα ἢ ἀνόμοια· οἷον οἱ δύο Ἐπιγένεος ἀδελφεοὶ, οἳ κατέκειντο παρὰ τὸ θέητρον· ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην· τούτων τῷ πρεσβυτέρῳ ἔκρινεν ἕκτῃ, τῷ δὲ νεωτέρῳ ἑβδόμῃ· ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην, διαλιπὸν ἡμέρας πέντε· ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ ξύμπαν ἑπτακαιδεκαταίοισιν.

Ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοισι· διέλειπεν ἕξ· ἐκ δὲ τῶν ὑποστροφέων ἔκρινε πεμπταίοισιν. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι· διέλειπεν ἑπτά· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τρίτῃ· οἷσι δὲ, διαλεῖπον τρεῖς, ἔκρινεν ἑβδόμῃ. οἷσι δὲ ἔκρινε πεμπταίοισι· διέλειπεν ἑπτά· ἐλάμβανε τρεῖς, διέλειπε μίαν, ἐπελάμβανε μίαν· ἔκρινεν. οἷσι δὲ, οἷσιν ἔκρινεν ἑκταίοισι, διαλεῖπον ἕξ, ἐλάμβανε τρεῖς, διέλειπε μίαν, ἐπελάμβανε μίαν· ἔκρινεν· οἷον Εὐάγοντι τῷ Δαϊπαρσέος. οἷσι δὲ, οἷσιν ἔκρινεν ἑκταίοισιν, διέλειπεν ἑπτά· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τετάρτῃ· οἷον τῇ Ἀγλαΐδου θυγατρί. Οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν τῇ καταστάσι ταύτῃ τούτῳ τῷ τρόπῳ διενόσησαν· καὶ οὐδένα οἶδα τῶν περιγενομένων, ᾧ τινι οὐχ ὑπέστρεψαν κατὰ λόγον γενόμεναι αἱ ὑποστροφαί· καὶ διεσώζοντο πάντες, οὓς καὶ ἐγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γενοίατο· οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν.

21. Ἔθνησκον δὲ ἐν τοῖσι νοσήμασιν οἱ πλεῖστοι ἑκταῖοι, οἷον Ἐπαμινώνδας καὶ Σιληνὸς καὶ Φιλίσκος ὁ Ἀνταγόρεω. Οἷσι δὲ τὰ παρὰ τὰ ὦτα γένοιτο ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι καὶ οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο. Κρατιστώνακτι, ὃς παρὰ τὸ Ἡρακλεῖον ᾤκει, καὶ Σκύμνου τοῦ γναφέως θεραπαίνῃ ἐξεπύησεν· ἀπέθανον. Οἷσι δὲ, οἷσιν ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἐννέα, ὑπέστρεφεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς τεταρταίοισι· οἷον Παντακλέϊ, ὃς ᾤκει παρὰ Διονύσου ἱερόν. Οἷσι δὲ, οἷσιν ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἕξ· ὑπέστρεφεν· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινεν ἑβδομαίοισιν· οἷον Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι τῷ γναφεῖ.

22. Ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρι ἰσημερίης παρέμενον μὲν καὶ οἱ καῦσοι καὶ τὰ φρενιτικὰ, καὶ ἔθνησκον πολλοί· αἱ μέντοι κρίσιες μετέπεσον, καὶ ἔκρινε τοῖσι πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοισι, διέλειπε τέσσαρας, ὑπέστρεφεν· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισι, τὸ ξύμπαν τεσσαρεσκαιδεκαταίοισιν. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. Ἔστι δ' οἷσιν ἔκρινεν ἑνδεκαταίοισιν, ὑπέστρεφε τεσσαρεσκαιδεκάτῃ, ἔκρινε τελέως εἰκοσταίοισιν. εἰ δέ τινες ἐπερρίγεον περὶ τὴν εἰκοστὴν, τούτοισιν ἔκρινε τεσσαρακοσταίοισιν. Ἐπερρίγουν δ' οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς· οἱ δ' ἐπιρριγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσι ἐπερρίγεον. Ἐπερρίγουν δ' ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος πλείους, φθινοπώρου ἔτι πλείους, ὑπὸ δὲ χειμῶνα πουλὺ πλεῖστοι· αἱ δὲ αἱμορραγίαι ὑπέληγον.

Ἐπιδημίων Γ΄.

* *Κατάστασις λοιμώδης.*

1. Ἔτος νότιον ἔπομβρον· ἄπνοια διὰ τέλεος. Αὐχμῶν δὲ γενομένων τοὺς ὑπόπροσθεν χρόνους, ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά. Φθινόπωρον σκιῶδες ἐπινέφελον· ὑδάτων πλήθεα. Χειμὼν νότιος ὑγρὸς μαλακός. μετὰ δὲ ἡλίου τροπὰς ὕστερον πολλῷ, πλησίον ἰσημερίης, ὀπισθοχειμῶνες· καὶ ἤδη περὶ ἰσημερίην βόρεια χιονώδεα οὐ πουλὺν χρόνον. Ἦρ πάλιν νότιον, ἄπνουν· ὕδατα πολλὰ διὰ τέλεος μέχρι κυνός. Θέρος αἴθριον θερμόν· πνίγεα μεγάλα· ἐτησίαι γε σμικρὰ διεσπασμένως ἔπνευσαν. πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά. Γενομένου δὲ τοῦ ἔτεος νοτίου καὶ ὑγροῦ καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα διῆγον ὑγιηρῶς πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται·

2. Πρωὶ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν ἐρυσιπέλατα πολλά, τοῖσι καὶ μετὰ προφάσιος, τοῖσι δ' οὔ, κακοήθεα· πολλοὺς ἔκτεινεν. πολλοὶ φάρυγγας ἐπόνησαν· φωναὶ κακούμεναι· καῦσοι· φρενιτικοί· στόματα ἀφθώδεα· αἰδοίοισι φύματα· ὀφθαλμίαι· ἄνθρακες. κοιλίαι ταραχώδεες· ἀπόσιτοι· διψώδεες οἱ μέν, οἱ δ' οὔ· οὖρα ταραχώδεα πολλὰ κακά· κωματώδεες ἐπὶ πουλὺ καὶ πάλιν ἄγρυπνοι. ἀκρισίαι πολλαί· τὰ δὲ δύσκριτα. ὕδρωπες· φθινώδεες πολλοί. Τὰ μὲν ἐπιδημήσαντα νοσήματα ταῦτα· ἑκάστου δὲ

τῶν ὑπογεγραμμένων εἰδέων ἦσαν οἱ κάμνοντες καὶ ἔθνησκον πολλοὶ ἐφ' ἑκάστοισι τούτων.

3. Ξυνέπιπτε δὲ πολλοῖσι μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος, ἐπὶ τοῖσι τυχοῦσι καὶ πάνυ σμικροῖσι τρωματίοισιν, ἐφ' ὅλῳ τῷ σώματι, μάλιστα δὲ περὶ κεφαλήν· πολλοῖσι δὲ, μάλιστα δὲ τοῖσι περὶ ἑξήκοντα ἔτεα, καὶ ἐν θεραπείῃ ἐοῦσιν, εἰ καὶ σμικρὸν ἀμεληθείη, μεγάλαι φλεγμοναὶ ἐγίγνοντο καὶ τὸ ἐρυσίπελας πουλὺ ταχὺ πάντοθεν ἐπενέμετο. Τοῖσι μὲν οὖν πλείστοισιν αὐτῶν ἀποστάσιες ἐς ἐμπυήματα ξυνέπιπτον· σαρκῶν τε καὶ νεύρων καὶ ὀστέων ἐκπτώσιες μεγάλαι. ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ ξυνιστάμενον οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη καὶ ῥεῦμα πουλὺ καὶ ποικίλον. Οἷσι μὲν οὖν περὶ κεφαλὴν τούτων τι ξυμπίπτοι γίγνεσθαι, μαδήσιές τε ὅλης τῆς κεφαλῆς ἐγίγνοντο καὶ τοῦ γενείου, καὶ ὀστέων ψιλώματα καὶ ἐκπτώσιες, καὶ πολλὰ ῥεύματα· ἐν πυρετοῖσι δὲ ταῦτα καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα, ἢ κακίω· οἷσι γὰρ ἐς ἐμπύημα ὁ τῶν τοιούτων ἀφίκοιτο πεπασμὸς, οἱ πλεῖστοι τούτων ἐσώζοντο· οἷσι δὲ ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δὲ ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τούτων δὲ ἀπώλλυντο πολλοί. Ὁμοίως δὲ καὶ, εἴ πη ἄλλῃ τοῦ σώματος πλανηθείη, ξυνέπιπτε ταῦτα· πολλοῖσι μὲν γὰρ βραχίων καὶ πῆχυς ὅλος περιερρύη· οἷσι δὲ ἐπὶ τὰ πλευρὰ, ταῦτα ἐκακοῦτο, ἢ τῶν ἔμπροσθέν τι ἢ τῶν ὄπισθεν· οἷσι δὲ ὅλος ὁ μηρὸς ἢ τὰ περὶ κνήμην ἐψιλοῦτο καὶ ποὺς ὅλος. ἦν δὲ πάντων χαλεπώτατον τῶν τοιούτων ὅ,τι περὶ ἥβην καὶ αἰδοῖα γένοιτο. Καὶ τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα· πολλοῖσι δὲ ἐν πυρετοῖσι καὶ ἐπὶ πυρετοῖσι καὶ πρὸ πυρετοῦ ξυνέπιπτεν.

ἦν δὲ καὶ τούτων, ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐκπυῆσαι, ἢ εἰ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελύσθαι· οἷσι δὲ μηδὲν τούτων ξυμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων, θανατώδεα γίγνεσθαι. Πουλὺ μὲν οὖν τοῖσι πλείστοισι ξυνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος· παρείπετο δὲ καὶ διὰ τοῦ θέρεος καὶ ὑπὸ φθινόπωρον.

4. Πολλὴ δὲ ταραχή τισι καὶ τὰ περὶ φάρυγγα φύματα καὶ φλεγμοναὶ γλώσσης καὶ τὰ παρ᾽ ὀδόντας ἀποστήματα· φωναί τε πολλοῖσιν ἐπεσήμαινον κακούμεναι καὶ κατίλλουσαι πρῶτον μὲν τοῖσι φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσι καὶ τοῖσι φρενιτικοῖσιν.

5. Ἤρξαντο μὲν οὖν οἱ καῦσοι καὶ τὰ φρενιτικὰ πρωὶ τοῦ ἦρος μετὰ τὰ γενόμενα ψύχεα· καὶ πλεῖστοι τηνικαῦτα διενόσησαν· ὀξέα δὲ τούτοισι καὶ θανατώδεα ξυνέπιπτεν. ἦν δὲ ἡ κατάστασις τῶν γενομένων καύσων ὧδε· ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες· πυρετὸς ὀξύς· οὐ διψώδεες λίην· οὐ παράληροι· ἀπὸ ῥινῶν ἔσταξε σμικρά· οἱ παροξυσμοὶ τοῖσι πλείστοισιν ἐν ἀρτίῃσι· περὶ δὲ τοὺς παροξυσμοὺς λήθη καὶ ἄφεσις καὶ ἀφωνίη· ἄκρεά τε τούτοισιν αἰεὶ μὲν ψυχρότερα, ποδῶν καὶ χειρῶν, πουλὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα· πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο καὶ πάλιν κατενόουν καὶ διελέγοντο· κατεῖχε δὲ ἢ τὸ κῶμα ξυνεχές, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι. κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων διαχωρήμασιν ὠμοῖσι λεπτοῖσι πολλοῖσιν· οὖρα πολλὰ λεπτὰ κρίσιμον οὐδὲ χρηστὸν οὐδὲν ἔχοντα· οὐδὲ ἄλλο κρίσιμον οὐδὲν τοῖσιν οὕτως ἔχουσιν ἐπεφαίνετο· οὔτε γὰρ ἡμορράγει καλῶς, οὔτε

τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγένετο κρίσιμος. ἔθνησκον δὲ ἕκαστος ὡς τύχοι, πεπλανημένως, τὰ πολλὰ περὶ τὰς κρίσιας, ἐκ πολλοῦ δέ τινες ἄφωνοι, ἱδρῶντες πολλοί. Τοῖσι μὲν οὖν ὀλεθρίως ἔχουσι ξυνέπιπτε ταῦτα· παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν· ἄδιψοι δὲ πάνυ οὗτοι ἦσαν· οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδείς, ὥσπερ ἐπ' ἄλλοισιν, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ κακῇ νωθρῇ βαρέως ἀπώλλυντο.

6. Ἦσαν δὲ καὶ ἄλλοι πυρετοί, περὶ ὧν γεγράψεται. Στόματα πολλοῖσιν ἀφθώδεα, ἑλκώδεα. Ῥεύματα περὶ τὰ αἰδοῖα πολλά, ἑλκώματα, φύματα ἔξωθεν, ἔσωθεν· τὰ περὶ βουβῶνας. Ὀφθαλμίαι ὑγραὶ μακροχρόνιοι μετὰ πόνων· ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν, ἃς σῦκα ἐπονομάζουσιν, πολλῶν φθείροντα τὰς ὄψιας. Ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλὰ καὶ ἐν αἰδοίοισιν. Ἄνθρακες πολλοὶ κατὰ θέρος καὶ ἄλλα, ἃ σὴψ καλέεται· ἐκθύματα μεγάλα· ἕρπητες πολλοῖσι μεγάλοι.

7. Τὰ δὲ κατὰ κοιλίην πολλοῖσι πολλὰ καὶ βλαβερὰ ξυνέβαινεν. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως, πλείστοισι δὲ παιδίοισι, καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων· λειεντερικοὶ πολλοί· δυσεντερικοί, οὐδ' οὗτοι λίην ἐπιπόνως. τὰ δὲ χολώδεα καὶ λιπαρά, καὶ λεπτὰ καὶ ὑδατώδεα· πολλοῖσι μὲν τὸ νούσημα αὐτὸ ἐς τοῦτο κατέσκηψεν, ἄνευ τε πυρετῶν καὶ ἐν πυρετοῖσιν· οἷσι δὲ καὶ ἀνειλήσιες κακοήθεες θαμέες, πολλῶν μενόντων τε καὶ ἐπισχόντων, διέξοδοι, τά τε διεξιόντα πόνους οὐ λύοντα, τοῖσί τε προσφερομένοισι δυσκόλως ὑπακούοντα· καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων πολλοὶ μὲν ὀξέως ἀπώλλυντο, πολλοῖσι δὲ καὶ μακρότερα διῆγεν. ὡς δ' ἐν κεφαλαίῳ

εἰρῆσθαι, πάντες, καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ οἱ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην ἀπέθνησκον μάλιστα· πάντας γὰρ κοιλίη ξυναπήνεγκεν.

8. Ἀπόσιτοι δὲ πάντες μὲν ἐγένοντο καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισι, πουλὺ δὲ μάλιστα οὗτοι, οἱ ἐκ τούτων, καὶ οἱ ἐκ τῶν ἄλλων δὲ, καὶ ὀλεθρίως ἔχοιεν. Διψώδεες οἱ μὲν, οἱ δ' οὔ· τῶν δ' ἐν πυρετοῖσι καὶ τοῖσιν ἄλλοισιν οὐδεὶς ἀκαίρως, ἀλλ' ἦν κατὰ ποτὸν διαιτῆν, ὡς ἤθελες.

9. Οὖρα δὲ πολλὰ μὲν τὰ διεξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολλὸν ὑπερβάλλοντα· πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων· οὔτε γὰρ πάχος εἶχεν οὔτε πεπασμοὺς, οὐδὲ κάθαρσις χρηστὴ ἦν, ἐσήμαινε δὲ τοῖσι πλείστοισι ξύντηξιν καὶ ταραχὴν καὶ πόνους καὶ χρόνους καὶ ἀκρισίας.

10. Κωματώδεες δὲ μάλιστα μὲν οἱ φρενιτικοὶ καὶ οἱ καυσώδεες ἦσαν· ἀτὰρ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασι πᾶσι τοῖσι μεγίστοισιν, ὅ,τι μετὰ πυρετοῦ γίγνοιτο, διὰ παντός τε, τοῖσι πλείστοισιν ἢ βαρὺ κῶμα παρείπετο, ἢ μικροὺς καὶ λεπτοὺς ὕπνους κοιμᾶσθαι.

11. Πολλὰ δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησαν εἴδεα, τριταίων, τεταρταίων, νυκτερινῶν, ξυνεχέων, μακρῶν, πεπλανημένων, ἀσωδέων, ἀκαταστάτων. ἅπαντες δὲ οὗτοι μετὰ πολλῆς ἐγίγνοντο ταραχῆς· κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες· φρικώδεες· ἱδρῶτες οὐ κρίσιμοι· καὶ τὰ τῶν οὔρων, ὡς ὑπογέγραπται. μακροὶ δὲ τοῖσι πλείστοισι τούτων· οὐδὲ γὰρ αἱ γιγνόμεναι τούτοισιν ἀποστάσιες ἔκρινον, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισιν· δύσκριτα μὲν πᾶσι πάντα ἐγένετο καὶ ἀκρισίαι καὶ χρόνια, πουλὺ δὲ μάλιστα τούτοισιν· ἔκρινε δὲ

τούτων ὀλίγοισι περὶ ὀγδοηκοστήν· τοῖσι δὲ πλείστοισιν, ὡς ἔτυχεν, ἐξέλιπεν. ἔθνησκον δὲ τούτων ὀλίγοι ὑπὸ ὕδρωπος, ὀρθοστάδην. πολλοῖσι δὲ, καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασιν, οἰδήματα παρώχλει, πουλὺ δὲ μάλιστα τοῖσι φθινώδεσιν.

12. Μέγιστον δὲ καὶ χαλεπώτατον καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες· πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα πολλοὶ μὲν κατεκλίθησαν, οἱ δὲ αὐτῶν ὀρθοστάδην ὑπεφέροντο. πρωὶ δὲ τοῦ ἦρος ἔθνησκον οἱ πολλοὶ τῶν κατακλιθέντων, τῶν δὲ ἄλλων ἐξέλιπον μὲν αἱ βῆχες οὐδενὶ, ὑφιέσαν δὲ κατὰ θέρος. ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίθησαν πάντες, καὶ πολλοὶ ἔθνησκον· μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. Ἤρξατο μὲν οὖν τοῖσι πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων κακοῦσθαι· φρικώδεες πυκνά· πολλάκις. πυρετοὶ ξυνεχέες ὀξέες· ἱδρῶτες ἄκαιροι πολλοὶ ψυχροὶ διὰ τέλεος· πολλὴ ψύξις, καὶ μόλις πάλιν ἀναθερμαινόμενοι· κοιλίαι ποικίλως ἐφιστάμεναι καὶ πάλιν ταχὺ καθυγραινόμεναι, περὶ δὲ τελευτὴν πᾶσι βιαίως καθυγραινόμεναι καὶ τῶν περὶ πνεύμονα πάντων διάδοσις κάτω· πλῆθος οὔρων οὐ χρηστῶν· ξυντήξιες κακαί. αἱ δὲ βῆχες ἐνῆσαν μὲν διὰ τέλεος πολλαὶ καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρὰ, μετὰ πόνων δὲ οὐ λίην· ἀλλ' εἰ καὶ ὑπεπόνεον, αὖθις πάνυ πρηέως πᾶσιν ἡ κάθαρσις τῶν ἀπὸ πνεύμονος ἐγίγνετο. φάρυγγες οὐ λίην δακνώδεες, οὐδὲ ἁλμυρίδες οὐδὲν ἠνώχλεον· τὰ μέντοι γλίσχρα καὶ λευκὰ καὶ ὑγρὰ καὶ ἀφρώδεα πολλὰ ἀπὸ κεφαλῆς κατῄει. πουλὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσιν ἄλλοισι τὰ περὶ τὴν ἀποσιτίην, καθάπερ ὑπογέγραπται· οὐδὲ γὰρ ποτῶν μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως· βάρος σώματος· κωματώδεες· τοῖσι

πλείστοισιν αὐτῶν οἰδήματα, καὶ ἐς ὕδρωπα περιίσταντο· φρικώδεες· παράληροι περὶ θάνατον.

13. Εἶδος δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φακῶδες, τὸ ὑπέρυθρον, τὸ χαροπόν· λευκοφλεγματίαι· πτερυγώδεες. καὶ γυναῖκες οὕτω. Τὸ μελαγχολικόν τε καὶ ὕφαιμον· οἱ καῦσοι καὶ τὰ φρενιτικὰ καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. Τεινεσμοὶ νέοισι φλεγματώδεσιν. Μακραὶ διάρροιαι καὶ τὰ δριμέα διαχωρήματα καὶ λιπαρὰ πικροχόλοισιν.

14. Ἦν δὲ πᾶσι τοῖσιν ὑπογεγραμμένοισι χαλεπώτατον μὲν τὸ ἔαρ καὶ πλείστους ἀπέκτεινε· τὸ δὲ θέρος ῥήιστον, καὶ ἐλάχιστοι ἀπώλλυντο· τοῦ δὲ φθινοπώρου καὶ ὑπὸ πληιάδα πάλιν ἔθνησκον πολλοί.

Α΄. Γ΄.

** Ἄρρωστοι.*

Α΄. 1. *Φιλίσκος*, ὃς ᾤκει παρὰ τὸ τεῖχος, κατεκλίθη· τῇ πρώτῃ πυρετὸς ὀξύς· ἵδρωσεν· νύκτα ἐπιπόνως. Δευτέρῃ πάντα παρωξύνθη· ὀψὲ δὲ ἀπὸ κλυσματίσου καλῶς διῆλθεν· νύκτα δι' ἡσυχίης. Τρίτῃ, πρωῒ καὶ μέχρι μέσου ἡμέρης ἔδοξε γενέσθαι ἄπυρος,· πρὸς δείλην δὲ πυρετὸς ὀξὺς μετὰ ἱδρῶτος· διψώδης· γλῶσσα ἐπεξηραίνετο· μέλανα οὔρησεν· νύκτα δυσφόρως· οὐκ ἐκοιμήθη· πάντα παρέκρουσε. Τετάρτῃ πάντα παρωξύνθη· οὖρα μέλανα· νύκτα εὐφορωτέρην· οὖρα εὐχρούστερα. Πέμπτῃ περὶ μέσον ἡμέρης σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον· οὖρα δὲ ποικίλα, ἔχοντα ἐναιωρήματα στρογγύλα γονοειδέα διεσπασμένα,· οὐχ ἵδρυτο· προσθεμένῳ δὲ βάλανον φυσώδεα σμικρὰ διῆλθε· νύκτα ἐπιπόνως· ὕπνοι σμικροί· λόγοι, λῆρος· ἄκρεα πάντοθεν ψυχρὰ καὶ οὐκ ἔτι ἀναθερμαινόμενα· οὔρησε μέλανα· ἐκοιμήθη σμικρὰ πρὸς ἡμέρην· ἄφωνος· ἵδρωσε ψυχρῷ· ἄκρεα πελιδνά. περὶ δὲ μέσον ἡμέρης ἑκταῖος ἀπέθανεν. Τούτῳ πνεῦμα διὰ τέλεος ἀραιὸν μέγα· σπλὴν ἐπήρθη περιφερέϊ κυρτώματι· ἱδρῶτες ψυχροὶ διὰ τέλεος. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

2. *Σιληνόν*, ὃς ᾤκει ἐπὶ τοῦ πλαταμῶνος πλησίον τῶν Εὐαλκίδεω, ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαιροτέρων πῦρ ἔλαβεν· ἤρξατο δὲ πονέειν ὀσφὺν, καὶ κεφαλῆς εἶχε

βάρος καὶ τραχήλου ἦν ξύντασις. Ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ χολώδεα ἄκρητα ἔπαφρα κατακορέα πολλὰ διῆλθεν· οὖρα μέλανα, μέλαιναν ὑπόστασιν ἔχοντα· διψώδης· γλῶσσα ἐπίξηρος· νυκτὸς οὐδὲν ἐκοιμήθη. Δευτέρῃ πυρετὸς ὀξύς· διαχωρήματα πλείω, λεπτότερα, ἔπαφρα· οὖρα μέλανα· νύκτα δυσφόρως· σμικρὰ παρέκρουσεν. Τρίτῃ πάντα παρωξύνθη· ὑποχονδρίου ξύντασις ἐξ ἀμφοῖν παραμήκης πρὸς ὀμφαλὸν, ὑπολάπαρος· διαχωρήματα λεπτὰ ὑπομέλανα· οὖρα θολερὰ μέλανα· νυκτὸς οὐδὲν ἐκοιμήθη· λόγοι πολλοὶ, γέλως, ᾠδή· κατέχειν οὐκ ἠδύνατο. Τετάρτῃ διὰ τῶν αὐτῶν. Πέμπτῃ διαχωρήματα ἄκρητα χολώδεα λεῖα λιπαρά· οὖρα λεπτὰ διαφανέα· σμικρὰ κατενόει. Ἕκτῃ περὶ κεφαλὴν σμικρὰ ἐφίδρωσεν· ἄκρεα ψυχρὰ πελιδνά· πουλὺς βληστρισμός· ἀπὸ κοιλίης οὐδὲν διῆλθεν· οὖρα ἐπέστη· πυρετὸς ὀξύς. Ἑβδόμῃ ἄφωνος· ἄκρεα οὐκ ἔτι ἀνεθερμαίνετο· οὔρησεν οὐδέν. Ὀγδόῃ ἴδρωσε δι' ὅλου ψυχρῷ· ἐξανθήματα μετὰ ἱδρῶτος ἐρυθρὰ στρογγύλα σμικρὰ παρέμενεν, οὐκ ἀφίστατο· ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτὰ πολλὰ διήει μετὰ πόνου· οὔρει μετὰ ὀδύνης δακνώδεα· ἄκρεα σμικρὰ ἀνεθερμαίνετο· ὕπνοι λεπτοὶ κωματώδεες· ἄφωνος· οὖρα λεπτὰ διαφανέα. Ἐνάτῃ διὰ τῶν αὐτῶν. Δεκάτῃ ποτὰ οὐκ ἐδέχετο· κωματώδης· ὕπνοι λεπτοί· ἀπὸ δὲ κοιλίης ὁμοῖα· οὔρησεν ἀθρόον ὑπόπαχυ, κειμένῳ ὑπόστασις κριμνώδης λευκή· ἄκρεα πάλιν ψυχρά. Ἑνδεκάτῃ ἀπέθανεν. Ἐξ ἀρχῆς τούτῳ καὶ διὰ τέλεος πνεῦμα ἀραιὸν μέγα· ὑποχονδρίου παλμὸς ξυνεχής. ἡλικίη ὡς περὶ ἔτεα εἴκοσιν.

3. *Ἡροφῶντι* πυρετὸς ὀξύς· ἀπὸ κοιλίης ὀλίγα τεινεσμώδεα κατ' ἀρχὰς, μετὰ δὲ, λεπτὰ διήει χολώδεα ὑπό-

συχνα· ὕπνοι οὐκ ἐνῆσαν· οὖρα μέλανα λεπτά. Πέμπτῃ πρωὶ κώφωσις· παρωξύνθη πάντα· σπλὴν ἐπήρθη· ὑποχονδρίου ξύντασις· ἀπὸ κοιλίης ὀλίγα μέλανα διῆλθε· παρεφρόνησεν. Ἕκτῃ ἐλήρει· ἐς νύκτα ἱδρώς· ψύξις· παράληρος παρέμενεν. Ἑβδόμῃ περιέψυκτο· διψώδης· παρέκρουσεν· ἐς νύκτα κατενόει· κατεκοιμήθη. Ὀγδόῃ ἐπύρεσσε· σπλὴν ἐμειοῦτο· κατενόει πάντα· ἤλγησε κατὰ βουβῶνα τὸ πρῶτον, σπληνὸς κατ' ἴξιν· ἔπειτα πόνοι ἐς ἀμφοτέρας κνήμας· νύκτα εὐφόρως· οὖρα εὐχρούστερα, ὑπόστασιν εἶχε λευκὴν σμικρήν. Ἐνάτῃ ἵδρωσεν· ἐκρίθη· διέλιπεν. Πέμπτῃ ὑπέστρεψεν· αὐτίκα δὲ σπλὴν ἐπήρθη· πυρετὸς ὀξύς· κώφωσις πάλιν. Μετὰ δὲ τὴν ὑποστροφὴν τρίτῃ σπλὴν ἐμειοῦτο· κώφωσις ἧσσον· σκέλεα ἐπωδύνως· ἐς νύκτα ἵδρωσεν. ἐκρίθη ἑπτακεδεκάτῃ· οὐδὲ παρέκρουσεν ἐπὶ τῇ ὑποστροφῇ.

4. Ἐν Θάσῳ *Φιλίνου* γυναῖκα, θυγατέρα τεκοῦσαν, κατὰ φύσιν καθάρσιος γενομένης, καὶ τἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκαταίην ἐοῦσαν μετὰ τὸν τόκον, πῦρ ἔλαβε μετὰ ῥίγεος· ἤλγεε δὲ ἀρχομένη καρδίην καὶ περὶ ὑποχόνδριον δεξιόν· γυναικείων πόνοι· κάθαρσις ἐπαύσατο. Προσθεμένῃ δὲ, ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέμενον· ὕπνοι οὐκ ἐνῆσαν· ἄκρεα ψυχρά· διψώδης· κοιλίη ξυνεκαύθη· σμικρὰ διήει· οὖρα λεπτὰ ἄχροα κατ' ἀρχάς. Ἑκταίῃ ἐς νύκτα παρέκρουσε πολλὰ, καὶ πάλιν κατενόει. Ἑβδόμῃ διψώδης· διαχωρήματα ὀλίγα χολώδεα κατακορέα. Ὀγδόῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· σπασμοὶ πολλοὶ μετὰ πόνου· πολλὰ παρέλεγεν· ἐξανίστατο βάλανον προσθεμένη, πολλὰ διῆλθε μετὰ περιρρόου χολώδεος· ὕπνοι οὐκ ἐνῆ-

σαν. Ἐνάτῃ σπασμοί. Δεκάτῃ σμικρὰ κατενόει. Ἑνδεκάτῃ ἐκοιμήθη· πάντων ἀνεμνήσθη· ταχὺ δὲ πάλιν παρέκρουσεν· οὔρει δὲ μετὰ σπασμῶν ἀθρόον πουλὺ, ὀλιγάκις, ἀναμιμνησκόντων, παχὺ λευκὸν, ἴκελον ὀνείῳ· κείμενον πουλὺν χρόνον οὐ καθίστατο· τοιαῦτα οὔρει, οἷα κἀγὼ εἶδον. Περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐούσῃ παλμοὶ δι' ὅλου τοῦ σώματος· λόγοι πολλοί· σμικρὰ κατενόει· διὰ ταχέων δὲ πάλιν παρέκρουσεν. Περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος. εἰκοστῇ ἀπέθανεν.

5. *Ἐπικράτεος* γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην, περὶ τόκον ἤδη ἐοῦσαν ῥῖγος ἔλαβεν ἰσχυρῶς· οὐκ ἐθερμάνθη, ὡς ἔλεγον· καὶ τῇ ὑστεραίῃ τὰ αὐτά. Τρίτῃ δὲ ἔτεκε θυγατέρα καὶ τὰ ἄλλα πάντα κατὰ λόγον ἦλθεν. Δευτέρῃ μετὰ τὸν τόκον ἔλαβε πυρετὸς ὀξύς· καρδίης πόνος καὶ γυναικείων· προσθεμένῃ δὲ, ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνος· ὕπνοι οὐκ ἐνῆσαν· ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διήει ἄκρητα· οὖρα λεπτὰ ὑπομέλανα. Ἀφ' ἧς δὲ ἔλαβε πῦρ ἐς νύκτα ἑκταίη παρέκρουσεν. Ἑβδόμῃ πάντα παρωξύνθη· ἄγρυπνος· παρέκρουσεν· διψώδης· διαχωρήματα χολώδεα κατακορέα. Ὀγδόῃ ἐπερρίγωσεν· ἐκοιμήθη πλείω. Ἐνάτῃ διὰ τῶν αὐτῶν. Δεκάτῃ ἐπιπόνως· ἤλγεε σκέλεα· καρδίης πάλιν ὀδύνη· καρηβαρίη· οὐ παρέκρουσεν· ἐκοιμᾶτο μᾶλλον· κοιλίη ἐπέστη. Ἑνδεκάτῃ οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα· διῆγε κουφότερον. Τεσσαρεσκαιδεκάτῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς. Πεντεκαιδεκάτῃ ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα· ἵδρωσεν· ἄπυρος· ἐς νύκτα δὲ πυρετὸς ὀξύς· οὖρα πάχος ἔχοντα, ὑπόστασις λευκή. Ἑξκαιδεκάτῃ πάντα παρωξύνθη· νύκτα δυσφόρως· οὐχ ὕπνωσεν· παρέκρουσεν. Ὀκτωκαιδεκάτῃ διψώδης· γλῶσσα ἐπεκαύθη·

οὐχ ὕπνωσεν· παρέκρουσε πολλά· σκέλεα ἐπωδύνως εἶχεν. Περὶ δὲ εἰκοστὴν πρωὶ σμικρὰ ἐπερρίγωσεν· κωματώδης· δι' ἡσυχίης ὕπνωσεν· ἤμεσε χολώδεα ὀλίγα μέλανα· ἐς νύκτα κώφωσις. Περὶ δὲ πρώτην καὶ εἰκοστὴν πλευροῦ ἀριστεροῦ βάρος δι' ὅλου μετ' ὀδύνης· σμικρὰ ἐπέβησσεν· οὖρα δὲ πάχος ἔχοντα θολερὰ ὑπέρυθρα,· κείμενα οὐ καθίστατο· τὰ δ' ἄλλα κουφοτέρως· οὐκ ἄπυρος. Περὶ δὲ εἰκοστὴν ἑβδόμην ἄπυρος· οὔροισιν ὑπόστασις· πλευρὸν ἤλγεεν. Περὶ δὲ τετάρτην καὶ τριηκοστὴν πῦρ ἔλαβέ τε καὶ κοιλίη χολώδεσιν ἐπεταράχθη. ἤμεσε τῇ τεσσαρακοστῇ ὀλίγα χολώδεα. Ἐκρίθη τελέως ἄπυρος τῇ ὀγδοηκοστῇ.

ϛ. *Κλεωνακτίδην*, ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως· ἤλγει δὲ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερόν· καὶ τῶν ἄλλων πόνοι κοπιώδεα τρόπον· οἱ πυρετοὶ παροξυνόμενοι ἄλλοτε ἀλλοίως ἀτάκτως· ἱδρῶτες ὁτὲ μὲν, ὁτὲ δ' οὔ· τὰ μὲν πλεῖστα ἐπεσήμαινον οἱ παροξυσμοὶ ἐν κρισίμοισι μᾶλλον. Περὶ δὲ εἰκοστὴν τετάρτην χεῖρας ἄκρας ἐψύχετο· ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα, μετ' ὀλίγον δὲ ἰώδεα· πάντων ἐκουφίσθη. Περὶ δὲ τριηκοστὴν ἐόντι ἤρξατο ἀπὸ ῥινῶν αἱμοῤῥαγέειν ἐξ ἀμφοτέρων, καὶ ταῦτα πεπλανημένως κατ' ὀλίγον μέχρι κρίσιος· οὐκ ἀπόσιτος δὲ, οὐδὲ διψώδης, παρὰ πάντα τὸν χρόνον, οὐδὲ ἄγρυπνος· οὖρα δὲ λεπτὰ, οὐκ ἄχροα. Περὶ δὲ τεσσαρακοστὴν ἐὼν οὔρησεν ὑπέρυθρα, ὑπόστασιν πολλὴν λείην ἐρυθρὴν ἔχοντα· ἐκουφίσθη· μετὰ δὲ, ποικίλως τὰ τῶν οὔρων,· ὁτὲ μὲν ὑπόστασιν εἶχεν, ὁτὲ δ' οὔ. Ἑξηκοστῇ οὔροισιν ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λείη· ξυνέδωκε πάντα· πυρετοὶ διέλιπον· οὖρα δὲ πάλιν λεπτὰ μὲν, εὔχροα δέ. Ἑβδομηκοστῇ ἄπυρος· διέλιπεν ἡμέρας δέκα

Ὀγδοηκοστῇ ἐπερρίγωσε· πυρετὸς ὀξὺς ἔλαβεν· ἵδρωσε πολλῷ· οὔροισιν ὑπόστασις ἐρυθρὴ λείη· τελέως ἐκρίθη.

7. *Μέτωνα* πῦρ ἔλαβεν· ὀσφύος βάρος ἐπώδυνον. Δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον ἀπὸ κοιλίης καλῶς διῆλθεν. Τρίτῃ κεφαλῆς βάρος· διαχωρήματα λεπτὰ χολώδεα ὑπέρυθρα. Τετάρτῃ πάντα παρωξύνθη· ἐρρύη ἀπὸ δεξιοῦ δὶς κατ' ὀλίγον· νύκτα δυσφόρως· διαχωρήματα ὁμοῖα τῇ τρίτῃ· οὖρα ὑπομέλανα, εἶχεν ἐναιώρημα ὑπομελανέον διεσπασμένον· ,οὐχ ἵδρυτο. Πέμπτῃ ἐρρύη λαῦρον ἐξ ἀριστεροῦ ἄκρητον· ἵδρωσεν· ἐκρίθη. Μετὰ δὲ κρίσιν οὖρα λεπτὰ ὑπομέλανα· ἄγρυπνος· παρέλεγεν· λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς· ἐκοιμήθη· κατενόει. Τούτῳ οὐχ ὑπέστρεψεν· ἀλλ' ἡμορράγει πολλάκις καὶ μετὰ κρίσιν.

8. *Ἐρασῖνον*, ὃς ᾤκει παρὰ Βοώτου χαράδρην, πῦρ ἔλαβε μετὰ δεῖπνον· νύκτα ταραχώδης. Ἡμέρην τὴν πρώτην δι' ἡσυχίης· νύκτα ἐπιπόνως. Δευτέρῃ πάντα παρωξύνθη· ἐς νύκτα παρέκρουσεν. Τρίτῃ ἐπιπόνως· παρέκρουσε πολλά. Τετάρτῃ δυσφορώτατα· νυκτὸς οὐδὲν ἐκοιμήθη· ἐνύπνια καὶ λογισμοί· ἔπειτα χείρω, μεγάλα καὶ ἐπίκαιρα· φόβος· δυσφορίη. Πέμπτῃ πρωῒ κατήρτητο· κατενόει πάντα· πουλὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάνη· κατέχειν οὐκ ἠδύνατο· ἄκρεα ψυχρὰ ὑποπέλια· οὖρα ἐπέστη· ἀπέθανε περὶ ἡλίου δυσμάς. Τούτῳ οἱ πυρετοὶ διὰ τέλεος ξὺν ἱδρῶτι· ὑποχόνδρια μετέωρα· ξύντασις μετ' ὀδύνης· οὖρα μέλανα, ἔχοντα ἐναιωρήματα στρογγύλα,· οὐχ ἵδρυτο· ἀπὸ δὲ κοιλίης κόπρανα διήει· δίψα διὰ τέλεος, οὐ λίην· σπασμοὶ πολλοὶ ξὺν ἱδρῶτι περὶ θάνατον.

9. *Κρίτωνι* ἐν Θάσῳ ποδὸς ὀδύνη ἤρξατο ἰσχυρὴ ἀπὸ

δακτύλου τοῦ μεγάλου ὀρθοστάδην περιιόντι. Κατεκλίθη αὐθημερόν· φρικώδης· ἀσώδης· σμικρὰ ὑποθερμαινόμενος· ἐς νύκτα παρεφρόνησεν. Δευτέρῃ οἴδημα δι' ὅλου τοῦ ποδὸς καὶ περὶ σφυρὸν, ὑπέρυθρον μετὰ ξυντάσιος· φλυκταινίδια μέλανα· πυρετὸς ὀξύς· ἐξεμάνη· ἀπὸ δὲ κοιλίης ἄκρητα χολώδεα ὑπόσυχνα διῆλθεν· ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

10. Τὸν *Κλαζομένιον*, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβεν. Ἤλγει δὲ κεφαλὴν, τράχηλον, ὀσφὺν ἐξ ἀρχῆς· αὐτίκα δὲ κώφωσις· ὕπνοι οὐκ ἐνῆσαν· πυρετὸς ὀξύς· ὑποχόνδριον ἐπῆρτο μετ' ὄγκου,· ξύντασις, οὐ λίην· γλῶσσα ξηρή. Τετάρτῃ ἐς νύκτα παρεφρόνησεν. Πέμπτῃ ἐπιπόνως· πάντα παρωξύνθη. Περὶ δὲ ἑνδεκάτην σμικρὰ ξυνέδωκεν. ἀπὸ δὲ κοιλίης ἐξ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτης λεπτὰ πολλὰ ὑδατόχολα διῄει· εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν· ἔπειτα κοιλίη ἐπέστη. οὖρα διὰ τέλεος λεπτὰ μὲν, εὔχροα δὲ,· τὰ πολλὰ εἶχεν ἐναιώρημά τι ὑποδιεσπασμένον·, οὐχ ἵδρυτο. Περὶ δὲ ἕκτην καὶ δεκάτην οὔρησεν ὀλίγῳ παχύτερα, εἶχε σμικρὴν ὑπόστασιν· ἐκούφισεν ὀλίγῳ· κατενόει μᾶλλον. Ἑπτακαιδεκάτῃ δὲ πάλιν λεπτά· παρὰ δὲ τὰ ὦτα ἀμφότερα ἐπήρθη ξὺν ὀδύνῃ· ὕπνοι οὐκ ἐνῆσαν· παρελήρει· σκέλεα ἐπωδύνως. Εἰκοστῇ ἄπυρος, ἐκρίθη· οὐχ ἵδρωσε· πάντα κατενόει. Περὶ δὲ εἰκοστὴν ἑβδόμην ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶς· διὰ ταχέων ἐπαύσατο. τὰ δὲ παρὰ τὰ ὦτα οὔτε καθίστατο οὔτε ἐξεπύει, ἤλγεε δέ. Περὶ δὲ τὴν πρώτην καὶ τριηκοστὴν διάρροια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων· οὖρα παχέα οὔρει· κατέστη τὰ παρὰ τὰ ὦτα. Περὶ δὲ τὴν τεσσαρακοστὴν ὀφθαλμὸν δεξιὸν ἤλγεεν· ἀμβλύτερον ἑώρα· κατέστη.

11. Τὴν *Δρομεάδεω* γυναῖκα, θυγατέρα τεκοῦσαν καὶ τῶν ἄλλων πάντων γενομένων κατὰ λόγον, δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβε· πυρετὸς ὀξύς. Ἤρξατο δὲ πονέειν τῇ πρώτῃ περὶ ὑποχόνδριον· ἀσώδης, φρικώδης, ἀλύουσα· καὶ τὰς ἐχομένας οὐχ ὕπνωσεν· πνεῦμα ἀραιὸν μέγα, αὐτίκα ἀνεσπασμένον. Δευτέρῃ ἀφ' ἧς ἐρρίγωσεν ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν· οὖρα παχέα λευκὰ ἀνατεταραγμένα, κείμενα χρόνον πουλὺν οὐ καθίστατο· νυκτὸς οὐκ ἐκοιμήθη. Τρίτῃ περὶ μέσον ἡμέρης ἐπερρίγωσεν· πυρετὸς ὀξύς· οὖρα ὁμοῖα· ὑποχονδρίου πόνος· ἀσώδης· νύκτα δυσφόρως· οὐκ ἐκοιμήθη· ἵδρωσε δι' ὅλου ψυχρῷ· ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. Τετάρτῃ περὶ μὲν ὑποχόνδριον σμικρὰ ἐκουφίσθη, κεφαλῆς δὲ βάρος μετ' ὀδύνης· ὑπεκαρώθη· σμικρὰ ἀπὸ ῥινῶν ἔσταξε· γλῶσσα ἐπίξηρος· διψώδης· οὖρα λεπτὰ ἐλαιώδεα· σμικρὰ ἐκοιμήθη. Πέμπτῃ διψώδης, ἀσώδης· οὖρα ὁμοῖα· ἀπὸ κοιλίης οὐδέν· περὶ δὲ μέσον ἡμέρης πολλὰ παρέκρουσε καὶ ταχὺ πάλιν σμικρὰ κατενόει· ἀνισταμένη ὑπεκαρώθη· ψύξις· σμικρὰ νυκτὸς ἐκοιμήθη· παρέκρουσεν. Ἕκτῃ πρωὶ ἐπερρίγωσε, ταχὺ δὲ διεθερμάνθη· ἵδρωσε δι' ὅλου· ἄκρεα ψυχρά· παρέκρουσε· πνεῦμα μέγα ἀραιόν· μετ' ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο· ταχὺ ἀπέθανεν.

12. Ἄνθρωπος ὑποθερμαινόμενος ἐδείπνησε καὶ ἔπιε πλέον· ἤμεσε πάντα νυκτός· πυρετὸς ὀξύς· ὑποχονδρίου δεξιοῦ πόνος· φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρεος· νύκτα δυσφόρως· οὖρα δὲ κατ' ἀρχὰς πάχος ἔχοντα, ἐρυθρὰ θολερά· κείμενα οὐ καθίστατο· γλῶσσα ἐπίξηρος· οὐ λίην διψώδης. Τετάρτῃ πυρετὸς ὀξύς· πόνοι πάντων. Πέμπτῃ οὔρησε λεῖον ἐλαιῶδες πουλύ· πυρετὸς ὀξύς. Ἕκτῃ δείλης πολλὰ παρέ-

κρουσεν· οὐδὲ νυκτὸς ἐκοιμήθη. Ἑβδόμη πάντα παρωξύνθη· οὖρα ὁμοῖα· λόγοι πολλοί, κατέχειν οὐκ ἠδύνατο· ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ ταραχώδεα διῆλθε μετὰ ἑλμίνθων· νύκτα ὁμοίως ἐπιπόνως. πρωὶ δὲ ἐρρίγωσε· πυρετὸς ὀξύς· ἵδρωσε πολλῷ καὶ θερμῷ· ἄπυρος ἔδοξε γενέσθαι· οὐ πουλὺ ἐπεκοιμήθη· ἐξ ὕπνου ψύξις· πτυαλισμός· δείλης πολλὰ παρέκρουσε· μετ' ὀλίγον δὲ ἤμεσε μέλανα ὀλίγα χολώδεα. Ἐνάτη ψύξις· παρελήρει πολλά· οὐχ ὕπνωσε. Δεκάτη σκέλεα ἐπωδύνως· πάντα παρωξύνθη· παρελήρει. Ἑνδεκάτη ἀπέθανεν.

13. Γυναῖκα, ἢ κατέκειτο ἐν ἀκτῇ, τρίμηνον πρὸς ἑωυτῇ ἔχουσαν πῦρ ἔλαβεν· αὐτίκα δὲ ἤρξατο πονέειν ὀσφύν. Τρίτῃ πόνος τραχήλου, κεφαλῆς, κατὰ κληῖδα, χεῖρα δεξιήν· διὰ ταχέων δὲ γλῶσσα ἀσαφής· ἠφώνει· δεξιὴ χεὶρ παρελύθη μετὰ σπασμοῦ παραπληγικὸν τρόπον· παρελήρει πάντα· νύκτα δυσφόρως· οὐκ ἐκοιμήθη· κοιλίη ἐπεταράχθη χολώδεσιν ἀκρήτοισιν ὀλίγοισι. Τετάρτῃ γλῶσσα σαφής· φωνὴ ἐλύθη· σπασμοὶ τῶν αὐτῶν· πόνοι πάντων παρέμενον· κατὰ ὑποχόνδριον ἔπαρμα ξὺν ὀδύνῃ· οὐκ ἐκοιμᾶτο· παρέκρουσε πάντα· κοιλίη ταραχώδης· οὖρα λεπτά, οὐκ εὔχροα. Πέμπτῃ πυρετὸς ὀξύς· ὑποχονδρίου πόνος· παρέκρουσε πάντα· διαχωρήματα χολώδεα· ἐς νύκτα ἵδρωσεν· ἄπυρος. Ἕκτῃ κατενόει πάντα· ἐκουφίσθη· περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενεν· διψώδης· οὖρα λεπτά· οὐκ ἐκοιμήθη. Ἑβδόμῃ τρόμος· ὑπεκαρώθη· σμικρὰ παρέκρουσεν· ἀλγήματα κατὰ κληῖδα καὶ βραχίονα ἀριστερὸν παρέμενε· τὰ δ' ἄλλα διεκούφισε· πάντα κατενόει. τρεῖς δὲ διέλιπεν ἄπυρος. Ἑνδεκάτῃ ὑπέστρεψεν· ἐπερρίγωσε· πῦρ ἔλαβεν. Περὶ δὲ τεσσαρεσκαιδεκάτην ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα· ἵδρωσεν· ἄπυρος, ἐκρίθη.

14. *Μηλίδι*, ἣ κατέκειτο παρὰ Ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρός. Αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβεν· γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο· πόνοι τούτων πάντων ξυνεχέες. Ἕκτη κωματώδης, ἀσώδης, φρικώδης· ἐρύθημα ἐπὶ γνάθων· σμικρὰ παρέκρουσεν. Ἑβδόμῃ ἵδρωσεν· ἄπυρος διέλιπεν· οἱ πόνοι παρέμενον. Ὑπέστρεψεν· ὕπνοι σμικροί· οὖρα διὰ τέλεος εὔχροα μὲν, λεπτὰ δέ· διαχωρήματα λεπτὰ· χολώδεα δακνώδεα, κάρτα ὀλίγα, μέλανα δυσώδεα διῆλθεν· οὔροισιν ὑπόστασις λευκὴ λείη· ἵδρωσεν· ἐκρίθη τελέως ἑνδεκαταίη.

Γ'.

Γ'. 1[1]. *Πυθίωνι*, ὃς ᾤκει παρὰ Γῆς ἱερὸν, ἤρξατο τρόμος ἀπὸ χειρῶν. Τῇ πρώτῃ πυρετὸς ὀξύς· λῆρος. Δευτέρῃ πάντα παρωξύνθη. Τρίτῃ τὰ αὐτά. Τετάρτῃ ἀπὸ κοιλίης ὀλίγα ἄκρητα χολώδεα διῆλθεν. Πέμπτῃ πάντα παρωξύνθη· ὕπνοι λεπτοί· κοιλίη ἔστη. Ἕκτῃ πτύαλα ποικίλα ὑπέρυθρα. Ἑβδόμῃ στόμα παρειρύσθη. Ὀγδόῃ πάντα παρωξύνθη· τρόμοι παρέμενον· οὖρα δὲ κατ' ἀρχὰς μὲν καὶ μέχρι τῆς ὀγδόης λεπτὰ ἄχροα, ἐναιώρημα εἶχεν ἐπινέφελον. Δεκάτῃ ἵδρωσεν· πτύαλα ὑποπέπονα· ἐκρίθη· οὖρα ὑπόλεπτα περὶ κρίσιν. Μετὰ δὲ κρίσιν, τεσσαράκοντα ἡμέρῃσιν ὕστερον, ἐμπύημα περὶ ἕδρην καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις.

2[2]. *Ἑρμοκράτην*, ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖχος, πῦρ ἔλαβεν. Ἤρξατο δὲ ἀλγέειν κεφαλὴν, ὀσφύν· ὑποχονδρίου ἔντασις; λαπαρῶς· γλῶσσα δὲ ἀρχομένῳ ἐπεκαύθη· κώφωσις αὐτίκα· ὕπνοι οὐκ ἐνῆσαν· διψώδης οὐ λίην· οὖρα παχέα

ἐρυθρά, κείμενα οὐ καθίστατο· ἀπὸ δὲ κοιλίης οὐκ ὀλίγα ξυγκεκαυμένα διήει. Πέμπτῃ οὔρησε λεπτά, εἶχεν ἐναιώρημα· οὐχ ἵδρυτο· ἐς νύκτα παρέκρουσεν. Ἕκτῃ ἰκτεριώδης· πάντα παρωξύνθη· οὐ κατενόει. Ἑβδόμῃ δυσφόρως· οὖρα λεπτὰ ὁμοῖα. τὰς ἐπομένας παραπλησίως. Περὶ δὲ ἑνδεκάτην ἐόντι πάντα ἔδοξε κουφισθῆναι· κῶμα ἤρξατο· οὖρει παχύτερα, ὑπέρυθρα, κάτω ὑπόλευκα,· οὐ καθίστατο· ἡσυχῇ κατενόει. Τεσσαρεσκαιδεκάτῃ ἄπυρος· οὐχ ἵδρωσεν· ἐκοιμήθη· κατενόει πάντα· οὖρα παραπλήσια. Περὶ δὲ ἑπτακαιδεκάτην ἐόντι ὑπέστρεψεν· ἐθερμάνθη. Τὰς ἐπομένας πυρετὸς ὀξύς· οὖρα λεπτά· παρέκρουσεν. Πάλιν δὲ εἰκοστῇ ἐκρίθη, ἄπυρος· οὐχ ἵδρωσεν· ἀπόσιτος παρὰ πάντα τὸν χρόνον· κατενόει πάντα· διαλέγεσθαι οὐκ ἠδύνατο· γλῶσσα ἐπίξηρος· οὐκ ἐδίψη· κατεκοιμᾶτο σμικρὰ κωματώδης. Περὶ δὲ εἰκοστὴν καὶ τετάρτην ἐπεθερμάνθη· κοιλίη ὑγρή, πολλοῖσι λεπτοῖσι ῥέουσα· καὶ τὰς ἐπομένας πυρετὸς ὀξύς· γλῶσσα ξυνεκαύθη. Ἑβδόμῃ καὶ εἰκοστῇ ἀπέθανεν. Τούτῳ κώφωσις διὰ τέλεος παρέμενεν· οὖρα ἢ παχέα καὶ ἐρυθρά, οὐ καθιστάμενα, ἢ λεπτὰ καὶ ἄχροα καὶ ἐναιώρημα ἔχοντα· γεύεσθαι δὲ οὐκ ἠδύνατο.

3'. Ὁ κατακείμενος ἐν τῷ Δελεάρκεος κήπῳ κεφαλῆς βάρος καὶ κρόταφον δεξιὸν ἐπώδυνον εἶχε χρόνον πουλύν· μετὰ δὲ προφάσιος πῦρ ἔλαβεν· κατεκλίθη. Δευτέρῃ ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐρρύη αἷμα· ἀπὸ δὲ κοιλίης κόπρανα καλῶς διῆλθεν· οὖρα λεπτὰ ποικίλα, ἐναιώρημα ἔχοντα γονοειδὲς καί τινα σμικρά, οἷον κρίμνα. Τρίτῃ πυρετὸς ὀξύς· διαχωρήματα μέλανα λεπτὰ ἔπαφρα· ὑπόστασις πελίη διαχωρήμασιν· ὑπεκαροῦτο· ἐδυσφόρει περὶ τὰς ἀναστάσιας· οὔροισιν ὑπόστασις πελίη ὑπόγλισχρος. Τετάρτῃ ἤμεσε χο-

λώδεα ξανθὰ ὀλίγα, διαλιπὼν ὀλίγον, ἰώδεα· ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐῤῥύη· διαχωρήματα ὁμοῖα· οὖρα ὁμοῖα· ἐφίδρωσε περὶ κεφαλὴν καὶ κληῖδας· σπλὴν ἐπήρθη· μηροῦ ὀδύνη κατ' ἴξιν· ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος· νυκτὸς οὐκ ἐκοιμήθη· παρέκρουσε σμικρά. Πέμπτῃ διαχωρήματα πλείω, μέλανα ἔπαφρα· ὑπόστασις μέλαινα διαχωρήμασιν· νυκτὸς οὐχ ὕπνωσεν· παρέκρουσεν. Ἕκτῃ διαχωρήματα μέλανα λιπαρὰ γλίσχρα δυσώδεα· ὕπνωσεν· κατενόει μᾶλλον. Ἑβδόμῃ γλῶσσα ἐπίξηρος· διψώδης· οὐκ ἐκοιμήθη· παρέκρουσεν· οὖρα λεπτά, οὐκ εὔχροα. Ὀγδόῃ διαχωρήματα μέλανα ὀλίγα ξυνεστηκότα· ὕπνωσεν· κατενόει· διψώδης οὐ λίην. Ἐνάτῃ ἐπεῤῥίγωσεν· πυρετὸς ὀξύς· ἵδρωσεν· ψύξις· παρέκρουσε, δεξιῷ ἴλλαινεν· γλῶσσα ἐπίξηρος· διψώδης· ἄγρυπνος. Δεκάτῃ περὶ τὰ αὐτά. Ἑνδεκάτῃ κατενόει πάντα· ἵδρωσε δι' ὅλου· ἄπυρος· ὕπνωσεν· οὖρα λεπτὰ περὶ κρίσιν. Δύο διέλιπεν ἄπυρος· ὑπέστρεψε τεσσαρεσκαιδεκάτῃ· αὐτίκα δὲ ἠδημόνει· οὖρον ἀνατεταραγμένον· νυκτὸς οὐκ ἐκοιμήθη· παρέκρουσεν. Πεντεκαιδεκάτῃ πυρετὸς ὀξύς· πάντα παρέκρουσεν· οὐκ ἐκοιμήθη· γούνατα καὶ κνήμας ἐπωδύνως εἶχεν· ἀπὸ δὲ κοιλίης βάλανον προσθεμένῳ μέλανα κόπρανα διῆλθεν. Ἑξκαιδεκάτῃ οὖρα λεπτά, εἶχε δὲ ἐναιώρημα ἐπινέφελον· παρέκρουσεν. Ἑπτακαιδεκάτῃ πρωῒ ἄκρεα ψυχρά· περιεστέλλετο· πυρετὸς ὀξύς· ἵδρωσε δι' ὅλου· ἐκουφίσθη· κατενόει μᾶλλον· οὐκ ἄπυρος· διψώδης· ἤμεσε χολώδεα ξανθὰ ὀλίγα· ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε, μετ' ὀλίγον δὲ μέλανα ὀλίγα λεπτά· οὖρα λεπτά, οὐκ εὔχροα. Ὀκτωκαιδεκάτῃ οὐ κατενόει· κωματώδης. Ἐννεακαιδεκάτῃ διὰ τῶν αὐτῶν. Εἰκοστῇ ὕπνωσεν· κατενόει πάντα· ἵδρωσεν· ἄπυρος·

οὐκ ἐδίψη· οὖρα δὲ λεπτά. Εἰκοστῇ πρώτῃ σμικρὰ παρέκρουσεν· ὑπεδίψη· ὑποχονδρίου πόνος, καὶ περὶ ὀμφαλὸν παλμὸς διὰ τέλεος. Εἰκοστῇ τετάρτῃ οὔροισιν ὑπόστασις· κατενόει πάντα. Εἰκοστῇ ἑβδόμῃ ἰσχίου δεξιοῦ ὀδύνη· οὖρα λεπτά, οὐκ εἶχεν ὑπόστασιν· τὰ δ' ἄλλα εἶχεν ἐπιεικέστατα. Περὶ δὲ εἰκοστὴν ἐνάτην ὀφθαλμοῦ δεξιοῦ ὀδύνη· οὖρα λεπτά. Τεσσαρακοστῇ διεχώρησε φλεγματώδεα λευκὰ ὑπόσυχνα· ἵδρωσε πολλῷ δι' ὅλου· τελέως ἐκρίθη.

4[1]. Ἐν Θάσῳ *Φιλίστης* κεφαλὴν ἐπόνεε χρόνον πουλύν, καί ποτε καὶ ὑποκαρωθείς· ἐκ δὲ πότων ξυνεχέων γενομένων ὁ πόνος παρωξύνθη· κατεκλίθη· νυκτὸς ἐπεθερμάνθη. Τῇ πρώτῃ ἤμεσε χολώδεα ὀλίγα ξανθὰ τὸ πρῶτον, μετὰ δὲ ἰώδεα πλείω· ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθεν· νύκτα δυσφόρως. Δευτέρῃ κώφωσις· πυρετὸς ὀξύς· ὑποχόνδριον δεξιὸν ξυνετάθη, ἔρρεπεν ἐς τὰ ἔσω· οὖρα λεπτὰ διαφανέα, εἶχεν ἐναιώρημα γονοειδὲς σμικρόν· ἐξεμάνη περὶ μέσην ἡμέρην. Τρίτῃ δυσφόρως. Τετάρτῃ σπασμοί· παρωξύνθη πάντα. Πέμπτῃ πρωῒ ἀπέθανεν.

5[1]. *Χαιρίωνα*, ὃς κατέκειτο παρὰ Δημαινέτῳ, ἐκ πότου πῦρ ἔλαβεν· αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον· οὐκ ἐκοιμᾶτο· κοιλίη ταραχώδης λεπτοῖσιν ὑποχολώδεσιν. Τρίτῃ πυρετὸς ὀξύς· κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω· μετ' ὀλίγον δὲ ῥῖγος· σπασμοί· πάντα παρέκρουσεν· νύκτα δυσφόρως. Τετάρτῃ δι' ἡσυχίης· σμικρὰ ἐκοιμήθη· παρέλεγεν. Πέμπτῃ ἐπιπόνως· πάντα παρωξύνθη· λῆροι· νύκτα δυσφόρως· οὐκ ἐκοιμήθη. Ἕκτῃ διὰ τῶν αὐτῶν. Ἑβδόμῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· ἵδρωσε δι' ὅλου· ἐκρίθη. Τούτῳ διὰ τέλεος ἀπὸ κοιλίης διαχωρήματα χολώδεα ὀλίγα ἄκρη-

τα· οὖρα λεπτὰ, οὐκ εὔχροα, ἐναιώρημα ἐπινέφελον ἔχοντα. Περὶ ὀγδόην οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκὴν ὀλίγην· κατενόει· ἄπυρος διέλιπεν. Ἐνάτη ὑπέστρεψεν. Περὶ δὲ τεσσαρεσκαιδεκάτην πυρετὸς ὀξύς. Ἑξκαιδεκάτῃ ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα. Ἑπτακαιδεκάτῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· ἵδρωσεν· ἄπυρος, ἐκρίθη. οὖρα μετὰ ὑποστροφὴν καὶ κρίσιν εὔχροα, ὑπόστασιν ἔχοντα· οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. Ὀκτωκαιδεκάτῃ ἐθερμαίνετο σμικρά· ὑπεδίψη· οὖρα λεπτά,· ἐναιώρημα ἐπινέφελον· σμικρὰ παρέκρουσεν. Περὶ δὲ ἐννεακαιδεκάτην ἄπυρος· τράχηλον ἐπωδύνως εἶχεν· οὔροισιν ὑπόστασις. Τελέως ἐκρίθη εἰκοστῇ.

6[1]. Τὴν *Εὐρυάνακτος* θυγατέρα, παρθένον, πῦρ ἔλαβεν. ἦν δὲ ἄδιψος διὰ τέλεος· γεύματα οὐ προσεδέχετο. ἀπὸ δὲ κοιλίης σμικρὰ διῄει· οὖρα λεπτὰ, ὀλίγα, οὐκ εὔχροα. Ἀρχομένου δὲ τοῦ πυρετοῦ περὶ ἕδρην ἐπόνεεν. Ἑκταίη δὲ ἐοῦσα, ἄπυρος, ἐκρίθη· οὐχ ἵδρωσεν,· τὰ δὲ περὶ τὴν ἕδρην ἐκπυήσαν ἐρράγη ἅμα κρίσι. Μετὰ δὲ κρίσιν ἑβδομαίη ἐοῦσα ἐρρίγωσε, σμικρὰ ἐπεθερμάνθη, ἵδρωσεν. Ὀγδοαίη δὲ ἐοῦσα ἐπερρίγωσεν· οὐ πολλῷ δὲ ὕστερον ἄκρεα ψυχρὰ αἰεί. Περὶ δὲ δεκάτην μετὰ τὸν ἱδρῶτα τὸν γενόμενον παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόεε. ἔλεγον δὲ γευσαμένην βότρυος ταῦτα παθεῖν. Διαλιποῦσα δὲ δύο δωδεκάτῃ πάλιν πολλὰ παρελήρει· κοιλίη ἐταράχθη χολώδεσιν ὀλίγοισιν ἀκρήτοισι λεπτοῖσι δακνώδεσιν· πυκνὰ ἀνίστατο. Ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον, ἀπέθανεν ἑβδόμῃ. Αὕτη εὐθὺς ἀρχομένη τοῦ νοσήματος ἤλγεε φάρυγγα καὶ διὰ τέλεος ἔρευθος εἶχεν· γαργαρεὼν ἀνεσπασμένος· ῥεῦμα δριμὺ δακνῶδες ἁλμυρῶδες διὰ τέλεος παρέμενεν· ἔβησσε πυκνά·

πέπον οὐδὲν ἀνῆγεν· ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον, οὐδ' ἐπεθύμησεν οὐδενός· ἄδιψος, οὐδ' ἔπινεν· οὐδὲν ἄξιον λόγου· σιγῶσα· οὐδὲν διελέγετο· δυσθυμίη· ἀνελπίστως ἑωυτῆς εἶχεν. ἦν δέ τι καὶ ξυγγενικὸν φθινῶδες.

7[1]. * Κυναγχική. Ἡ παρὰ τὰ Ἀριστοδίωνος ᾤκει, πρῶτον ἀπὸ γλώσσης ἤρξατο ἀσαφείης· ἠφώνει· γλῶσσα ἐρυθρή· ἐπεξηράνθη. Τῇ πρώτῃ φρικώδης· ἐπεθερμάνθη. Τρίτῃ ῥῖγος· πυρετὸς ὀξύς· οἴδημα ὑπέρυθρον σκληρὸν τραχήλου καὶ στήθεος ἐξ ἀμφοτέρων· ἄκρεα ψυχρὰ πελιδνά· πνεῦμα μετέωρον· ποτὸν διὰ ῥινῶν ἐχεῖτο· καταπίνειν οὐκ ἠδύνατο· διαχωρήματα καὶ οὖρα ἐπέστη. Τετάρτῃ πάντα παρωξύνθη. Πέμπτῃ ἀπέθανε κυναγχική.

8[1]. Τὸ μειράκιον, ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων καὶ πόνων καὶ δρόμων παρὰ τὸ ἔθος. Τῇ πρώτῃ κοιλίη ταραχώδης χολώδεσι λεπτοῖσι πολλοῖσιν· οὖρα λεπτὰ ὑπομέλανα· οὐχ ὕπνωσεν· διψώδης. Δευτέρῃ πάντα παρωξύνθη· διαχωρήματα πλείω, ἀκαιρότερα· οὐχ ὕπνωσεν· τὰ τῆς γνώμης ταραχώδεα· σμικρὰ ἐφίδρωσεν. Τρίτῃ δυσφόρως· διψώδης· ἀσώδης· πουλὺς βληστρισμός· ἀπορίη· παρέκρουσεν· ἄκρεα πελιδνὰ καὶ ψυχρά· ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. Τετάρτῃ οὐχ ὕπνωσεν. ἐπὶ τὸ χεῖρον. Ἑβδόμῃ ἀπέθανεν. Ἡλικίη περὶ ἔτεα εἴκοσιν.

9[1]. Ἣ παρὰ *Τισαμενῷ* κατέκειτο τὰ εἰλεώδεα δυσφόρως ὥρμησεν· ἔμετοι πολλοί· ποτὸν κατέχειν οὐκ ἠδύνατο· πόνοι περὶ ὑποχόνδρια καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην· στρόφοι ξυνεχέες· οὐ διψώδης· ὑπεθερμαίνετο· ἄκρεα ψυχρὰ διὰ τέλεος· ἀσώδης· ἄγρυπνος· οὖρα ὀλίγα λεπτά· διαχωρήματα ὠμὰ λεπτὰ ὀλίγα· ὠφελέειν οὔτι ἠδύνατο· ἀπέθανεν.

10[1]. Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου· τῶν περὶ Παντιμίδην· τῇ πρώτῃ πῦρ ἔλαβεν· γλῶσσα ἐπίξηρος· διψώδης· ἀσώδης· ἄγρυπνος· κοιλίη ταραχώδης λεπτοῖσι πολλοῖσιν ὠμοῖσιν. Δευτέρῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· ἀπὸ κοιλίης πολλά· οὐχ ὕπνωσεν. Τρίτῃ μείζους οἱ πόνοι. Τετάρτῃ παρέκρουσεν. Ἑβδόμῃ ἀπέθανεν. Κοιλίη διὰ παντὸς ὑγρὴ διαχωρήμασι πολλοῖσι λεπτοῖσιν ὠμοῖσιν· οὖρα ὀλίγα λεπτά.

11[1]. Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, οἰκέτεω γυναῖκα, πῦρ ἔλαβεν· ἀρχομένη κωματώδης καὶ πάλιν ἄγρυπνος· ὀσφύος ὀδύνη· κεφαλῆς βάρος. Δευτέρῃ κοιλίη ἐπεταράχθη ὀλίγοισι λεπτοῖσιν ἀκρήτοισι τὸ πρῶτον. Τρίτῃ πλείω καὶ χείρω· νυκτὸς οὐδὲν ἐκοιμήθη. Τετάρτῃ παρέκρουσεν· φόβοι· δυσθυμίη· δεξιῷ ἴλλαινεν· ἵδρωσε περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ· ἄκρεα ψυχρά. Πέμπτῃ πάντα παρωξύνθη· πολλὰ παρέλεγε, καὶ πάλιν ταχὺ κατενόει· ἄδιψος· ἄγρυπνος· κοιλίη πολλοῖσιν ἀκαίροισι διὰ τέλεος· οὖρα ὀλίγα λεπτὰ ὑπομέλανα· ἄκρεα ψυχρὰ ὑποπέλια. Ἕκτῃ διὰ τῶν αὐτῶν. Ἑβδόμῃ ἀπέθανεν.

12[1]. Γυναῖκα, ἣ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τεκοῦσαν τότε πρῶτον ἐπιπόνως ἄρσεν, πῦρ ἔλαβεν. Αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίην ὑπήλγει· γλῶσσα ἐπίξηρος· κοιλίη ἐπεταράχθη λεπτοῖσιν ὀλίγοισιν· οὐχ ὕπνωσεν. Δευτέρῃ σμικρὰ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· σμικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. Τρίτῃ ἐπιπόνως· ἀπὸ κοιλίης ὠμὰ λεπτὰ πολλὰ διήει. Τετάρτῃ ἐπερρίγωσεν· πάντα παρωξύνθη· ἄγρυπνος. Πέμπτῃ ἐπιπόνως. Ἕκτῃ διὰ τῶν αὐτῶν· ἀπὸ δὲ κοιλίης διῆλθεν ὑγρὰ πολλά. Ἑβδόμῃ ἐπερρίγωσεν· πυρετὸς ὀξύς· δίψα πολλή· βληστρισμός· περὶ δείλην ἵδρωσε

δι' ὅλου ψυχρῷ· ἄκρεα ψυχρά, οὐκ ἔτι ἀνεθερμαίνετο· καὶ πάλιν ἐς νύκτα ἐπερρίγωσεν· ἄκρεα οὐκ ἀνεθερμαίνετο· οὐχ ὕπνωσεν· σμικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. Ὀγδόῃ περὶ μέσον ἡμέρης ἀνεθερμάνθη· διψώδης· κωματώδης· ἀσώδης· ἤμεσε χολώδεα σμικρὰ ὑπόξανθα· νύκτα δυσφόρως· οὐκ ἐκοιμήθη· οὔρησε πουλὺ ἀθρόον οὐκ εἰδυῖα. Ἐνάτῃ ξυνέδωκε πάντα· κωματώδης· πρὸς δείλην σμικρὰ ἐπερρίγωσεν· ἤμεσε σμικρὰ χολώδεα. Δεκάτῃ ῥῖγος· πυρετὸς παρωξύνθη· οὐχ ὕπνωσεν οὐδέν· πρωὶ οὔρησε πουλὺ, ὑπόστασιν οὐκ ἔχον· ἄκρεα ἀνεθερμάνθη. Ἑνδεκάτῃ ἤμεσεν ἰώδεα χολώδεα· ἐπερρίγωσεν οὐ μετὰ πουλὺ, καὶ πάλιν ἄκρεα ψυχρά· ἐς δείλην ῥῖγος· ἱδρὼς ψυχρός· ἤμεσε πολλά· νύκτα ἐπιπόνως. Δωδεκάτῃ ἤμεσε πολλὰ μέλανα δυσώδεα· λυγμὸς πουλύς· δίψος ἐπιπόνως. Τρισκαιδεκάτῃ μέλανα δυσώδεα πολλὰ ἤμεσεν· ῥῖγος· περὶ δὲ μέσον ἡμέρης ἄφωνος. Τεσσαρεσκαιδεκάτῃ αἷμα διὰ ῥινῶν· ἀπέθανεν. Ταύτῃ διὰ τέλεος κοιλίη ὑγρή· φρικώδης. Ἡλικίη περὶ ἔτεα ἑπτακαίδεκα.

12. Ἐν Θάσῳ τὸν *Πάριον*, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξὺς ξυνεχής· καυσώδης· διψώδης· ἀρχόμενος κωματώδης καὶ αὖθις ἄγρυπνος· κοιλίη ταραχώδης ἀκρήτοισιν· οὖρα λεπτά. Ἕκτῃ οὔρησεν ἐλαιῶδες· ἀπὸ δὲ κοιλίης χολώδεα λιπαρὰ διῆλθεν· παρέκρουσεν. Ἑβδόμῃ παρωξύνθη πάντα· οὐδὲν ἐκοιμήθη· τἆλλα, οὖρά τε ὁμοῖα καὶ τὰ τῆς γνώμης ταραχώδεα. Εἶτα τῇ ὀγδόῃ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν· ἤμεσεν ἰώδεα ὀλίγα· σμικρὰ ἐκοιμήθη. Ἐνάτῃ διὰ τῶν αὐτῶν. Δεκάτῃ πάντα ξυνέδωκεν. Ἑνδεκάτῃ ἵδρωσεν, οὐ δι' ὅλου· περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. Τεσσαρεσκαιδεκάτῃ πυρετὸς ὀξύς· διαχωρήματα χολώδεα

λεπτὰ πολλά· οὔροισιν ἐναιώρημα· παρέκρουσεν. Ἑπτακαιδεκάτῃ ἐπιπόνως· οὔτε γὰρ ὕπνοι, ὅ τε πυρετὸς ἐπέτεινεν. Εἰκοστῇ ἵδρωσε δι' ὅλου· ἄπυρος· διαχωρήματα χολώδεα· ἀπόσιτος· κωματώδης. Εἰκοστῇ τετάρτῃ ὑπέστρεψεν. Τριηκοστῇ τετάρτῃ ἄπυρος· κοιλίη οὐ ξυνίστατο· καὶ πάλιν ἀνεθερμάνθη. Τεσσαρακοστῇ ἄπυρος. κοιλίη ξυνέστη χρόνον οὐ συχνόν· ἀπόσιτος· σμικρὰ πάλιν ἐπύρεξε,· καὶ διὰ παντὸς πεπλανημένως. ἄπυρος τὰ μέν, τὰ δ' οὔ· εἰ γάρ τι διαλίποι καὶ διακουφίσειε, ταχὺ πάλιν ὑπέστρεφεν. σιταρίοισί τε πολλοῖσι καὶ φαύλοισι προσεχρῆτο. ὕπνοι κακοί. περὶ τὰς ὑποστροφὰς παρέκρουσεν· οὖρα πάχος μὲν ἔχοντα οὔρει τηνικαῦτα, ταραχώδεα δὲ καὶ πονηρά· καὶ τὰ κατὰ κοιλίην ξυνιστάμενα καὶ πάλιν διαλυόμενα· πυρέτια ξυνεχέα· διαχωρήματα πολλὰ λεπτά. Ἐν δὲ τῇ ἑκατοστῇ εἰκοστῇ ἡμέρῃ ἀπέθανεν. Τούτῳ κοιλίη ξυνεχέως ἀπὸ τῆς πρώτης ὑγρὴ χολώδεσιν ὑγροῖσι πολλοῖσιν, ἢ ξυνισταμένη ἐν ζέουσι καὶ ἀπέπτοισιν· οὖρα διὰ τέλεος κακά· κωματώδης τὰ πλεῖστα·. μετὰ πόνων ἄγρυπνος· ἀπόσιτος ξυνεχέως.

2?. Ἐν Θάσῳ τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν ὕδωρ, ἐκ τόκου, θυγατέρα τεκοῦσαν, καὶ καθάρσιος οὐ γενομένης, πυρετὸς ὀξὺς φρικώδης τριταίην ἔλαβεν. ἐκ χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν, κατακλινής, ἀπόσιτος. μετὰ δὲ τὸ γενόμενον ῥῖγος ξυνεχέες ὀξέες φρικώδεες οἱ πυρετοί. Ὀγδόῃ πολλὰ παρέκρουσε, καὶ τὰς ἐχομένας, καὶ ταχὺ πάλιν κατενόει· κοιλίη ταραχώδης πολλοῖσι λεπτοῖσιν ὑδατοχόλοισιν· ἄδιψος. Ἑνδεκάτῃ κατενόει· κωματώδης δὲ ἦν· οὖρα πολλὰ λεπτὰ μέλανα· ἄγρυπνος. Εἰκοστῇ σμικρὰ περιέψυξε, καὶ ταχὺ πάλιν ἀνεθερμάνθη· σμικρὰ παρ-

ἔλεγεν· ἄγρυπνος· τὰ κατὰ κοιλίην ἐπὶ τῶν αὐτῶν· οὖρα ὑδατώδεα πολλά. Εἰκοστῇ ἑβδόμῃ ἄπυρος· κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρὴ χρόνον πουλύν· πυρετοὶ πάλιν παρείποντο· οὖρα ὑδατώδεα. Τεσσαρακοστῇ τὰ μὲν περὶ τὸ ἰσχίον ὑπεκούφιστε, βῆχες δὲ ξυνεχέες ὑγραί· κοιλίη ξυνέστη· ἀπόσιτος· οὖρα ἐπὶ τῶν αὐτῶν. οἱ δὲ πυρετοὶ τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, πεπλανημένως δὲ παροξυνόμενοι τὰ μὲν, τὰ δ' οὔ. Ἑξηκοστῇ αἱ μὲν βῆχες ἀσήμως ἐξέλιπον· οὔτε γάρ τοι πτυάλων πεπασμὸς ἐγένετο, οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις. σιηγὼν δὲ, ἡ ἐκ τῶν ἐπὶ δεξιὰ, κατεσπάσθη· κωματώδης· παρέλεγε, καὶ ταχὺ πάλιν κατενόει· πρὸς δὲ τὰ γεύματα ἀπονενοημένως εἶχεν· σιηγὼν μὲν ἐπανῆκεν, κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν· ἐπύρεσσεν ὀξυτέρως· φρικώδης· καὶ τὰς ἐχομένας ἄφωνος, καὶ πάλιν κατενόει καὶ διελέγετο. Ὀγδοηκοστῇ ἀπέθανεν. Ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα καὶ λεπτὰ καὶ ὑδατώδεα· κῶμα παρείπετο· ἀπόσιτος, ἄθυμος, ἄγρυπνος· ὀργαί· δυσφορίαι· τὰ περὶ τὴν γνώμην μελαγχολικά.

3'. Ἐν Θάσῳ *Πυθίωνα*, ὃς κατέκειτο ὑπεράνω τοῦ Ἡρακλείου, ἐκ πόνων καὶ κόπων καὶ διαίτης γενομένης ἀμελέος ῥῖγος μέγα καὶ πυρετὸς ὀξὺς ἔλαβεν· γλῶσσα ἐπίξηρος· διψώδης· χολώδης· οὐχ ὕπνωσεν· οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον· οὐχ ἵδρυτο. Δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον· ἄναυδος· βραχύπνοος ἐπὶ χρόνον πουλύν· ἀνεθερμάνθη· δίψα· νύκτα δι' ἡσυχίης· ἵδρωσε περὶ κεφαλὴν σμικρά. Τρίτῃ, ἡμέρην δι' ἡσυχίης· ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη σμικρά· ἄση· ταραχή·

νύκτα ἐπιπόνως· οὐδὲν ὕπνωσεν· ἀπὸ δὲ κοιλίης σμικρὰ ξυνεστηκότα κόπρανα διῆλθεν. Τετάρτῃ, πρωὶ δι' ἡσυχίης· περὶ δὲ μέσον ἡμέρης πάντα παρωξύνθη· ψύξις· ἄναυδος· ἐπὶ τὸ χεῖρον· ἀνεθερμάνθη μετὰ χρόνον· οὔρησε μέλανα, ἐναιώρημα ἔχοντα· νύκτα δι' ἡσυχίης· ἐκοιμήθη. Πέμπτῃ ἔδοξε κουφισθῆναι· κατὰ δὲ κοιλίην βάρος μετὰ πόνου· διψώδης· νύκτα ἐπιπόνως. Ἕκτῃ, πρωὶ μὲν δι' ἡσυχίης, δείλης δὲ οἱ πόνοι μείζους· παρωξύνθη· ἀπὸ δὲ κοιλίης ὀψὲ κλυσματίῳ καλῶς διῆλθεν· νυκτὸς ἐκοιμήθη. Ἑβδόμῃ ἡμέρῃ ἀσώδης· ὑπεδυσφόρει· οὔρησεν ἐλαιῶδες· νυκτὸς ταραχὴ πολλή· παρέλεγεν· οὐδὲν ἐκοιμᾶτο. Ὀγδόῃ πρωὶ μὲν ἐκοιμήθη σμικρά· ταχὺ δὲ ψύξις· ἀφωνίη· λεπτὸν πνεῦμα καὶ μινυθῶδες· ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη· παρέκρουσεν· ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη· διαχωρήματα ἄκρητα σμικρὰ χολώδεα. Ἐνάτῃ κωματώδης· ἀσώδης, ὅτε διεγείροιτο· οὐ λίην διψώδης· περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει· παρέλεγεν· νύκτα κακήν. Δεκάτῃ πρωὶ ἄφωνος· πολλὴ ψύξις· πυρετὸς ὀξύς· πουλὺς ἱδρώς· ἔθανεν. Ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

4'. Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς ἤμεσεν ἰώδεα πολλὰ λεπτά· πυρετὸς φρικώδης ξυνεχής· πουλὺς ἱδρὼς δι' ὅλου· κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης· οὖρα λεπτά, ἐναιωρήματα σμικρὰ διεσπασμένα, οὐχ ἵδρυτο· ἀπὸ δὲ κοιλίης ἐξεκόπρισεν ἀθρόα πολλά· παρέκρουσεν· οὐδὲν ὕπνωσεν. Δευτέρῃ πρωὶ ἄφωνος· πυρετὸς ὀξύς· ἵδρωσεν· οὐ διέλιπεν· παλμοὶ δι' ὅλου τοῦ σώματος· νυκτὸς σπασμοί. Τρίτῃ παρωξύνθη πάντα· δείλης ἀπέθανεν.

5[2]. Ἐν Λαρίσσῃ φαλακρὸς μηρὸν δεξιὸν ἐπόνησεν ἐξαίφνης· τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. Τῇ πρώτῃ πυ-

ρετὸς ὀξὺς καυσώδης· ἀτρεμέως εἶχεν· οἱ δὲ πόνοι παρεί-
κοντο. Δευτέρῃ τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι, ὁ δὲ πυρε-
τὸς ἐπέτεινεν· ὑπεδυσφόρει· οὐκ ἐκοιμᾶτο· ἄκρεα ψυχρά· οὔ-
ρων πλῆθος διήει οὐ χρηστῶν. Τρίτῃ τοῦ μηροῦ μὲν ὁ πό-
νος ἐπαύσατο· παρακοπὴ δὲ τῆς γνώμης καὶ ταραχὴ καὶ
πουλὺς βληστρισμός. Τετάρτῃ περὶ μέσον ἡμέρης ἔθανεν.

6². Ἐν Ἀβδήροισι *Περικλέα* πυρετὸς ἔλαβεν ὀξὺς ξυ-
νεχὴς μετὰ πόνου· δίψα πολλή· ἄση· ποτὸν κατέχειν οὐκ
ἠδύνατο· ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. Τῇ πρώτῃ
ἡμορράγησεν ἐξ ἀριστεροῦ πουλύ· πουλὺς μέντοι ὁ πυρετὸς
ἐπέτεινεν· οὔρησε πουλὺ θολερὸν λευκόν,· κείμενον οὐ καθί-
στατο. Δευτέρῃ πάντα παρωξύνθη· τὰ μέντοι οὖρα παχέα
μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον· καὶ τὰ περὶ τὴν ἄσην ἐκού-
φισεν· ἐκοιμήθη. Τρίτῃ πυρετὸς ἐμαλάχθη· οὔρων πλῆθος
πεπόνων, πολλὴν ὑπόστασιν ἐχόντων· νύκτα δι' ἡσυχίης.
Τετάρτῃ περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ δι ὅλου·
ἄπυρος, ἐκρίθη· οὐχ ὑπέστρεψεν.

7². Ἐν Ἀβδήροισι τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ τῆς
ἱερῆς ὁδοῦ, πυρετὸς καυσώδης ἔλαβεν· ἦν δὲ διψώδης καὶ
ἄγρυπνος. κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. Ἕκτῃ ἄση
πολλή· ἔρευθος· φρικώδης, ἀλύουσα. Ἑβδόμῃ διὰ τῶν αὐ-
τῶν· οὖρα λεπτὰ μέν, εὔχροα δέ· τὰ περὶ τὴν κοιλίην οὐκ
ἠνώχλει. Ὀγδόῃ κώφωσις· πυρετὸς ὀξύς· ἄγρυπνος· ἀσώδης·
φρικώδης· κατενόει· οὖρα ὁμοῖα. Ἐνάτῃ διὰ τῶν αὐτῶν·
καὶ τὰς ἑπομένας οὕτω· ἡ κώφωσις παρέμεινεν. Τεσσαρεσ-
καιδεκάτῃ τὰ τῆς γνώμης ταραχώδεα· ὁ πυρετὸς ξυνέδω-
κεν. Ἑπτακαιδεκάτῃ διὰ τῶν ῥινῶν ἐρρύη πουλύ· ἡ κώφω-
σις σμικρὰ ξυνέδωκεν. καὶ τὰς ἑπομένας ἄση· κωφότης ἐνῆν,

καὶ παράληρος. Εἰκοστῇ ποδῶν ὀδύνη· κωφότης, παράληρος, ἀπέλιπεν· ἡμορράγησε σμικρὰ διὰ ῥινῶν· ἵδρωσεν ἄπυρος. Εἰκοστῇ τετάρτῃ ὁ πυρετὸς ὑπέστρεψεν· κώφωσις πάλιν· ποδῶν ὀδύνη παρέμεινεν· παρακοπή. Εἰκοστῇ ἑβδόμῃ ἵδρωσε πολλῷ· ἄπυρος· ἡ κώφωσις ἐξέλιπεν· ἡ τῶν ποδῶν ἐπέμενεν ὀδύνη· τὰ δ' ἄλλα τελέως ἐκρίθη.

8[2]. Ἐν Ἀβδήροισιν *Ἀναξίωνα*, ὃς κατέκειτο παρὰ τὰς Θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβεν· πλευροῦ ὀδύνη δεξιοῦ ξυνεχής· ἔβησσε ξηρά, οὐδ' ἔπτυε τὰς πρώτας· διψώδης· ἄγρυπνος· οὖρα εὔχροα πολλὰ λεπτά. Ἕκτῃ παράληρος· πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. Ἑβδόμῃ ἐπιπόνως· ὁ γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. Ὀγδόῃ ἀγκῶνα ἔταμον· ἐρρύη πολλόν, οἷον δεῖ· ξυνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες ξηραὶ παρείποντο. Ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοί· σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν· αἵ τε βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρότερα. Ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν· ἐκουφίσθη. Εἰκοστῇ ἵδρωσεν· ἄπυρος· μετὰ δὲ κρίσιν διψώδης τε ἦν καὶ τῶν ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. Εἰκοστῇ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν· ἔβησσεν, ἀνῆγε πέπονα πολλά· οὔροισιν ὑπόστασις πολλὴ λευκή· ἄδιψος ἐγένετο· εὔπνοος. Τριηκοστῇ τετάρτῃ ἵδρωσε δι' ὅλου· ἄπυρος· ἐκρίθη πάντα.

9[2]. Ἐν Ἀβδήροισιν *Ἡρόπυθος* κεφαλὴν ὀρθοστάδην ἐπιπόνως εἶχεν· οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη. Ὤικει πλησίον τῆς ἄνω ἀγωγῆς. Πυρετὸς ἔλαβε καυσώδης ὀξύς· ἔμετοι τὸ κατ' ἀρχὰς πολλῶν χολωδέων· διψώδης· πολλὴ δυσφορίη· οὖρα λεπτὰ μέλανα, ἐναιώρημα μετέωρον ὁτὲ μέν,

ὅτὲ δ' οὔ· νύκτα ἐπιπόνως· πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως. Περὶ δὲ τεσσαρεσκαιδεκάτην κώφωσις· οἱ πυρετοὶ ἐπέτεινον· οὖρα διὰ τῶν αὐτῶν. Εἰκοστῇ πολλὰ παρέκρουσε,· καὶ τὰς ἑπομένας. Τεσσαρακοστῇ διὰ ῥινῶν ἡμορράγησε πουλὺ, καὶ κατενόει μᾶλλον· ἡ κώφωσις ἐνῆν μὲν, ἧσσον δέ· οἱ π ρετοὶ ξυνέδωκαν· ἡμορράγει τὰς ἑπομένας πυκνὰ κατ' ὀλίγον. Περὶ δὲ ἑξηκοστὴν αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο· ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ, καὶ οἱ πυρετοὶ ἐπέτεινον. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον πόνοι τῶν κάτω πάντων. ξυνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς, εἶναι μείζους καὶ τὴν κώφωσιν πολλὴν, ἢ ταῦτα μὲν ὑφιέναι. καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία μείζους εἶναι τοὺς πόνους. Ἤδη δὲ περὶ ὀγδοηκοστὴν ξυνέδωκε μὲν πάντα, ἐξέλιπε δὲ οὐδέν· οὖρά τε. γὰρ εὔχροα καὶ πλείους ὑποστάσιας ἔχοντα κατέβαινεν, οἱ παράληροί τε μείους ἦσαν. Περὶ δὲ ἑκατοστὴν κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη καὶ ᾔει χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα, καὶ πάλιν δυσεντεριώδεα μετὰ πόνου· τῶν δὲ ἄλλων ῥαστώνη. τὸ δὲ ξύνολον οἵ τε πυρετοὶ ἐξέλιπον καὶ ἡ κώφωσις ἐπαύσατο. Ἑκατοστῇ εἰκοστῇ τελέως ἐκρίθη.

10². Ἐν Ἀβδήροισι *Νικόδημον* ἐξ ἀφροδισίων καὶ πότων πῦρ ἔλαβεν. ἀρχόμενος δὲ ἦν ἀσώδης καὶ καρδιαλγικός· διψώδης· γλῶσσα ἐπεκαύθη· οὖρα λεπτὰ μέλανα. Δευτέρῃ ὁ πυρετὸς παρωξύνθη· φρικώδης· ἀσώδης· οὐδὲν ἐκοιμήθη· ἤμεσε χολώδεα ξανθά· οὖρα ὁμοῖα· νύκτα δι' ἡσυχίης· ὕπνωσεν. Τρίτῃ ὑφῆκε πάντα· ῥαστώνη· περὶ δὲ ἡλίου δυσμὰς πάλιν ὑπεδυσφόρει· νύκτα ἐπιπόνως. Τετάρτῃ ῥῖγος· πυρετὸς πουλύς· πόνοι πάντων· οὖρα λεπτὰ, ἐναιώρη-

μα' νύκτα πάλιν δι' ἡσυχίης. Πέμπτῃ ἐνῆν μὲν πάντα, ῥᾳστώνη δὲ ἦν. Ἕκτῃ τῶν αὐτῶν πόνοι πάντων· οὔροισιν ἐναιώρημα· παρέκρουσε πολλά. Ἑβδόμῃ ῥᾳστώνη. Ὀγδόῃ τὰ ἄλλα ξυνέδωκε πάντα. Δεκάτῃ καὶ τὰς ἐπομένας ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες. οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. Εἰκοστῇ οὔρησε λευκόν, πάχος εἶχε, κείμενον οὐ καθίστατο· ἵδρωσε πολλῷ· ἔδοξεν ἄπυρος γενέσθαι· δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ οἱ αὐτοὶ πόνοι· φρίκη· δίψα· σμικρὰ παρέκρουσεν. Εἰκοστῇ τετάρτῃ οὔρησε πουλὺ λευκὸν πολλὴν ὑπόστασιν ἔχον· ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· ἄπυρος, ἐκρίθη.

11². Ἐν Θάσῳ γυνὴ δυσήνιος ἐκ λύπης μετὰ προφάσιος ὀρθοστάδην ἐγένετο ἄγρυπνός τε καὶ ἀπόσιτος,· καὶ διψώδης ἦν καὶ ἀσώδης. ᾤκει δὲ πλησίον τῶν Πυλάδου ἐπὶ τοῦ λείου. Τῇ πρώτῃ, ἀρχομένης νυκτός, φόβοι, λόγοι πολλοί, δυσθυμίη, πυρέτιον λεπτόν· πρωὶ σπασμοὶ πολλοί· ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοί, παρέλεγεν, ἠσχρομύθει· πολλοὶ πόνοι μεγάλοι ξυνεχέες. Δευτέρῃ διὰ τῶν αὐτῶν· οὐδὲν ἐκοιμᾶτο· πυρετὸς ὀξύτερος. Τρίτῃ οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ καὶ καταφορή, καὶ πάλιν ἔγερσις· ἀνήισσε, κατέχειν οὐκ ἠδύνατο· παρέλεγε πολλά· πυρετὸς ὀξύς· ἐς νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· ὕπνωσεν· πάντα κατενόει· ἄπυρος, ἐκρίθη. Περὶ τὴν τρίτην ἡμέρην οὖρα μέλανα λεπτά, ἐναιώρημα δὲ ἐπὶ πουλὺ στρογγύλον,· οὐχ ἵδρυτο· περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

12². Ἐν Λαρίσσῃ παρθένον πυρετὸς ἔλαβε καυσώδης ὀξύς· ἄγρυπνος· διψώδης· γλῶσσα λιγνυώδης ξηρή· οὖρα εὔχροα μέν, λεπτὰ δέ. Δευτέρῃ ἐπιπόνως· οὐχ ὕπνωσεν. Τρίτῃ

πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχολα, καὶ τὰς ἐπομένας δὲ ᾔει τοιαῦτα, εὐφόρως. Τετάρτῃ οὔρησε λεπτὸν ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον· οὐχ ἵδρυτο· παρέκρουσεν ἐς νύκτα. Ἕκτῃ διὰ ῥινῶν λαῦρον ἐρρύη πουλύ· φρίξασα ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· ἄπυρος, ἐκρίθη. Ἐν δὲ τοῖσι πυρετοῖσι, καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη, πρῶτον τότε· παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης· ἔρευθος προσώπου· ὀμμάτων ὀδύνη· καρηβαρική. Ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη. Οἱ πόνοι ἐν ἀρτίῃσιν.

13². *Ἀπολλώνιος* ἐν Ἀβδήροισιν ὀρθοστάδην ὑπεφέρετο χρόνον πουλύν. ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη χρόνον πουλὺν παρείπετο, καὶ δὴ τότε καὶ ἰκτερώδης ἐγένετο· φυσώδης· χροιῆς τῆς ὑπολεύκου. Φαγὼν δὲ ἀκαιροτέρως βόειον, ἐθερμάνθη, σμικρὰ τὸ πρῶτον· κατεκλίθη· γάλαξι δὲ χρησάμενος ἑφθοῖσι καὶ ὠμοῖσι, πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι, καὶ διαίτῃ κακῇ, πάντα ἐβλάβη· οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου, οὖρά τε λεπτὰ καὶ ὀλίγα διῄει, ὕπνοι τε οὐκ ἐνῆσαν· ἐμφύσημα κακόν· πουλὺ δίψος· κωματώδης· ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ· ἄκρεα πάντοθεν ὑπόψυχρα· σμικρὰ παρέλεγεν· λήθη πάντων, ὅ,τι λέγοι· παρεφέρετο. Περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς κατεκλίθη, ῥιγώσας ἐπεθερμάνθη καὶ ἐξεμάνη· βοὴ, ταραχὴ, λόγοι πολλοὶ, καὶ πάλιν ἵδρυσις, καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθεν· μετὰ δὲ ταῦτα κοιλίη ταραχώδης πολλοῖσι χολώδεσιν ἀκρήτοισιν ὠμοῖσιν· οὖρα μέλανα σμικρὰ λεπτά· πολλὴ δυσφορίη· τὰ τῶν διαχωρημάτων ποικίλως· ἢ γὰρ μέλανα καὶ σμικρὰ καὶ ἰώδεα, ἢ λιπαρὰ καὶ

ῶμὰ καὶ δακνώδεα· κατὰ δὲ χρόνους ἐδόκεε καὶ γαλακτώδεα διαδιδόναι. Περὶ δὲ εἰκοστὴν τετάρτην διὰ παρηγορίης· τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν· σμικρὰ δὲ κατενόησεν,· ἐξ οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη, πάλιν δὲ ταχὺ παρενόει· ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. Περὶ δὲ τριηκοστὴν πυρετὸς ὀξύς· διαχωρήματα πολλὰ λεπτά· παράληρος· ἄκρεα ψυχρά· ἄφωνος. Τριηκοστῇ τετάρτῃ ἀπέθανεν. Τούτῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης· οὖρα λεπτὰ μέλανα· κωματώδης· ἄγρυπνος· ἄκρεα ψυχρά· παράληρος διὰ τέλεος.


14². Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας τεκούσῃ διδύμους καὶ δυστοκησάσῃ καὶ οὐ πάνυ καθαρθείσῃ, τὸ μὲν πρῶτον πυρετὸς φρικώδης ὀξύς· κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης· ἄγρυπνος ἐξ ἀρχῆς· σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη· οὖρα λεπτὰ καὶ ἄχροα· διψώδης, ἀσώδης τὸ πουλύ· κοιλίη πεπλανημένως ταραχώδης καὶ πάλιν ξυνισταμένη. Ἕκτῃ ἐς νύκτα πολλὰ παρέλεγεν· οὐδὲν ἐκοιμήθη. Περὶ δὲ ἑνδεκάτην ἐοῦσα ἐξεμάνη, καὶ πάλιν κατενόει· οὖρα μέλανα λεπτὰ καὶ πάλιν διαλείποντα ἐλαιώδεα· κοιλίη πολλοῖσι λεπτοῖσι ταραχώδεσιν. Τεσσαρεσκαιδεκάτῃ σπασμοὶ πολλοί· ἄκρεα ψυχρά· οὐδὲν ἔτι κατενόει· οὖρα ἐπέστη. Ἑξκαιδεκάτῃ ἄφωνος. Ἑπτακαιδεκάτῃ ἀπέθανεν.

15². Ἐν Θάσῳ *Δελεάρκεος* γυναῖκα, ἣ κατέκειτο ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης ὀξὺς ἐκ λύπης ἔλαβεν. ἐξ ἀρχῆς δὲ περιεστέλλετο καὶ διὰ τέλεος αἰεί· σιγῶσα ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει· δάκρυα καὶ πάλιν γέλως· οὐκ ἐκοιμᾶτο· ἀπὸ κοιλίης οὐδὲν διήει· σμικρὰ, ὑπομιμνησκόντων, ἔπινεν· οὖρα λεπτὰ σμικρὰ, ὑπόστασιν οὐκ ἔχοντα· πυ-

4

ρετοὶ πρὸς χεῖρα λεπτοί· ἀκρέων ψύξις. Ἐνάτῃ πολλὰ παρέλεγε, καὶ πάλιν ἱδρύνθη σιγῶσα. Τεσσαρεσκαιδεκάτῃ πνεῦμα ἀραιὸν μέγα, καὶ πάλιν βραχύπνοος. Ἑπτακαιδεκάτῃ ἀπὸ κοιλίης ἐρεθισμῷ ταραχώδεα· ἔπειτα αὐτὰ τὰ ποτὰ διήει· οὐδὲν ξυνίστατο· ἀναισθήτως εἶχε πάντων· δέρματος περίτασις καρφαλέου. Εἰκοστῇ λόγοι πολλοὶ, καὶ πάλιν ἱδρύνθη· ἄφωνος· βραχύπνοος. Εἰκοστῇ πρώτῃ ἀπέθανεν. Ἦν ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιὸν μέγα· ἀναισθήτως πάντων εἶχεν· αἰεὶ περιεστέλλετο· ἢ λόγοι πολλοὶ, ἢ σιγῶσα, διὰ τέλεος.

16². Ἐν Μελιβοίῃ νεηνίσκος ἐκ πότων καὶ ἀφροδισίων πολλῶν πουλὺν χρόνον θερμανθεὶς κατεκλίθη· φρικώδης δὲ καὶ ἀσώδης ἦν καὶ ἄγρυπνος καὶ ἄδιψος. Ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε ξὺν περιῤῥόῳ πολλῷ, καὶ τὰς ἐπομένας ὑδατόχολα πολλὰ διήει· οὖρα λεπτὰ ὀλίγα ἄχροα· πνεῦμα ἀραιὸν μέγα· ὑποχονδρίου ἔντασις ὑπολάπαρος παραμήκης ἐξ ἀμφοτέρων· καρδίης παλμὸς διὰ τέλεος ξυνεχής· οὔρησεν ἐλαιῶδες. Δεκάτῃ παρέκρουσεν ἀτρεμέως· ἦν δὲ κόσμιός τε καὶ ἥσυχος· δέρμα καρφαλέον καὶ περιτεταμένον· διαχωρήματα πολλὰ καὶ λεπτὰ, ἢ χολώδεα λιπαρά. Τεσσαρεσκαιδεκάτῃ πάντα παρωξύνθη· πολλὰ παρέλεγεν. Εἰκοστῇ ἐξεμάνη· βλήστρισμός· οὐδὲν οὔρει· σμικρὰ ποτὰ κατείχετο. Εἰκοστῇ τετάρτῃ ἀπέθανεν.



ΟΒΕΛΙΣΜΟΣ.

Καταστ. — Ἐπιδ. Α.

. . . . βῆχες ξηραί, οὐδὲν ἀνάγουσαι[1]), . . :

[1]). Γαλ. 55. Τίνες μὲν αἱ ξηραὶ βῆχές εἰσιν αὐτὸς ἐδήλωσεν εἰπὼν 'οὐδὲν ἀνάγουσαι.[2])' . . . | [2]) = Γ', § 12.

2. . . . καὶ *ξὺν* [1]) πυρετοῖσιν ἐόντα . . .

[1])· Γαλ. 66. . . . καὶ μετὰ πυρετῶν . . .

— . . . ἔβησσον δὲ πυκνὰ, σμικρὰ πέπονα . . .

3. . . . νοσέειν. Τὸ μὲν οὖν ὅλον *ἠπίως* ἐνόσεον· οἱ δὲ φθινώδεες τὸν φθινώδεα τρόπον, πυρετοῖσι φρικώδεσιν, ἄλλοτε ἀλλοίως παροξυνομένοισι, [1]) σμικρὰ ἐφιδροῦντες. Ἐκ πάντων δὲ . . .

[1])· τὰ γὰρ 'τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον' μετενεχθῆναι δοκεῖ μοι ἐνταῦθα, ἀμέλει πρὸ Γαληνοῦ, ἐκ § 7. — Ἀναλέξασθαι δὲ ἄξιον τὰς τῆς συνήθους γραφῆς Γαληνοῦ δῆθεν παραμυθίας, 79. 80.

5. . . . οὐ νεφριτικὰ τούτοισιν, *ἀλλ' ἀντ' ἄλλων*· . . ;

— . . . *ξὺν* πυρετοῖσι· περὶ ὧν . . .

— . . . μετὰ πόνου. Ἤδη δὲ φθινοπώρου φθινώδεες [1]) καὶ ὑπὸ χειμῶνα πυρετοὶ ξυνεχέες, . . .

[1])· Γαλ. 108. Τὸ 'ὑπὸ χειμῶνα', μεταξὺ λεγόμενον τῆς τε προγεγραμμένης λέξεως καὶ ταύτης, οἱ μὲν ἐκείνῃ προσένειμαν, οἱ δὲ ταύτῃ· ἐμοὶ δὲ σύμπας ὁ λόγος φαίνεται τοιόσδε· καὶ κατὰ τὸ φθινόπωρον ἤδη τινὲς ἐγένοντο φθινώδεις, ὡσαύτως δὲ καὶ κατὰ τὸν χειμῶνα· καὶ μέντοι καὶ πυρετοὶ συνεχεῖς καὶ κατὰ τὸ φθινόπωρον ἐγένοντο καὶ κατὰ τὸν χειμῶνα.'

6. . . . ἐξ ἀρχῆς καὶ ἀπύροισιν· [ἔστι δ' οἷσι] καὶ ἐπὶ . . .

7. Πρόσγραμμα, ἔμοιγε, τό 'ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν μείζω'.

— . . . , ἀλλὰ παντοίας . . .

— . . . Ἄγρυπνοι, · οὐ δὴ[1]) τὸ ξύνολον, μάλιστα δ' οὗτοι', καὶ πάλιν κ.

[1]) · Γαλ. 126. 'Καὶ πάλιν ἀγρύπνους μὲν αὐτούς φησι γεγονέναι μᾶλλον ἐν μέρει, οὐ μὴν τὸ σύνολόν γε ἐπὶ τούτοις, οὐδ' αὖ κωματώδεις σφόδρα· φησὶ γὰρ αὐτοῖς ἐν μέρει καὶ τὸ κωματῶδες σύμπτωμα γεγονέναι.'

8. . . . · κεὶ γάρ τινες[1]) αὐτῶν διαλίποιεν[1]) . . .

[1]) · ἢ — ; — · κεὶ γάρ τινα αὐτῶν διαλίποι . . .

14. . . . καὶ διετέλεον πρόσω τοῦ θέρεος μέχρι ἰσημερίης.

18. . . . [ἔστιν][1]) οἷσιν οὐ ξυνέπιπτε . . .

[1]) · Γαλ. 182. ' Τοῖς ἄνευ τοῦ καυσωθῆναι φρενιτικοῖς γενομένοις τὰ εἰρημένα οὐ συνέπεσεν · ἐπεὶ οἷσί γε μετὰ τοῦ καυσωθῆναι φρενῖτις ἐγένετο, διπλασιασθέντος τοῦ κακοῦ, περὶ τὴν ἕκτην ἡμέραν ὁ θάνατος ἐγένετο. [τούτοισι] δὲ περὶ . . .

20.		6.[1])	6.	5.
		7.[2])	7.	3.
		7.	3.	7.
		5.	7.	(3. 1. 1).
	[1]) ·	6.	6.	(3. 1. 1).
		6.	7.	4.
21.	[2]) ·	7.	9.	4.
		7.	6.	7.

'Επιδ. Γ.

2. 3. . . . καὶ ἔθνησκον πολλοὶ ἐφ' ἑκάστοισι τούτων.— 3. Ξυνέπιπτε δὲ πολλοῖσι μὲν . . .

— . . . ἐπὶ τοῖσι τυχοῦσι καὶ πάνυ σμικροῖσι τρωματίοισιν, ἐφ' ὅλῳ τῷ σώματι, μάλιστα δὲ περὶ κεφαλήν· πολλοῖσι δὲ, μάλιστα δὲ τοῖσι περὶ ἑξήκοντα ἔτεα, καὶ ἐν θεραπείῃ ἐοῦσιν, εἰ καὶ σμικρὸν ἀμεληθείη, μεγάλαι . . .

6. . . . , ἔσωθεν, ἃς σῦκα ἐπονομάζουσι, πολλῶν φθείροντα τὰς ὄψιας.

7. . . . πλείστοισι δὲ παιδίοισιν, [1]· καὶ ἀπώλλυντο . . .

[1]· γλ. ἂν τὸ 'παισὶν ὅσοι πρὸ ἥβης' τοῦ 'παιδίοισιν'.

— . . . ἐπιπόνως. τὰ δὲ χολώδεα καὶ λιπαρὰ, καὶ λεπτὰ καὶ ὑδατώδεα· πολλοῖσι μὲν τὸ νούσημα αὐτὸ ἐς τοῦτο κατέσκηψεν· ἄνευ τε πυρετῶν καὶ ἐν πυρετοῖσιν· [οἷσι δὲ] καὶ ἀνειλήσιες [1]) κακοήθεες· *θαμέες*, [2]) πολλῶν *μενόντων* τε καὶ ἐπισχόντων, διέξοδοι· τά τε . . .

[1]· οὗ γλ. τὸ 'μετὰ πόνων στρόφοι', κατὰ τὸ, ἐν Γλωσσ. ἐξ., ἀνειλήματα] τοὺς στρόφους.

[2]· Γαλ. 708· . . . 'τὰς δὲ διεξόδους, τουτέστι τὰς κενώσεις, αὐτοῖς συμβῆναι 'πολλῶν [μ]ενόντων καὶ ἐπισχόντων'' ὅπερ ἴσως σημαίνει· πολλῶν ἔτι καὶ κατὰ τὸ σῶμα [μ]ενόντων, οὐδὲν ἧττον τὰς διεξόδους γενέσθαι *πολλάς*· . . .

8. Πρόσγραμμα ἂν εἴη τὸ 'οἷς (-οἵοις-) ἐγὼ οὐδεπώποτε ἐνέτυχον'.

— . . . μάλιστα οὗτοι, οἳ ἐκ τούτων, [1]) καὶ οἱ ἐκ τῶν ἄλλων δὲ, καὶ ὀλεθρίως ἔχοιεν.

[1]· = § 12· . . . ἐξαίφνης ἐκ τούτων κακοῦσθαι· . . .

9. . . . ˙ οὔτε γὰρ πάχος εἶχεν οὔτε πεπασμούς˙, οὐδὲ κάθαρσις χρηστὴ [ἦν], ἐσήμαινε . . .

Ἄρρωστοι.

A, 1. . . . ἵδρωσεν˙ νύκτα ἐπιπόνως.

2. . . . *ἀκαιροτέρων* . . .

3. . . . κατὰ βουβῶνα [1]) τὸ πρῶτον, σπληνὸς κατ᾽ ἴξιν˙ ἔπειτα πόνοι [2]) . . .

[1])˙ ; μῶν τὸ '*ἔπαρμα*' vulg. = ἐπ᾽ ἀριστερά ; = Γαλ. 268 'ἤλγησε μὲν τὰ πρῶτα κατὰ βουβῶνα τὸν ἀριστερόν˙ οὗτος γάρ ἐστι κατ᾽ἴξιν σπληνός˙ ἔπειτα [2]) ἐς τὰς κνήμας ἀμφοτέρας.'

[2])˙ ὥστε ἴσως πρόσθετον τὸ 'πόνοι'.

— . . . νυκτὸς [1]) ἵδρωσεν˙ . . .

[1]) ἤ˙ *ἐς* νύκτα.

4. . . . , παχὺ λευκόν, [1]) ἴκελον *ὀνείῳ*˙ [2]) κείμενον πουλὺν χρόνον οὐ καθίστατο. τοιαῦτα οὔρει, . . .

[1])˙ ἤ˙ . . . , παχὺ λευκόν, *οἷον*[3]) *ὑποζυγίου*˙ κείμενον . . .

[2])˙ = II, 568. Erm.

[3])˙ περὶ δὲ τοῦ λοιποῦ ἐμβλήματος ἴδε 11.

5. . . . Δεκάτῃ ἐπιπόνως˙ ἤλγεε σκέλεα˙ . . .

— . . . Ἑξκαιδεκάτῃ [πάντα] παρωξύνθη˙ . . .

— . . . (Αὕτη ἐξ ἀρχῆς . . . . παρέμενε). [1])

[1])˙ ἀτόπως παρεμβληθὲν ἐκ 6' (σελ. 208. Erm.)˙ οὐδὲ ποιεῖται μνείαν Γαληνὸς τούτων.

8. . . . ˙νυκτὸς οὐδὲν ἐκοιμήθη˙ . . .

9. : : : : ἐς [1]) νύκτα παρεφρόνησεν.

1) · οὕτως ἀμέλει καὶ Γαληνὸς, παρά γε Kühn.

10. . . . μετ' ὄγκου, ' ξύντασις, οὐ λίην' . . .

— . . ., εὔχροα δέ' ,τὰ πολλὰ εἶχεν ἐναιώρημά τι . . :

11. . . . ' οὖρα παχέα λευκὰ ἀνατεταραγμένα [1])· , κεί-μενα χρόνον πουλὺν οὐ καθίστατο' νυκτὸς οὐκ ἐκοιμήθη.

1). Γαλ. 295' . . . ' μοχθηρὰ γὰρ ἱκανῶς *ἀνατεταραγμένα* [2]) μὲν οὖρα, καθιστάμενα δὲ μηδ' ὅλως. '

2). Γαλ. XVII, B, 753 εἰς 'Αφορ. IV, 70' — ὑποπτεύω τοίνυν ἀντὶ τούτου τοῦ ' ἀνατεταραγμένα ' μετενεχθῆναι τὸ αὐτοῦ σχόλιον ' θολερὰ οἷα γίγνεται ἐκ τῶν καθισταμένων ὅταν ἀναταραχθῇ ' . = Erm. III, Pr. I' τὰ μὲν, τὰ δὲ οὐ.

12. . . . ' οὐδὲ νυκτὸς ἐκοιμήθη.

13. . . . γλῶσσα [ἀσαφής]· ἠφώνει' . . .

— . . . γλῶσσα *σαφής*' φωνὴ ἐλύθη' . . .

14. Μηλίδι, [1]) ἢ . . .

1) · ὡς τὸ Μυρρίνη (Μυρσίνη) ὄνομα τοῖς νῦν Μυρσινέα, οὕτως ἂν καὶ τὸ τοῖς νῦν *Μηλέα* τοῖς τότε *Μηλίς*.

Γ, 2[1]. . . . , κάτω λευκὰ [2]) λεπτά· [1]) . . .

1) · ὡς εἶναι ' λεπτὰ ' = σμικρά· ὅπερ οὐ πάνυ Ἱπποκράτειον' συμφωνεῖ μέντοι τῷ, Γαλ. 544' ' καὶ κάτω μικρὰ σχεῖν ὑφιστάμενα. '

2) · ἄμεινον οὖν, ἄνευ τοῦ ' λεπτά '' ἤτοι ἀτεχνῶς *λευκὰ*, ἢ, ὃ εἱλόμην, *ὑπόλευκα*' ' . . . , κάτω *ὑπόλευκα*'

3[1]. : . : ἐναιώρημα ἔχοντα γονοειδὲς *καί τινα κάτω* σμικρὰ, οἷον κρίμνα.

. . . ' αὐτίκα δὲ 1) *ἠδημόνει*' 2) οὖρον *ἀνατεταραγμένον*' 3) νυκτὸς οὐκ ἐκοιμήθη' παρέκρουσεν. Πεντεκαιδεκάτη πυρετὸς ὀξύς' πάντα παρέκρουσεν' . . .

1)' ἀγωνιστικωτέρᾳ ἴσως ἐχρησάμην θεραπείᾳ.

2)' οὐ γὰρ πιστεύω τῷ ' διενόει '.

3)' ὡς ἐν 11, οὕτω κἀνταῦθα τοῦτο φημὶ τὸ '*ἀνατεταραγμένον*' ἀφανισθῆναι ὑπὸ τοῦ αὐτοῦ σχολίου ' θολερὸν οἷον ἐκ τῶν καθεστηκότων γίγνεται ὅταν ἀναταραχθῇ. '

; . . ' οὖρα λεπτά' ,οὐκ 1) εἶχεν ὑπόστασιν' . . .

1). 'Ακτουαρ., Jdeler II, 172. 173.

4[1]. . . . ὑποκαρωθείς' ἐκ δὲ πότων ξυνεχέων γενομένων 1) ὁ πόνος παρωξύνθη' κατεκλίθη' νυκτὸς ἐπεθερμάνθη. Τῇ πρώτῃ . . .

1). = 3[2]. . . . ἐκ . . . διαίτης γενομένης ἀμελέος . . .

6[1]. . . . 'Εκταίη δὲ ἐοῦσα, ἄπυρος, ἐκρίθη' οὐχ ἵδρωσεν, : τὸ δὲ περὶ τὴν ἕδρην *ἐκπυῆσαν* ἐρράγη ἅμα κρίσι.

— . . . ἵδρωσεν. 'Ογδοαίη δὲ ἐοῦσα ἐπερρίγωσεν' οὐ πολλῷ δὲ ὕστερον . . .

— . . . Διαλιποῦσα δὲ [δύο] δωδεκάτῃ . . .

— . . . Αὕτη *εὐθὺς* ἀρχομένη . . .

— . . . ' γαργαρεὼν ἀνεσπασμένος' *ῥεῦμα δριμὺ δακνῶδες ἁλμυρῶδες διὰ τέλεος παρέμενεν*' 1) ἔβησσε [*πυκνὰ*], 2) ' πέπον οὐδὲν ἀνῆγεν' . : .

1). = τοῖς ἐπὶ 5 παρεγγεγράμμενοις (σελ. 190, Erm.)'

ἀνθ' ὧν ἀντενεβλήθη ἐνταῦθα ὑπό τινος βιβλιογράφου τὸ ἐκ Α, § 2 (σελ. 162, Erm.) 'ῥεύματα (πολλὰ) σμικρὰ λεπτὰ δριμέα'.

2). = Α, § 2.

7[1]. *Κυναγχική. 1) Ηἶ παρὰ τὰ 'Αριστοβίωνος (ἢ—'Αριστογείτονος —) 2) [ῴκ]ει, πρῶτον ἀπὸ γλώσσης ἤρξατο. ἀσαφείης· ἠφώνει· γλῶσσα ....

1). διασκευαστοῦ ἐπιγραφή.

2). ἢ εὖ ἔχει τὸ 'Αριστιῶνος vulg.;

— . . . 'ἀπέθανε κυναγχική. 1) — .', —

1). ὅρα γὰρ Γαλ. 633.

9[1]. Ηἶ παρὰ Τισαμενῷ κατέκειτο 1) τὰ . . .

1). οὗ παράφρασις τὸ Γαλ. 'Παρὰ Τισαμενῷ γυνὴ κατέκειτο, ἢ . . .

— . . . κοιλίην· στρόφοι ξυνεχέες·

— . . . οὔτι ἠδύνατο . . .

1[2]. . . . ὀξὺς 1) ξυνεχὴς . . .

1). παρέλκει τὸ 'κάτ' ἀρχὰς (δὲ).'

— . . . ταραχώδης ἀκρήτοισιν· 1) . . .

1). τὸ γοῦν ἀόριστον 'ἐν ἀρχῇσιν' ἔμοιγε ὕποπτον.

. . . ἐκοιμήθη· τἄλλα, οὖρά τε . . .

2[2]. . . . οὔτε γὰρ πτυάλων πεπασμὸς ἐγένετο, οὔτε τις 1) ἄλλη . . .

1). = Γ, § 5 (σελ. 217, Erm.) . . . , οὔτε τις ἄλλη τῶν εἰθισμένων . . .

4[2]. — ; —' . . . ' δείλης ἀπέθανεν.

10². . . ὕφῆκε πάντα· ῥαστώνη· περὶ δὲ . . .

11². . . ἐς 1) νύκτα δὲ ταύτην ἵδρωσε π. θ. δι' ὅλου· ὕπνωσεν· πάντα κατενόει· ἄπυρος, ἐκρίθη.

1). sub noctem ἀμέλει.

12². . . , καὶ τὰς ἑπομένας δὲ ἤει . . . .

13². . . Φαγὼν δε 1) ἀκαιροτέρως . . .

1). πρόσγραμμα τὸ 'καὶ πιὼν . .

— . . . , πάντα 1) ἐβλάβη (μεγάλα)· οἵ τε γὰρ . . .

1). ὕποπτος γάρ μοι ἡ δῆθεν ἀπόλυτος ὀνομαστικὴ 'χρησάμενος'.

15². . . ἀπὸ κοιλίης 1) οὐδὲν διῄει· . . .

1). ἐν ἀποφάσει εὖ κεῖσθαι τὸ 'ἐρεθισμῷ', οὐ πείθομαι. εἰ μηδὲ τὸ 'ἡσυχῇ', Γαλ. 544.

'Εν Μουνυχίᾳ, φθίν. μην. Θαργηλιῶνος πέμπτῃ, 1866.

Dr. C. H. Th. Reinhold.

ΕΠΙΛΟΓΟΣ.

«Veterum testimonia ferunt Hippocratem senem obiisse, nonagenarium, centenarium et ultra. Quid superest de laboribus viri tanti nominis et tam longævi, qui sane non silentio vitam transegit? Responsio facilis est: pauca supersunt operum fragmenta, in quibus de nonnullis tantum in arte medica momentis sermo est, non de universo ejus ambitu. Chirurgici argumenti tractatum unum possidemus de Capitis vulneribus; de ceteris chirurgiæ partibus, de ceteris κατ' ἰητρεῖον, ut Hippocratica formula utar, nihil; de mulierum morbis, de re obstetricia nihil! — Semiotices fragmenta aliquot; — ætiologici argumenti partes supersunt libri de Aëre, aquis, locis; — de morborum curatione introductio superest ad opus, quo de omni in morbis victus ratione egit; — observationes morborum epidemiorum quatuor, morborum singularium quadraginta duæ supersunt. Plura ab illo relicta non habemus; 1) — qualem vero auctorem fuisse hæ operum reliquiæ testantur.»

Ermerins, Hipp. III, Præf. IX.

1). δι' ὅπερ εὔλογον ἔκρινα ἐν ταύτῃ ᾗ ἐκδέδωκα δωδεκατεύχῳ περιγράψαι τὴν ἔκδοσιν·
ἵνα φερώνυμος εἴη Ἱπποκράτης ὁ ἐμὸς οὑτοσί.





